~~Dbl. zu Cg 870~~
Ausg. 00
Gc

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-12523/fragment/page=0002

PLATONIS

DIALOGI SELECTI

CURA

LUD. FRID. HEINDORFII.

VOLUMEN I.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-12523/fragment/page=0005

Opera philologica

quae ex officina Nauckiana prodierunt, et in eadem libraria prostant.

Aristophanes, Nubes, graece c. F. A. Wolf. 4. 1812. 16 gGr. 20 Sgr.

— — *Wolken, griechisch und deutsch von Fr. A. Wolf.* 4. 1 Thlr. 16 gGr. 1 Thlr. 20 Sgr.

— — *Acharner, griechisch und deutsch mit Scholien von Fr. A. Wolf.* 1 Thlr.

Genelli, H. C., *das Theater zu Athen, mit 4 grofsen Kupfertafeln (und mit Anmerkungen v. Fr. A. Wolf).* gr. 4to. 5 Thlr. 12 gGr.

Livianae emendationes, scripsit G. L. Walch. 8 maj. 1815. 1 Thlr. 16 gGr. 1 Thlr. 20 Sgr.

Platonis dialogorum delectus, ex recens. et cum lat. interpret. Fr. A. Wolfii, in usum praelectionum. 1822. 4to. minore 1 Thlr.

— — — — Euthyphro, Apologia Socratis, Crito. Ex Recensione et cum latina interpretatione. Fr. A. Wolfii. In usum Gymnasiorum *2te Ausgabe in 8vo.* 12 gGr. 15 Sgr. Fein Pap. 16 gGr. 20 Sgr.

— — — — sine Versione — *dasselbe* 10 gGr. 12½ Sgr.

Platonis Dialogi Selecti. Vol. I. Lysis, Charmides, Hippias maior, Phaedrus; emendavit et annotatione instruxit L. F. Heindorfius. Edit. II. Ad Apparatum I. Bekkeri lectionem denuo emendavit Phil. Buttmannus. 8 maj. 1827.
charta impress., — anglica, — belg. opt.

— — Vol. II. Gorgias et Theaetetus.
charta impress., — anglica, — belg. opt.

— — Vol. III. Cratylus, Euthydemus, Parmenides.
charta impress., — anglica, — belg. opt.

— — Libri quattuor, Gorgias, Apologia Socratis, Hippias maior, Charmides. Scholarum in usum edidit Heindorfius. Editio altera ope Bekkerianorum codicum emendatior. 8 maj. 1825. 16 gGr. 20 Sg.

— — Dialogi IV, Laches, Euthyphro, Apologia Socratis, Menexenus. Adnotatione perpetua illustravit Fr. Guil. Engelhardt. 8 maj. 1826.
charta impress., — anglica, — belg. opt. 1 Thlr. 16 gGr. — 2 Thlr.

— — iidem in usum Scholarum *zu* maior.
charta impress. 12 gGr. charta anglica 16 gGr.

Tacitus, C., Agricola. *Urschrift, Übersetzung und Anmerkung von Walch. gr. 8vo. mit einer grofsen, in Kupfer gestochenen Karte.*

Walch, Tabelle über die Accentuation der griechischen Declinationen, Fol. 4 gGr. 5 Sgr.

— Emendationes Livianae: vide Livius.

PLATONIS
DIALOGI SELECTI

CURA

LUD. FRID. HEINDORFII.

VOLUMEN I.

BEROLINI E LIBRARIA NAUCKIANA. MDCCCXXVII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-12523/fragment/page=0008

PLATONIS

DIALOGI QUATTUOR

LYSIS
CHARMIDES
HIPPIAS MAIOR
PHAEDRUS

EMENDAVIT ET ANNOTATIONE
INSTRUXIT

LUD. FRID. HEINDORFIUS.

AD APPARATUM I. BEKKERI LECTIONEM DENUO EMENDAVIT

PHILIPPUS BUTTMANNUS.

BEROLINI
E LIBRARIA NAUCKIANA.
MDCCCXXVII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-12523/fragment/page=0009

GRAFV. STOLBERGISCHE BIBLIOTHEK ZU WERNIGERODE

Landesbibliothek Halle (Saale)

L 2a 1

FRIDERICO AUGUSTO
WOLFIO

PRAECEPTORI SUO OPTIMO

EX CUIUS DISCIPLINA
FLUXIT
QUIDQUID PLATONI HAC CURA
LUCIS SALUTISQUE
ALLATUM EST
OPERAM HANC
IN PLATONE
POSITAM PONENDAMQUE
EA QUA PARENTEM FILIUS
PROSEQUITUR PIETATE

CONSECRAVIT

EDITOR.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-12523/fragment/page=0011

GE. LUDOVICUS SPALDING

LECTURIS

Valetudine, inter ipsum finiendi huius libelli negotium subito tentata, exclusus ab omni scribendi labore auctor statuit me interprete, quae monenda haberet, cum lectoribus agere. Erat quidem ille animadversiones suas solas daturus, semoto textu Platonico, modo parabiles satis et frequentes horum, in quos commentatus est, dialogorum repetitiones praesto fuissent. Neque enim quidquam novum, nec in medio positum, ad scripturae emendationem attulit, praeter ingenium a librorum vete-

rum praesidio, Criticorumve schedis, adhuc orbi litterato incognitis, non adiutus, ut verendum crederet ne frequentando textu hoc, qualis nunc est, ipsa, quibus inquinatur, vitia tanto latius disseminarentur. Ita sentientem, de iusta horum sermonum editione iam nunc proferenda ne somniare quidem, in promptu est. Cum autem vix unus Criticorum diligentiore hos ipsos dialogos cura prosecutus esset, neque in Stephani Cornariique laboribus quisquam facile posset acquiescere, faciundum duxit, ut peritorum experiretur iudicium, favoremque et auxilium, si posset, mereretur ad ornandam aliquando hanc spartam. Hisce non tam acti laboris praemiis, quam suscipiendi incitamentis quo celerius potiretur, maturare decrevit editionem libelli. Oratio Platonis ut quam fieri posset emendatissima prodiret, ea quidem prima eius cura fuit, quam secuta est altera ex-

planandi et interpretandi loca, quae lectorem, Graece sane non indoctum, sed in Platone minus exercitatum, possent morari. In duplici negotio eam fidem praestandam intellexit, ut quam quidem ipse sentiret difficultatem, dissimularet nullam, malletque inopiam remediorum apparere, quam simplicitatem suam desiderari. Adiutoribus tamen usus est tribus, quorum primus Schneiderus, Vir celeberrimus, concessit collationem Stobaei, MS. Parisini, in locis Phaedri Platonici a Stobaeo positis usurpandam; de quo Codice agit Schneiderus in postrema Memorabilium Xenophonteorum editione p. 295. Alter fuit Buttmannus noster, qui diligenter perlegit et excussit quae ad Phaedrum commentatus erat editor. Plurimum opis tulit Schleiermacherus, qui si forte nunc primum venit in ora philologorum, cum in alia palaestra satis spectatum sit eius ingenium, suis sibi

cogitatis audientiam faciet locumque tuebitur. Cum enim vir ingeniosissimus iuxta cum amico suo Heindorfio Platonem in deliciis haberet, sociata assiduitate etiam hosce dialogos recensuit, multosque errores cavit, multa veri vestigia demonstravit.

Haec erant, quae iussu Heindorfii mei, lectores docerem, quorum quidem futurum credo neminem, quin, cognitis hisce in Platonem curis, mecum vota faciat ut tali viro, aetate praesertim florenti, vel Platonis causa valetudo promptissime redeat integra, quam ego quidem aliis quoque multis nominibus prosperrimam eidem exopto.

Scribebam Berolini die Maii 15. 1802.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-12523/fragment/page=0016

LECTURIS

PHIL. BUTTMANNUS.

In nova hac libri utilissimi editione adornanda non illud mihi propositum esse potuit, ut viri optimi et doctissimi annotationem talem fere redderem qualem eam auctor ipse hodie in manus studiosorum Platonis traditurus esset; sed ut partim nonnulla ab Heindorfio juvene minus recte dicta, ex ipsius correctione in schedis marginibusve notata, vel ex commentariis ejus, quibus postea alios dialogos illu-

stravit, vel denique ex re ipsa emendarem, partim de meo pauca, nec recondita illa nec longe petita, adderem. Multa de quibus disceptari potest intacta reliqui proprio legentium judicio dijudicanda aut etiam ad Schleiermacheri interpretationem ejusque observationes exigenda. Hoc autem imprimis meum putavi, ut praestantes hos commentarios textui adjungerem qualis Heindorfio tum non contigerat. Itaque e Bekkeri recensione quaecunque extra controversiam posita sunt in textum assumpsi, monito, ubi Heindorfii verba dissiderent, lectore; in levibus etiam, si qua ad falsam quae fuerat olim lectionem nota relata nullum amplius usum praeberet, ipsa deleta; fontes et rationes quibus recepta

a nobis nituntur ubicunque referret indicavi: in ceteris si quis priorem Heindorfii editionem ab hac discrepantem inveniet, ad Bekkeri textum et annotationem lectorem hic in universum remittimus. Lectionem autem Bekkerianam quoties non recepi, mihi subinde unice probatam, sed de qua bifariam sentiri posse viderem, ubicunque non in minimis esset variatio, attuli ubique, ut in usum suum studiosus eam lector possit convertere. Auctoritatem codicum, si qua *plurimis* vel *optimis* lectio niteretur, in universum plerumque memoro; aliquando etiam singulos praestantiores, Clarkianum maxime (Bekkero 𝔄) et qui plerumque cum illo conspirant Vaticanos $\Delta\Theta$, Venetum Π, tum Paris. G, An-

gelicum *v*, Vindob. *Φ*, Coislinianum; haud raro etiam eos quorum auctoritate, sicubi sola affertur, lectio aliqua deprimitur, ut Ven. *Ξ*, Paris. EF, nominatim allego.

Berolini m. Majo MDCCCXXVII.

ΠΛΑΤΩΝΟΣ

ΛΥΣΙΣ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-12523/fragment/page=0021

ΣΩΚΡΑΤΗΣ, ΙΠΠΟΘΑΛΗΣ, ΚΤΗΣΙΠΠΟΣ, ΜΕΝΕΞΕΝΟΣ, ΛΥΣΙΣ.

Steph. p. 203. a.

Ἐπορευόμην μὲν ἐξ Ἀκαδημίας εὐθὺ Λυκείου τὴν ἔξω τείχους ὑπ' αὐτὸ τὸ τεῖχος· ἐπειδὴ δ' ἐγενόμην κατὰ τὴν πυλίδα ἣ ἡ Πάνοπος κρήνη, ἐνταῦθα συνέτυχον Ἱπποθάλει τε τῷ Ἱερωνύμου καὶ Κτησίππῳ τῷ Παιανιεῖ, καὶ ἄλλοις μετὰ τούτων νεανίσκοις ἀθρόοις συνεστῶσι. Καί με προσιόντα ὁ Ἱπποθάλης ἰδὼν, Ὦ Σώκρατες, ἔφη, ποῖ δὴ πορεύει καὶ πό- b.

---

§. 1. Ὑπ' αὐτὸ τὸ τεῖχος — *Sub ipso muro* f. *iuxta murum ipsum*. Ut de rep. IV. p. 439. e. Λεόντιος — ἀνιὼν ἐκ Πειραιῶς ὑπὸ τὸ Βόρειον τεῖχος. Isocrat. Paneg. c. 31. ὑποκειμένης τῆς Εὐβοίας ὑπὸ τὴν Ἀττικὴν, ubi vid. Morus. κατὰ τὴν πυλίδα. Duplex est Meursii Athen. Att. II. 3. circa dialogi huius initium error; alter, quod ex Strabone IX. p. 608. ed. Almel. portam illam Diocharis hic a Platone significari colligit, in quo πυλίδα, *portulam*, permutavit cum πύλαις; alter, quod παλαίστραν illam νέωστὶ ᾠκοδομημένην, paullo post a Platone memoratam, eandem esse putat, quam a Lycurgo oratore in ipso Lyceo exstructam narrat Plutarch. de X oratt. T. II. p. 841. Scilicet, ut nihil dicam de temporum ratione coniecturae huic prorsus repugnante, non vidit Meursius, Socratem h. l. in Lyceum euntem a via ab Hippothale devocari, ducique in proximam palaestram e regione muri extra Lyceum sitam.

1. ποῖ δὴ πορεύει καὶ πόθεν; Soliemnis haec est apud antiquos occursantium formula. Diog. Laert. VI. 2, 59. πρὸς τὸν πυθόμενον, ποῖ καὶ πόθεν, ἐκ τῆς ἀνδρωνίτιδος, εἶπεν, εἰς τὴν γυναικωνῖτιν. Conf. Plat. Phaedr. init. Lucian. Encom.

θεν; Ἐξ Ἀκαδημίας, ἦν δ' ἐγώ, πορεύομαι εὐθὺ Λυκείου. Δεῦρο δή, ἦ δ' ὅς, εὐθὺ ἡμῶν. Οὐ παραβάλλεις; Ἄξιον μέντοι. Ποῖ, ἔφην ἐγώ, λέγεις, καὶ παρὰ τίνας τοὺς ὑμᾶς; Δεῦρο, ἔφη, δείξας μοι ἐν τῷ καταντικρὺ τοῦ τείχους περίβολόν τέ τινα καὶ θύραν ἀνεῳγμένην. Διατρίβομεν δέ, ἦ δ' ὅς, αὐτόθι ἡμεῖς τε αὐτοὶ καὶ ἄλλοι πάνυ πολλοὶ καὶ καλοί.
p.204. a. Ἔστι δὲ δὴ τί τοῦτο, καὶ τίς ἡ διατριβή; Παλαίστρα, ἔφη, νεωστὶ ᾠκοδομημένη, ἡ δὲ διατριβὴ τὰ πολλὰ ἐν λόγοις, ὧν ἡδέως ἄν σοι μεταδιδοῖμεν. Καλῶς γε, ἦν δ' ἐγώ, ποιοῦντες. Διδάσκει δέ τίς αὐτόθι; Σὸς ἑταῖρός τε, ἦ δ' ὅς, καὶ ἐπαινέτης, Μίκκος. Μὰ Δία, ἦν δ' ἐγώ, οὐ φαῦλός γε ἀνήρ, ἀλλ'
2. ἱκανὸς σοφιστής. Βούλει οὖν ἕπεσθαι, ἔφη, ἵνα καὶ

Demosth. §. 1. Charidem. §. 1. Horat. Serm. I. 9, 62. II. 4, 1. Statim post illa *Δεῦρο δή — — παραβάλλεις;* optime vertit Ficinus: *adesdum, recta ad nos, inquit. Non accedis?* ex quo vulgatam mutavi distinctionem *εὐθὺς ἡμῶν οὐ παραβάλλεις; δεῦρο δή* sc. *ἴθι*. Apolog. Socr. p. 24. c. *καί μοι δεῦρο, ὦ Μέλητε, εἰπέ.* — *Εὐθὺ* autem reposui pro *εὐθύς*, auctoritate Phrynichi ductus p. 24. *Εὐθὺ πολλοὶ ἀντὶ τοῦ εὐθύς· διαφέρει δέ· τὸ μὲν γὰρ τόπου ἐστὶν, εὐθὺ Ἀθηνῶν· τὸ δὲ χρόνου, καὶ λέγεται σὺν τῷ σ.* Conf. Duker. ad Thucyd VIII. 88. et Hemsterhus. ad Lucian. Diall. Mort. XXVII. 1. qui proximum illud *εὐθὺ Λυκείου* ex hoc loco ibi proferens, miror, cur hoc *εὐθὺς ἡμῶν* incorrectum reliquerit. *Παραβάλλειν* autem hac potestate accedendi non raro usurpatur. De rep. VIII. p. 556. c. *ὅταν παραβάλωσιν ἀλλήλοις οἵ τε ἄρχοντες καὶ οἱ ἀρχόμενοι ἢ ἐν ὁδῶν πορείαις, ἢ ἐν ἄλλαις τισὶ κοινωνίαις.* Sympos. p. 214. c. *μεθύοντα δὲ ἄνδρα παρὰ νηφόντων λόγους παραβάλλειν, μὴ οὐκ ἐξ ἴσου ᾖ.* Et conf. Bud. Comment. L. G. p. 237. [*Ἵνα καὶ εἰδῇς.* Bekker praeeunte Fic. *ἴδῃς.*]

§. 2. *Αὐτοῦ πρῶτον — Id ante omnia audire velim, quanam quasi mercede proposita sim ingressurus, et quis ille sit*

εἰδῇς τοὺς ὄντας αὐτόθι; Αὐτοῦ πρῶτον ἡδέως ἀκούσαιμ' ἄν, ἐπὶ τῷ καὶ εἴσειμι, καὶ τίς ὁ καλός. Ἄλλος, b.
ἔφη, ἄλλῳ ἡμῶν δοκεῖ, ὦ Σώκρατες. Σοὶ δὲ δὴ τίς, ὦ Ἱππόθαλες; τοῦτό μοι εἰπέ. Καὶ ὃς ἐρωτηθεὶς ἠρυθρίασε, καὶ ἐγὼ εἶπον, Ὦ παῖ Ἱερωνύμου Ἱππόθαλες, τοῦτο μὲν μηκέτι εἴπῃς, εἴτε ἐρᾷς του εἴτε μή. Οἶδα γὰρ, ὅτι οὐ μόνον ἐρᾷς, ἀλλὰ καὶ πόῤῥω ἤδη εἶ πορευόμενος τοῦ ἔρωτος. Εἰμὶ δ' ἐγὼ τὰ μὲν ἄλλα φαῦλος καὶ ἄχρηστος, τοῦτο δέ μοί πως ἐκ θεοῦ δέδοται, ταχὺ οἴῳτ' εἶναι γνῶναι ἐρῶντά τε καὶ ἐρώμενον. Καὶ ὃς ἀκούσας πολὺ ἔτι μᾶλλον ἠρυθρίασεν. c.
Ὁ οὖν Κτήσιππος, Ἀστεῖόν γε, ἦ δ' ὃς, ὅτι ἐρυθριᾷς, ὦ Ἱππόθαλες, καὶ ὀκνεῖς εἰπεῖν Σωκράτει τοὔνομα·

---

pulcher. Αὐτοῦ pro τούτου s. ἐκείνου adhibitum, ut saepe. de rep. II. p. 362. d. Αὐτὸ, ἦ δ' ὃς, οὐκ εἴρηται ὃ μάλιστα ἔδει ῥηθῆναι. Hipp. Mai. §. 34. Νῦν δὲ θέασαι αὐτὸ εἴ σοι δοκεῖ εἶναι τὸ καλόν. Λέγω δὴ αὐτὸ εἶναι etc. Phaedr. §. 129. Αὐτά γε, ὦ Σώκρατες, διελήλυθας ἃ λέγουσιν οἱ περὶ τοὺς λόγους τεχνικοὶ προσποιούμενοι εἶναι. Conf. Schneider. ad Xenoph. Mem. III. 10, 4. [Ad Soph. 106. tamen praetulit Hdf. Heusdii (p. 96.) rationem, αὐτοῦ hic quidem pro σοῦ positum accipientis.]

2. Εἰμὶ δ' ἐγὼ τὰ μὲν ἄλλα — Colorem hinc duxit Themist. Orat. III. p. 65. Ἐγὼ δὲ τὰ μὲν ἄλλα εἰμὶ φαῦλος καὶ ἄτεχνος, καὶ οὔτε ἀγαπῶ σφόδρα, οὔτε ἐπίσταμαι κρίνειν· ἑνὸς δέ εἰμι κτήματος ἐραστὴς, φιλίας ἀληθινῆς καὶ ἀδόλου. De sententia conf. Theag. p. 128. b., ubi idem de se profitetur Socrates, sed parum ibi commode, ut plurima omnino dialogus ille habet Platonis ingenio stiloque prorsus indigna. Ἀστεῖόν γε — *Urbanum, inquit, est, quod erubescis.* Corn. Est potius *lepidum, ridiculum.* de rep. I. p. 349. b. ὁ δίκαιος τοῦ δικαίου δοκεῖ τι σοι ἂν ἐθέλειν πλεῖον ἔχειν; Οὐδαμῶς, ἔφη. Οὐ γὰρ ἂν ἦν ἀστεῖος, ὥσπερ νῦν, καὶ εὐήθης. Conf. Hemsterhus. ad Aristoph. Plut. p. 231. — Παραταθήσεται, *enecabitur audiendo.* V. Ruhnk. ad Tim. Lex. p. 206.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-12523/fragment/page=0025

ἐὰν δ' οὗτος καὶ σμικρὸν χρόνον συνδιατρίψῃ σοι, πα-
3. ραταθήσεται ὑπὸ σοῦ ἀκούων θαμὰ λέγοντος. Ἡμῶν
γοῦν, ὦ Σώκρατες, ἐκκεκώφωκε τὰ ὦτα καὶ ἐμπέ-
πληκε Λύσιδος· ἂν μὲν δὴ καὶ ὑποπίῃ, εὐμάρεια ἡμῖν
ἐστι καὶ ἐξ ὕπνου ἐγρομένοις Λύσιδος οἴεσθαι τοῦ-
d. νομα ἀκούειν. Καὶ ἃ μὲν καταλογάδην διηγεῖται,
δεινὰ ὄντα, οὐ πάνυ τι δεινά ἐστιν· ἀλλ' ἐπειδὰν τὰ
ποιήματα ἡμῶν ἐπιχειρήσῃ καταντλεῖν καὶ συγγράμ-

---

§. 3. Ἡμῶν γοῦν, ὦ Σώκρ., ἐκκεκώφωκε — Sublegit hinc sua Aristaenet. Ep. I. 24. Πυκνὰ γοῦν ὅμως τοῦτον παρ' ἡμῖν ἐπαινοῦσα ἐκκεκώφηκας ἡμῶν τὰ ὦτα καὶ ἐμπέπληκας τοῦ Λυσίου, ὥστε καὶ ἀνεγρομένους ἐξ ὕπνου οἴεσθαι τοῦ νέου τὴν προσηγορίαν ἀκούειν, ubi Platonis meminisse debebat Abreschius. Ἂν μὲν δὴ καὶ ὑποπίῃ — *Si vero se paullulum inebriarit, ut sui non satis sit compos, ita aures nostras Lysidis sui nomine implet, ut ἐναυλον nobis sit nomen, videamurque etiam postridie e somno excitati illud audire.* In plana hac et venusta sententia nescio quid acciderit Cornario, ut vocem ὑποπίῃ commodam sententiam exhibere non putaret, scriberetque ὑπνέοιμεν, quod ne Graecum quidem est. Scilicet in illis ἂν μὲν δὴ καὶ ὑποπίῃ respicere videtur Ctesippus Hermaea, quae hic in palaestra a pueris celebrantur, quibus nimio plus genio indulgere solebant. Diog. Epist. ad Graec. laudante Meurs. de Fest. Graec. c. III. ἐν γυμνασίοις ὅταν ᾖ τὰ καλούμενα Ἑρμαῖα, ἐσθίετε, πίνετε, μεθύετε, συνουσίας περαίνετε, ἐκ τῶν ἐν ντ'ων περαίνεσθε. Et hinc in extremo hoc libro paedagogi ὑποπεπωκότες ἐν τοῖς Ἑρμαίοις.

3. Καὶ ἃ μὲν καταλογάδην — *quaeque soluta oratione enarrat, quamvis molesta, non sunt tamen admodum molesta prae carminibus illis, quibus perfundere quasi et obruere nos solet.* [οὐ πάνυ τι — Sic Bekk. cum codd. optimis et longe plurimis: vulgo τοι.] Illa, ἀλλ' ἐπειδὰν τὰ ποιήματα ἡμῶν ἐπιχειρήσῃ καταντλεῖν, perperam accepta a Ficino et Serrano, lucem accipient ex loco illo de rep. I. p. 344. d. Ταῦτα εἰπὼν ὁ Θρασύμαχος ἐν νῷ εἶχεν ἀπιέναι, ὥσπερ βαλανεὺς ἡμῶν καταντλήσας κατὰ τῶν ὤτων ἀθρόον καὶ πολὺν τὸν λόγον, quae imitatur Lucian. Encom. Demosth. §. 16. ἦ πού γε, ἔφην,

ματα· καὶ ὅ ἐστι τούτων δεινότερον, ὅτι καὶ ᾄδει εἰς τὰ παιδικὰ φωνῇ θαυμασίᾳ, ἣν ἡμᾶς δεῖ ἀκούοντας ἀνέχεσθαι· νῦν δὲ ἐρωτώμενος ὑπὸ σοῦ ἐρυθριᾷ. Ἔστι δὲ, ἦν δ' ἐγὼ, ὁ Λύσις νέος τις, ὡς ἔοικε. τεκμαίρομαι δὲ, ὅτι ἀκούσας τοὔνομα οὐκ ἔγνων. Οὐ γὰρ πάνυ, ἔφη, τὶ αὐτοῦ τοὔνομα λέγουσιν, ἀλλ' ἔτι πατρόθεν ἐπονομάζεται, διὰ τὸ σφόδρα τὸν πατέρα γιγνώσκεσθαι αὐτοῦ. Ἐπεὶ εὖ οἶδ' ὅτι πολλοῦ δεῖς τὸ εἶδος ἀγνοεῖν τοῦ παιδός· ἱκανὸς γὰρ καὶ ἀπὸ μόνου τούτου γιγνώσκεσθαι. Λεγέσθω, ἦν δ' ἐγὼ, οὗ- 4.

διανοῇ καταχεῖν μου τῶν ὦτων ὥσπερ βαλανεὺς καταντλήσας τὸν λοιπὸν λόγον; ubi Gesnerus Platonis non memor rem non expediit. Similique prorsus modo adhibetur κατασκεδάσαι τί τινος, de quo vid. Pierson. ad Moerid. Lex. p. 216. Denique συγγράμματα et συγγραφεῖς saepe sic opponuntur ποιήμασι et ποιηταῖς. Phaedr. §. 24. ἀκήκοα ἤ που Σαπφοῦς — ἢ Ἀνακρέοντος — ἢ καὶ συγγραφέων τινῶν. Isocrat. ad Nicocl. p. 45. τὰ συμβουλεύοντα καὶ τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων χρησιμώτατα ἅπαντες νομίζουσι. Et conf. Sallier. ad Thom. Mag. p. 813. συγγράμματα igitur h. l. accipiendum de *scriptis*, illa ἃ καταλογάδην διηγεῖται, de *narrationibus in familiari sermone*. Post συγγράμματα autem in calore dicentis omissum ταῦτα δεινά ἐστι, et post δεινότερον tacite suppleri potest τοῦτό ἐστι. Hipp. Min. p. 368. c. καὶ ὅγε πᾶσιν ἔδοξεν ἀποπώτατον καὶ σοφίας πλείστης ἐπίδειγμα, ἐπειδὴ τὴν ζώνην ἔφησθα — αὐτὸς πλέξαι. [Gramm. §. 150. (138.) IV, 5.]

3. [Ἐπεὶ εὖ οἶδ' ὅτι πολλοῦ δεῖς — Sic pro πολλοῦ δεῖ σε Be. reponi iussit e cod. optimo Clark., duobus Vaticanis itidem eo ducentibus omisso σέ.] ἱκανὸς γὰρ — Aristaenet. Ep. II, 19. Ἱπποθαλῆς μὲν ὄνομα, ἱκανὸς δὲ καὶ ἀπὸ μόνου τοῦ κάλλους γιγνώσκεσθαι. [Ceterum Ἱππoθαλῆς oxytone, ut hic Aristaenetus, cod. praestantissimus Clarkianus semper, et Vaticanus, geminus plerumque illius, interdum: ut ista dubio procul vera sit scriptura habenda.]

§. 4. τοῦ Αἰξωνέως — Αἰξωνὴ pagus Cecropidis tribus, unde Αἰξωνεὺς vel Αἰξονεύς. V. Ruhnken. ad Tim. Lex.

τινός ἐστι. Δημοκράτους, ἔφη, τοῦ Αἰξωνέως ὁ πρεσβύτατος υἱός. Εἶεν, ἦν δ' ἐγώ, ὦ Ἱππόθαλες, ὡς γενναῖον καὶ νεανικὸν τοῦτον τὸν ἔρωτα παντάχῃ ἀνεῦρες. Καί μοι ἴθι ἐπίδειξαι ἃ καὶ τοῖσδε ἐπιδείκνυσαι, ἵνα εἰδῶ εἰ ἐπίστασαι ἃ χρὴ ἐραστὴν περὶ παι-
p. 205. a. δικῶν πρὸς αὐτὸν ἢ πρὸς ἄλλους λέγειν. Τούτων δέ τι, ἔφη, σταθμᾷ, ὦ Σώκρατες, ὧν ὅδε λέγει; Πότερον, ἦν δ' ἐγώ, καὶ τὸ ἐρᾷν ἔξαρνος εἶ οὐ λέγει ὅδε; Οὐκ ἔγωγε, ἔφη, ἀλλὰ μὴ ποιεῖν εἰς τὰ παιδικὰ μηδὲ συγγράφειν. Οὐχ ὑγιαίνει, ἔφη ὁ Κτήσιππος, ἀλλὰ

---

p. 15. *Εἶεν, ἦν δ' ἐγώ, ὡς γενναῖον — Sit ita, inquam ego, o Hippothales, ut generosum et undique praeclarum hunc amorem inveneris.* Cornar., eodemque fere modo Ficinus et Serranus. Mihi sic potius interpungenda haec videntur, *Εἶεν, ἦν δ' ἐγώ, ὦ Ἱππόθαλες· ὡς γενναῖον — ἀνεῦρες· καί μοι ἴθι —*, ut *ὡς* accipiatur pro *γάρ* significatu apud Platonem quoque tritissimo. Infertur autem *γὰρ* post *εἶεν* saepissime. Sympos. p. 204. c. *Εἶεν δή, ὦ ξένη· καλῶς γὰρ λέγεις· τοιοῦτος ὢν ὁ Ἔρως τίνα χρείαν ἔχει;* Est autem *νεανικὸν* h. l. *gloriosum, magnificum.* de rep. I. p. 363. c. *Μουσαῖος δὲ τούτων νεανικώτερα τἀγαθὰ καὶ ὁ υἱὸς αὐτοῦ παρὰ θεῶν διδύασι τοῖς δικαίοις.* VI. p. 503. c. *νεανικοί τε καὶ μεγαλοπρεπεῖς τὰς διανοίας.* VIII. p. 563. e. *αὕτη μὲν τοίνυν ἡ ἀρχὴ οὑτωσὶ καλὴ καὶ νεανική, ὅθεν τυραννὶς φύεται.* Alcib. I. p. 104. a. *οἴει γὰρ δὴ εἶναι — νεανικώτατον γένους ἐν τῇ σαυτοῦ πόλει.*

4. *Τούτων δέ τι σταθμᾷ; Horumne quidquam pensi habes?* Obvium est *σταθμᾶσθαι* (v. Bud. Comm. Gr. L. p. 248.), *σταθμᾷν* non item, ut mirer Cornarium *σταθμᾷς* corrigentem. Mox in verbis *ἀλλὰ μὴ ποιεῖν* particula *μὴ* post *ἔξαρνος εἶ* infertur more Graecis legitimo. Isocr. Trapez. p. 710. *ἔξαρνος ἐγενόμην — μηδὲν κεκτῆσθαι.* Conf. Bergler. ad Alciphron. p. 215. et Horrei Obss. Crit. p. 447.

4. *Οὐχ ὑγιαίνει — Noli huic credere, inquit Ctesippus, carmina se scribere neganti, neque enim sana est mente.* Haec decent Ctesippum, protervum hominem, qualis et hic est, et describitur a Platone in Euthydemo p. 273. a. *Κτή-*

ληρεῖ τε καὶ μαίνεται. Καὶ ἐγὼ εἶπον, ὦ Ἱππόθαλες, οὔτι τῶν μέτρων δέομαι ἀκοῦσαι, οὐδὲ μέλος εἴτι πεποίηκας εἰς τὸν νεανίσκον, ἀλλὰ τῆς διανοίας, ἵνα εἰδῶ, τίνα τρόπον προσφέρει πρὸς τὰ παιδικά. Ὅδε b. δήπου σοι, ἔφη, ἐρεῖ· ἀκριβῶς γὰρ ἐπίσταται καὶ μέμνηται, εἴπερ, ὡς λέγει, ὑπ' ἐμοῦ ἀεὶ ἀκούων διατεθρύληται. Νὴ τοὺς θεούς, ἔφη ὁ Κτήσιππος, πάνυ 5. γε· καὶ γάρ ἐστι καταγέλαστα, ὦ Σώκρατες. Τὸ γὰρ ἐραστὴν ὄντα καὶ διαφερόντως τῶν ἄλλων τὸν νοῦν προσέχοντα τῷ παιδὶ, ἴδιον μὲν μηδὲν ἔχειν λέγειν, ὃ οὐχὶ κἂν παῖς εἴποι, πῶς οὐχὶ καταγέλαστον; ἃ δὲ ἡ πόλις ὅλη ᾄδει περὶ Δημοκράτους καὶ Λύσιδος, c. τοῦ πάππου τοῦ παιδὸς, καὶ πάντων πέρι τῶν προγόνων, πλούτους τε καὶ ἱπποτροφίας καὶ νίκας Πυθοῖ

σιππος νεανίσκος τις Παιανιεὺς μάλα καλός τε κἀγαθὸς τὴν φύσιν ὅσον μέν, ὑβριστὴς δὲ διὰ τὸ νέος εἶναι· neque video, quid moverit Cornarium, ut ἔφη deleret, verba haec tribuens Hippothali. Cuius si essent, ita potius scripsisset Plato: οὐ γὰρ ὑγιαίνει Κτήσιππος —. Deinde illa ἀλλὰ τῆς διανοίας perperam accepit Ficinus: *Sed qua mente sis in pueros.* Διάνοιαν h. l. accipe de *ipso carminum argumento sententiisque.* Ion. p. 530. b. τὴν τούτου (τοῦ Ὁμήρου) διάνοιαν ἐκμανθάνειν, μὴ μόνον τὰ ἔπη, ζηλωτόν ἐστιν. Critias p. 113. a. ἑκάστου τὴν διάνοιαν ὀνόματος ἀναλαμβάνων. Lysias ed. Reisk. p. 348. οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ τῆς τούτων διανοίας. Conf. Plat. Phaedr. §. 4. εἴπερ — ἀκούων διατεθρύληται. *Siquidem aures eius a me sunt obtusae.* de rep. II. p. 358. c. ἀπορῶ μέντοι διατεθρυλημένος τὰ ὦτα ἀκούων Θρασυμάχου καὶ μυρίων ἄλλων.

§. 5. πλούτους τε καὶ ἱπποτροφ. Isocrat. de Big. p. 696. Ἱπποτροφεῖν — ὃ τῶν εὐδαιμονεστάτων ἔργον ἐστὶν, φαῦλος δ' οὐδεὶς ἂν ποιήσειεν. Et conf. Bach. ad Xenoph. Oecon. II. 6. De ἵππῳ κέλητι vid. Spanhem. ad Callim. in Del. v. 113. Paullo post κρονικώτερα male vertunt *antiquiora.* Immo *stul-*

καὶ Ἰσθμοῖ καὶ Νεμέᾳ τεθρίπποις τε καὶ κέλησι, ταῦτα ποιεῖ τε καὶ λέγει· πρὸς δὲ τούτοις ἔτι τούτων κρονικώτερα· τὸν γὰρ τοῦ Ἡρακλέους ξενισμὸν πρώην ἡμῖν ἐν ποιήματί τινι διῆει, ὡς διὰ τὴν τοῦ Ἡρακλέους εὐγγένειαν ὁ πρόγονος αὐτῶν ὑποδέξαιτο τὸν
d. Ἡρακλέα, γεγονὼς αὐτὸς ἐκ Διός τε καὶ τῆς τοῦ δήμου ἀρχηγέτου θυγατρὸς, ἅπερ αἱ γραῖαι ᾄδουσι, καὶ
6. ἄλλα πολλὰ τοιαῦτα, ὦ Σώκρατες. Ταῦτ' ἐστὶν, ἃ οὗτος λέγων τε καὶ ᾄδων ἀναγκάζει καὶ ἡμᾶς ἀκροᾶσθαι. Καὶ ἐγὼ ἀκούσας εἶπον, Ὦ καταγέλαστε Ἱππόθαλες, πρὶν νενικηκέναι ποιεῖς τε καὶ ᾄδεις εἰς σαυτὸν ἐγκώμιον; Ἀλλ' οὐκ εἰς ἐμαυτὸν, ἔφη, ὦ Σώκρατες, οὔτε ποιῶ οὔτε ᾄδω. Οὐκ οἴει γε, ἦν δ'
e. ἐγώ. Τὸ δὲ πῶς ἔχει; ἔφη. Πάντων μάλιστα, εἶπον, εἰς σὲ τείνουσιν αὗται αἱ ᾠδαί. Ἐὰν μὲν γὰρ ἕλῃς τὰ παιδικὰ τοιαῦτα ὄντα, κόσμος σοι ἔσται τὰ λεχθέντα καὶ ᾀσθέντα, καὶ τῷ ὄντι ἐγκώμια ὥσπερ

---

tiora, inceptiora. Vid. L. Bos. Obs. Crit. c. V. p. 20. καὶ τῆς τοῦ δήμου ἀρχηγέτου θυγατρός. Absurde Serranus: quippe quum proavus ille suus natus esset ex quadam filia Iovis et principis cuiusdam mulieris, quae dominatum in populo obtinebat. Coartata est verborum structura, sic expedienda: καὶ τῆς θυγατρὸς τοῦ ἀρχηγέτου τοῦ δήμου. Conf. Phaedr. §. 87. Ac δῆμος sine dubio capiendum de pago Aexona, unde originem Lysis duxit. §. 4. Ἀρχηγέτης autem est, opinor, h. l. κτιστὴς, οἰκιστὴς, de quo vid. Spanhem. ad Callim. in Apollin. v. 57. ubi laudato Aristidis Paneg. Cyzic. p. 414. loco ἀρχηγέτης ab ipso Aristide per οἰκιστὴν declaratur. Sophocl. Oed. Col. 58. Αἱ δὲ πλησίον γύαι τὸν ἱππότην Κολωνὸν εὔχονται σφισιν Ἀρχηγὸν ὄντα καὶ φέρουσι τοὔνομα Τὸ τοῦδε.

§. 6. πρὶν νενικηκέναι. Schol. πρὸ τῆς νίκης ᾄδεις τὸ ἐγκώμιον, ἐπὶ τῶν τὰ πράγματα προλαμβανόντων. Cf. Theaet. 56. Tum σαυτὸν rescripsi cum Stephano [et codd. longe plur.]

νενικηκότι, ὅτι τοιούτων παιδικῶν ἔτυχες· ἐὰν δέ σε διαφύγῃ, ὅσῳ ἂν μείζω σοι εἰρημένα ᾖ ἐγκώμια περὶ τῶν παιδικῶν, τοσούτῳ μειζόνων δόξεις καλῶν τε καὶ ἀγαθῶν ἐστερημένος καταγέλαστος εἶναι. Ὅστις οὖν p. 206. a. τὰ ἐρωτικὰ, ὦ φίλε, σοφὸς, οὐκ ἐπαινεῖ τὸν ἐρώμενον, πρὶν ἂν ἔλῃ, δεδιὼς τὸ μέλλον ὅπῃ ἀποβήσεται. Καὶ ἅμα οἱ καλοὶ, ἐπειδάν τις αὐτοὺς ἐπαινῇ καὶ αὔξῃ, φρονήματος ἐμπίπλανται καὶ μεγαλαυχίας. Ἢ οὐκ οἴει; Ἔγωγε, ἔφη. Οὐκοῦν ὅσῳ ἂν μεγαλαυχότεροι 7. ὦσι, δυσαλωτότεροι γίγνονται; Εἰκός γε. Ποῖός τις οὖν ἄν σοι δοκοῖ θηρευτὴς εἶναι, εἰ ἀνασοβοῖ θηρεύων καὶ δυσαλωτοτέραν τὴν ἄγραν ποιοῖ; Δῆλον ὅτι φαῦλος. Καὶ μὲν δὴ λόγοις τε καὶ ᾠδαῖς μὴ κηλεῖν ἀλλ' b. ἐξαγριαίνειν, πολλὴ ἀμουσία. Ἦ γάρ; Δοκεῖ μοι. Σκόπει δὴ, ὦ Ἱππόθαλες, ὅπως μὴ πᾶσι τούτοις ἔνοχον σαυτὸν ποιήσεις διὰ τὴν ποίησιν. Καίτοι οἶμαι ἐγὼ, ἄνδρα ποιήσει βλάπτοντα ἑαυτὸν οὐκ ἄν σε ἐθέλειν ὁμολογῆσαι ὡς ἀγαθός ποτ' ἐστὶ ποιητὴς, βλαβερὸς ὢν ἑαυτῷ. Οὐ μὰ τὸν Δία, ἔφη· πολλὴ γὰρ ἂν ἀλογία εἴη· ἀλλὰ διὰ ταῦτα δή σοι, ὦ Σώ-

---

pro αὐτὸν propter seqq. ἀλλ' οὐκ εἰς ἐμαυτόν. τὸ μέλλον ὅπῃ ἀποβήσεται. Malebat aliquis ὅποι. Herodot VIII. 67. ἐκαραδόκεον τὸν πόλεμον τῇ ἀποβήσεται, ubi vid. Wesseling.

§. 7. [Ποῖός τις οὖν ἄν σοι δοκοῖ — Sic Be. ex optimis. Vulgo δοκῇ.] Verba Δῆλον ὅτι φαῦλος sine dubio sunt Hippothalis. Mox in his ὅπως μὴ — ποιήσεις reposui ποιήσεις pro ποιήσῃς. Vid. Dawes. Misc. Crit. §. 227. et Toup. in Suid. P. I. p. 31. ed. Lips. Post illa, βλαβερὸς ὢν ἑαυτῷ, non redundant. Nimirum quum bonum poetam esse liceat, quamvis suis sibi ipse noceat carminibus: ut aliquam veri speciem sententiae conciliet, statim cum vi quadam iterat

c. κρατες, ἀνακοινοῦμαι· καὶ εἴ τι ἄλλο ἔχεις, συμβούλευε, τίνα ἄν τις λόγον διαλεγόμενος ἢ τί πράττων προσφιλὴς παιδικοῖς γένοιτο. Οὐ ῥᾴδιον, ἦν δ' ἐγὼ, εἰπεῖν· ἀλλ' εἴ μοι ἐθελήσαις αὐτὸν ποιῆσαι εἰς λόγους ἐλθεῖν, ἴσως ἂν δυναίμην σοι ἐπιδεῖξαι, ἃ χρὴ αὐτῷ διαλέγεσθαι ἀντὶ τούτων, ὧν οὗτοι λέγειν τε καὶ
8. ᾄδειν φασί σε. Ἀλλ' οὐδὲν, ἔφη, χαλεπόν. Ἂν γὰρ εἰσέλθῃς μετὰ Κτησίππου τοῦδε, καὶ καθεζόμε-
d. νος διαλέγῃ, οἶμαι μὲν καὶ αὐτός σοι πρόσεισι· φιλήκοος γὰρ, ὦ Σώκρατες, διαφερόντως ἐστί· καὶ ἅμα, ὡς Ἑρμαῖα ἄγουσιν, ἀναμεμιγμένοι ἐν ταυτῷ εἰσιν οἵ τε νεανίσκοι καὶ οἱ παῖδες. Πρόσεισιν οὖν σοι· εἰ δὲ μὴ, Κτησίππῳ συνήθης ἐστὶ, διὰ τὸν τούτου ἀνεψιὸν Μενέξενον· Μενεξένῳ μὲν γὰρ δὴ πάντων μάλιστα ἑταῖρος ὢν τυγχάνει· καλεσάτω οὖν οὗτος αὐτὸν, ἐὰν ἄρα μὴ προσίῃ αὐτός. Ταῦτα, ἦν δ' ἐγὼ, χρὴ ποιεῖν· καὶ ἅμα λαβὼν τὸν Κτήσιππον προσήειν
e. εἰς τὴν παλαίστραν· οἱ δ' ἄλλοι ὕστεροι ἡμῶν ἦεσαν.

---

praegressum illud βλαπτ. ἑαυτόν. ἀντὶ τούτων, ὧν οὗτοι λέγειν — φασί σε. Bene οὗτοι, quamquam unus dixerat Ctesippus; ipso enim silentio ceteri illa comprobaverant.

§. 8. καὶ ἅμα, ὡς Ἑρμαῖα ἄγουσιν. In editis male distinctum: καὶ ἅμα ὡς Ἑρμαῖα ἄγουσιν ἀναμεμιγμένοι, ἐν ταυτ. Sensus est: *Et simul, nam Hermaea celebrant, uno in loco adolescentes et pueri sunt congregati.* Hermaea puerorum adolescentiumque festum fuisse, intelligitur etiam ex lege illa apud Aeschinem in Timarch. T. III. p. 38. ed. Reisk., qua cautum, ne id temporis adultum quenquam gymnasia ingredi paterentur gymnasiarchae. Enimvero qualis haec est sententiarum consecutio? *Si intraveris cum Ctesippo hoc, sedensque colloquere, sponte, opinor, adibit; est enim sermonis audiendi cupidissimus; simulque, ut Hermaeis, eodem in lo-*

Εἰσελθόντες δὲ κατελάβομεν αὐτόθι τεθυκότας τε τοὺς παῖδας καὶ τὰ περὶ τὰ ἱερεῖα σχεδόν τι ἤδη πεποιημένα, ἀστραγαλίζοντάς τε δὴ καὶ κεκοσμημένους ἅπαντας. Οἱ μὲν οὖν πολλοὶ ἐν τῇ αὐλῇ ἔπαιζον ἔξω, 9. οἱ δέ τινες τοῦ ἀποδυτηρίου ἐν γωνίᾳ ἠρτίαζον ἀστραγάλοις παμπόλλοις, ἐκ φορμίσκων τινῶν προαιρούμενοι. Τούτους δὲ περιέστασαν ἄλλοι θεωροῦντες, ὧν δὴ καὶ ὁ Λύσις ἦν, καὶ εἱστήκει ἐν τοῖς παισί τε

---

co sunt adolescentes puerique. Adibit igitur ad te. Quid? ideone eum aditurum putat, quod ibi simul sunt adolescentes et pueri? An putat fore ut adolescentes, Socrati familiares plerique, statim ut eum conspexerint adeant secumque Lysidem trahant? Sed fallor aut est hic aliqua sententiarum perturbatio, non aliena illa a sermonis stilo et ab ipso Platone quaesita. Sic autem accuratius procederet sermonis tenor: *ἂν γὰρ εἰσέλθῃς μετὰ Κτησίππου τοῦδε καὶ καθεζόμενος διαλέγῃ, οἶμαι μέν, καὶ αὐτὸς πρόσεισι, φιλήκοος γάρ, ὦ Σώκρ., διαφερόντως ἐστί. Πρόσεισιν οὖν σοι. Εἰ δὲ μή, Κτησίππῳ συνήθης ἐστὶ διὰ τὸν τούτου ἀνεψιὸν Μενέξενον. Μενεξένῳ μὲν γὰρ δὴ πάντων μάλιστα ἑταῖρος ὢν τυγχάνει. Εἰσὶ δέ, ὡς Ἑρμαῖα ἄγουσιν, ἀναμεμιγμένοι ἐν ταυτῷ οἵ τε νεανίσκοι καὶ οἱ παῖδες. Καλεσάτω οὖν οὗτος αὐτόν, ἐὰν ἄρα μὴ προσίῃ αὐτός.*

8. *αὐτόθι τεθυκότας — ἐν αὐλῇ.* Vid. Dorvill. ad Charit. p. 247. *Κεκοσμημένους, veste candida, λευκῇ* seu *ἱερᾷ ἐσθῆτι*, utpote qui rem divinam fecissent. Vid. Casaub. ad Theophr. Char. XXI.

§. 9. *Οἱ δέ τινες τοῦ ἀποδυτηρίου* — Locum hunc significat Pollux IX, 101. *Καὶ μὲν καὶ ἀρτιάζειν ἀστραγάλους ἐκ φορμίσκων καθαιρουμένους ἐν τῷ ἀποδυτηρίῳ τοὺς παῖδας ὁ Πλάτων ἔφη.* Quam Pollucis scripturam hic restituendam ita putat Hemsterhusius: *ἀστραγάλους παμπόλλους ἐκ φορμ. τιν. προαιρούμενοι* vel potius *καθαιρούμενοι*. De postremo vocabulo dubito; sed accusativum *ἀστραγάλους παμπ.* verum puto. Nam *τῷ ἀρτιάζειν* cur *ἀστραγάλοις* adderet, causa non erat, atque *προαιρούμενοι* accusativum suum requirit. [Accusativus in uno e Vaticanis inventus est.] *Ἀρτιάζειν* quid sit, docet Pollux l. l., ubi vid. intpp. De voc. *φορμίσκος* vid. Ruhn-

p. 207. a. καὶ νεανίσκοις ἐστεφανωμένος, καὶ τὴν ὄψιν διαφέρων, οὐ τὸ καλὸς εἶναι μόνον ἄξιος ἀκοῦσαι, ἀλλ' ὅτι καλός τε κἀγαθός. Καὶ ἡμεῖς εἰς τὸ καταντικρὺ ἀποχωρήσαντες ἐκαθεζόμεθα, ἦν γὰρ αὐτόθι ἡσυχία, καί τι ἀλλήλοις διελεγόμεθα. Περιστρεφόμενος οὖν ὁ Λύσις θαμὰ ἐπεσκοπεῖτο ἡμᾶς, καὶ δῆλος ἦν ἐπιθυμῶν προσελθεῖν. Τέως μὲν οὖν ἠπόρει τε καὶ ὤκνει μόνος προσιέναι· ἔπειτα ὁ Μενέξενος ἐκ τῆς αὐλῆς μεταξὺ παίζων εἰσέρχεται, καὶ ὡς εἶδεν ἐμέ τε καὶ τὸν Κτή-
10. b. σιππον, ἦει παρακαθιζησόμενος. Ἰδὼν οὖν αὐτὸν ὁ Λύσις ἕσπετο καὶ συμπαρεκαθέζετο μετὰ τοῦ Μενεξένου. Προσῆλθον δὴ καὶ οἱ ἄλλοι, καὶ δὴ καὶ ὁ Ἱπποθάλης ἐπειδὴ πλείους ἑώρα ἐφισταμένους, τούτους ἐπηλυγασάμενος προσέστη, ᾗ μὴ ᾤετο κατόψεσθαι τὸν Λύσιν, δεδιὼς μὴ αὐτῷ ἀπεχθάνοιτο, καὶ οὕτω προσεστὼς ἠκροᾶτο. Καὶ ἐγὼ πρὸς τὸν Μενέξενον ἀποβλέψας, Ὦ παῖ Δημοφῶντος, ἦν δ' ἐγώ,
c. πότερος ὑμῶν πρεσβύτερος; Ἀμφισβητοῦμεν, ἔφη.

---

ken. ad Tim. Lex. p. 272. ἐστεφανωμένος. Utpote a sacrificio. De rep. I. p. 328. c. καθῆστο δὲ ἐστεφανωμένος ἐπί τινος προσκεφαλαίου τε καὶ δίφρου. Τεθνκώς γάρ ἐτύγχανεν ἐν τῇ αὐλῇ. [Mox οὐ τῷ καλὸς εἶναι mera Stephanianae menda fuerat.]

§. 10. τούτους ἐπηλυγασάμενος [Be. ex optimis ἐπηλυγισάμενος], *horum se circulo velut umbraculo quodam obtegens.* Vid. Ruhnken. ad Tim. Lex. p. 117., qui hunc ibi locum laudans scripsit προσέστη, id quod et statim sequentia postulant καὶ οὕτω προσεστὼς ἠκροᾶτο, et illa §. 18. ἀνεμνήσθην ὅτι καὶ προσεστὼς λανθάνειν τὸν Λύσιν ἐβούλετο. Correxit hoc etiam Dorvill. ad Charit. p. 145. itemque iam Stephanus in Annotatt. in Plat. p. 17., quam notam omiserunt in Var. Lectt. Bipontini. Vulgo προέστη. Ἀμφισβητοῦμεν,

Οὐκοῦν καὶ ὁπότερος γενναιότερος, ἐρίζοιτ' ἄν, ἦν δ' ἐγώ. Πάνυ γε, ἔφη. Καὶ μὴν ὁπότερός γε καλλίων, ὡσαύτως. Ἐγελασάτην οὖν ἄμφω. Οὐ μὴν ὁπότερός γε, ἔφην, πλουσιώτερος ὑμῶν, οὐκ ἐρήσομαι, φίλω γάρ ἐστον. Ἦ γάρ; Πάνυ γ', ἐφάτην. Οὐκοῦν κοινὰ τά γε φίλων λέγεται, ὥστε τούτῳ γε οὐδὲν διοίσετον, εἴπερ ἀληθῆ περὶ τῆς φιλίας λέγετον. Συνεφάτην. Ἐπεχείρουν δὴ μετὰ τοῦτο ἐρωτᾶν, d. ὁπότερος δικαιότερος καὶ σοφώτερος αὐτῶν εἴη. Μεταξὺ οὖν τις προσελθὼν ἀνέστησε τὸν Μενέξενον, φάσκων καλεῖν τὸν παιδοτρίβην. Ἐδόκει γάρ μοι ἱεροποιῶν τυγχάνειν. Ἐκεῖνος μὲν οὖν ᾤχετο· ἐγὼ δὲ τὸν Λύσιν ἠρόμην, Ἦ που, ἦν δ' ἐγώ, ὦ Λύσι, 11. σφόδρα φιλεῖ σε ὁ πατὴρ καὶ ἡ μήτηρ; Πάνυ γε, ἦ δ' ὅς. Οὐκοῦν βούλοιντο ἄν σε ὡς εὐδαιμονέστατον εἶναι; Πῶς γὰρ οὔ; Δοκεῖ δέ σοι εὐδαίμων εἶναι ἄνθρωπος δουλεύων τε καὶ ᾧ μηδὲν ἐξείη ποιεῖν ὧν ἐπι- e. θυμοῖ; Μὰ Δί' οὐκ ἔμοιγε, ἔφη. Οὐκοῦν εἰ σε φιλεῖ ὁ πατὴρ καὶ ἡ μήτηρ καί εὐδαίμονά σε ἐπιθυμοῦσι γενέσθαι, τοῦτο παντὶ τρόπῳ δηλονότι προθυμοῦνται, ὅπως ἂν εὐδαιμονοίης. Πῶς γὰρ οὐχί;

ἔφη. *Pari fere aetate sumus, ut propemodum sit ambiguum.* Ἐδόκει γάρ μοι ἱεροποιῶν τυγχάνειν. Ulpian. ad Demosth. Midian. p. 367. ἱεροποιὸς, ὁ ἐπισκοπῶν τὰ θύματα, μὴ ἀδόκιμα καὶ πηρά.

§. 11. τοῦτο — προθυμοῦνται ὅπως — Cornarium in fraudem induxit depravata in Lachete p. 200 c. scriptura ξυμπρομηθήσῃ, pro ξυμπροθυμήσῃ, ut et ibi paullo post corrigeret ξυμπρομηθεῖσθαι, et hoc loco προμηθοῦνται. Permutata quidem haec saepius a librariis, ut de rep. V. p. 460. d. τὸ δ' ἐφεξῆς διέλθωμεν, ὃ προθυμούμεθα, ubi Cod. Reg. προ-

ἔφη. Ἐῶσιν ἄρα σε ἃ βούλει ποιεῖν, καὶ οὐδὲν ἐπιπλήττουσιν, οὐδὲ διακωλύουσι ποιεῖν ὧν ἂν ἐπιθυμῇς; Ναὶ μὰ Δία ἔμεγε, ὦ Σώκρατες, καὶ μάλα γε πολλὰ κωλύουσι. Πῶς λέγεις; ἦν δ' ἐγὼ, βουλόμενοί σε μακάριον εἶναι διακωλύουσι τοῦτο ποιεῖν ὃ
p. 208. a. ἂν βούλῃ; Ὧδε δέ μοι λέγε· ἢν ἐπιθυμήσῃς ἐπί τινος τῶν τοῦ πατρὸς ἁρμάτων ὀχεῖσθαι λαβὼν τὰς ἡνίας, ὅταν ἁμιλλᾶται, οὐκ ἂν ἐῷέν σε, ἀλλὰ διακωλύοιεν; Μὰ Δί' οὐ μέντοι ἄν, ἔφη, ἐῷεν. Ἀλλὰ τίνα μήν; Ἔστι τις ἡνίοχος παρὰ τοῦ πατρὸς μισθὸν φέρων.
12. Πῶς λέγεις; μισθωτῷ μᾶλλον ἐπιτρέπουσιν ἢ σοὶ ποιεῖν ὅ,τι ἂν βούληται περὶ τοὺς ἵππους, καὶ προσέτι
b. αὐτοῦ τούτου ἀργύριον τελοῦσιν; Ἀλλὰ τί μήν; ἔφη. Ἀλλὰ τοῦ ὀρικοῦ ζεύγους, οἶμαι, ἐπιτρέπουσί σοι ἄρχειν, κἂν εἰ βούλοιο λαβὼν τὴν μάστιγα τύπτειν, ἐῷεν ἄν. Πόθεν, ἦ δ' ὅς, ἐῷεν; Τί δαί; ἦν δ' ἐγὼ, οὐδενὶ ἔξεστιν αὐτοὺς τύπτειν; Καὶ μάλα, ἔφη, τῷ ὀρεωκόμῳ. Δούλῳ ὄντι ἢ ἐλευθέρῳ; Δούλῳ, ἔφη.

μηθούμεθα. Sed probum est vulgatum, neque offendere debet additum τοῦτο. Phileb. p. 16. b. σύ τε προθυμοῦ τοῦτο καὶ ἡμεῖς συνακολουθήσομεν. Phaedo. p. 64. a. ἄτοπον δήπου ἂν εἴη, προθυμεῖσθαι μὲν ἐν παντὶ τῷ βίῳ μηδὲν ἄλλο ἢ τοῦτο· ἥκοντος δὲ δὴ αὐτοῦ ἀγανακτεῖν, ὃ πάλαι προὐθυμοῦντό τε καὶ ἐπετήδευον. — Statim post scripsi Ἐῶσιν ἄρα pro ἄρα. Deinde in his Ναὶ μὰ Δία ἔμεγε — κωλύουσι hoc duplicem habet accusativum, ut Plat. Epist. III. p. 315. d. Ταῦτ' ἄρα σὲ μὲν τότε διεκώλυσα. Ἔστι τις ἡνίοχος — μισθὸν φέρων. Xenoph. Oecon. I. 6. γελοῖον μεντἂν εἴη — εἰ ὁ τοὺς ἐχθροὺς αὔξων προσέτι καὶ μισθὸν τούτου φέροι, ubi perperam φέροιτο legi iubet Zeunius.

§. 12. τῷ ὀρεωκόμῳ. Ita rescripsi pro ὀρεοκόμῳ, Piersonum ad Ael. Herodian. p. 449. secutus. Paullo post ὅδε παιδαγωγὸς accipiendum δεικτικῶς.

Καὶ δοῦλον, ὡς ἔοικεν, ἡγοῦνται περὶ πλείονος ἢ σὲ
τὸν υἱόν, καὶ ἐπιτρέπουσι τὰ ἑαυτῶν μᾶλλον ἢ σοὶ,
καὶ ἐῶσι ποιεῖν ὅ,τι βούλεται, σὲ δὲ διακωλύουσι. Καί c.
μοι ἔτι τόδε εἰπὲ, σὲ αὐτὸν ἐῶσιν ἄρχειν σεαυτοῦ,
ἢ οὐδὲ τοῦτο ἐπιτρέπουσί σοι; Πῶς γὰρ, ἔφη, ἐπι-
τρέπουσιν; Ἀλλ' ἄρχει τίς σου; Οὗδε παιδαγωγὸς,
ἔφη. Μῶν δοῦλος ὤν; Ἀλλὰ τί μήν; ἡμέτερός γε,
ἔφη. Ἦ δεινὸν, ἦν δ' ἐγὼ, ἐλεύθερον ὄντα ὑπὸ δού-
λου ἄρχεσθαι. Τί δὲ ποιῶν αὖ οὗτος ὁ παιδαγωγός
σου ἄρχει; Ἄγων δήπου, ἔφη, εἰς διδασκάλου. Μῶν
μὴ καὶ οὗτοί σου ἄρχουσιν οἱ διδάσκαλοι; Πάντως
δήπου. Παμπόλλους ἄρα σοι δεσπότας καὶ ἄρχοντας 13.
ἑκὼν ὁ πατὴρ ἐφίστησιν. Ἀλλ' ἄρα, ἐπειδὰν οἴκαδε d.
ἔλθῃς παρὰ τὴν μητέρα, ἐκείνη σε ἐᾷ ποιεῖν ὅ,τι ἂν
βούλῃ, ἵν' αὐτῇ μακάριος ᾖς, ἢ περὶ τὰ ἔρια, ἢ περὶ
τὸν ἱστὸν, ὅταν ὑφαίνῃ. Οὔτι γάρ που διακωλύει
σε ἢ τῆς σπάθης ἢ τῆς κερκίδος ἢ ἄλλου του τῶν
περὶ ταλασιουργίαν ὀργάνων ἅπτεσθαι. Καὶ ὃς γε- e.
λάσας, μὰ Δία, ἔφη, ὦ Σώκρατες, οὐ μόνον γε δια-
κωλύει, ἀλλὰ καὶ τυπτοίμην ἂν εἰ ἁπτοίμην. Ἡρά-
κλεις, ἦν δ' ἐγὼ, μῶν μή τι ἠδίκηκας τὸν πατέρα ἢ
τὴν μητέρα; Μὰ Δί' οὐκ ἔγωγε, ἔφη. Ἀλλ' ἀντὶ
τίνος μὴν οὕτω σε δεινῶς διακωλύουσιν εὐδαίμονα
εἶναι καὶ ποιεῖν ὅ,τι ἂν βούλῃ, καὶ δι' ἡμέρας ὅλης
τρέφουσί σε ἀεί τῳ δουλεύοντα, καὶ ἐνὶ λόγῳ ὀλίγου
ὧν ἐπιθυμεῖς οὐδὲν ποιοῦντα; ὥστε σοι, ὡς ἔοικεν,
οὔτε τῶν χρημάτων τοσούτων ὄντων οὐδὲν ὄφελος,
ἀλλὰ πάντες αὐτῶν μᾶλλον ἄρχουσιν ἢ σὺ, οὔτε τοῦ

p. 209. a. σώματος, οὕτω γενναίου ὄντος, ἀλλὰ καὶ τοῦτο ἄλλος ποιμαίνει καὶ θεραπεύει, σὺ δὲ ἄρχεις οὐδενός,
14. ὦ Λύσι, οὐδὲ ποιεῖς οὐδὲν ὧν ἐπιθυμεῖς. Οὐ γάρ που, ἔφη, ἡλικίαν ἔχω, ὦ Σώκρατες. Μὴ οὐ τοῦτό σε, ὦ παῖ Δημοκράτους, κωλύῃ. Ἐπεὶ τόγε τοσόνδε, ὡς ἐγῷμαι, καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ σοι ἐπιτρέπουσι καὶ οὐκ ἀναμένουσιν ἕως ἂν ἡλικίαν ἔχῃς· ὅταν γὰρ βούλωνταί αὐτοῖς τινα ἀναγνωσθῆναι ἢ γραφῆναι, σέ, ὡς ἐγῷμαι, πρῶτον τῶν ἐν τῇ οἰκίᾳ
b. ἐπὶ τοῦτο τάττουσιν. Ἦ γάρ; Πάνυ γ', ἔφη. Οὐκοῦν ἔξεστί σοι ἐνταῦθ' ὅ,τι ἂν βούλῃ πρῶτον τῶν γραμμάτων γράφειν, καὶ ὅ,τι ἂν δεύτερον, καὶ ἀναγιγνώσκειν ὡσαύτως ἔξεστι· καὶ ἐπειδάν, ὡς ἐγῷμαι, τὴν λύραν λάβῃς, οὐ διακωλύουσί σε οὔτε ὁ πατὴρ οὔτε ἡ μήτηρ ἐπιτεῖναί τε καὶ ἀνεῖναι ἣν ἂν βούλῃ τῶν χορδῶν, καὶ ψῆλαι καὶ κρούειν τῷ πλήκτρῳ· ἢ διακωλύουσιν; Οὐ δῆτα. Τί ποτ' ἂν οὖν εἴη, ὦ Λύσι,

---

§. 14. *Οὐ γάρ που ἡλικίαν ἔχω.* Malim *πω*, expressum a Ficino et Cornario. [Dedit ita Be. e duobus.] De verbo *ἡλικία* vid. ad Charmid. §. 3. Mox verba *τόγε τοσόνδε* referuntur ad sequentia illa *ὅταν — ἀναγνωσθῆναι. — τινὰ* non mutandum in *τι*, vid. ad Protag. 48.

14. *καὶ ψῆλαι καὶ κρ.* — Suid. *κυρίως ψάλλειν τὸ τῷ ἄκρῳ τῶν δακτύλων τῶν χορδῶν ἅπτεσθαι.*

14. *Τί ποτ' ἂν οὖν εἴη — διακωλύουσιν.* Iteratio vocabuli in altero orationis membro Platoni non est infrequens v. c. Charmid. §. 23. *καὶ ποίημα μὲν γίγνεσθαι ὄνειδος ἐνίοτε, ὅταν μὴ μετὰ τοῦ καλοῦ γίγνηται· ἔργον δὲ οὐδέποτε οὐδὲν ὄνειδος.* Quanquam hic, ubi praegressam in priore orationis membro negationem in posteriore subsequitur affirmatio, elegantius abesse posterius *διακωλύουσιν* olim judicabam; ut Phaedr. §. 10. *Τὰ μὲν οὖν χωρία καὶ τὰ δένδρα οὐδέν με θέλει*

τὸ αἴτιον, ὅτι ἐνταῦθα μὲν οὐ διακωλύουσιν, ἐν οἷς c.
δὲ ἄρτι ἐλέγομεν διακωλύουσιν; Ὅτι, οἶμαι, ἔφη,
ταῦτα μὲν ἐπίσταμαι, ἐκεῖνα δ' οὔ. Εἶεν, ἦν δ' ἐγώ, 15.
ὦ ἄριστε. Οὐκ ἄρα τὴν ἡλικίαν σου περιμένει ὁ
πατὴρ ἐπιτρέπειν πάντα, ἀλλ' ἢ ἂν ἡμέρᾳ ἡγήσηταί
σε βέλτιον αὑτοῦ φρονεῖν, ταύτῃ ἐπιτρέψει σοι καὶ
αὐτὸν καὶ τὰ αὑτοῦ. Οἶμαι ἔγωγε, ἔφη. Εἶεν, ἦν δ'
ἐγώ. Τί δαί; τῷ γείτονι ἆρ' οὐχ ὁ αὐτὸς ὅρος ὅσπερ
τῷ πατρὶ περὶ σοῦ; πότερον οἴει αὐτὸν ἐπιτρέψειν
σοι τὴν αὑτοῦ οἰκίαν οἰκονομεῖν, ὅταν σε ἡγήσηται d.
βέλτιον περὶ οἰκονομίας ἑαυτοῦ φρονεῖν, ἢ αὐτὸν
ἐπιστατήσειν; Ἐμοὶ ἐπιτρέψειν, οἶμαι. Τί δ', Ἀθη-
ναίους οἴει σοι οὐκ ἐπιτρέψειν τὰ αὑτῶν, ὅταν αἰ-
σθάνωνται ὅτι ἱκανῶς φρονεῖς; Ἔγωγε. Πρὸς Διός,
ἦν δ' ἐγώ, τί ἄρα ὁ μέγας βασιλεύς; πότερον τῷ
πρεσβυτάτῳ υἱεῖ, οὗ ἡ τῆς Ἀσίας ἀρχὴ γίγνεται,
μᾶλλον ἂν ἐπιτρέψειεν ἐνεψομένων κρεῶν ἐμβάλλειν

διδάσκειν, οἱ δ' ἐν τῷ ἄστει ἄνθρωποι. Gorg. §. 121. Ἔλεγον δέ που, ὅτι ἡ μὲν ὀψοποιητικὴ οὔ μοι δοκεῖ τέχνη εἶναι, ἀλλ' ἐμπειρία, ἡ δε ἰατρική. Nunc tamen collato Gorg. §. 171. (ὀνίνανται — ὀνίνανται) non amplius moror. [Codd. long. opt. et plur. secundo loco dant simplex κωλύουσιν.]

§. 15. *Τί δαί; τῷ γείτονι — Vicino tuo nonne idem est finis eademque ratio, ut aetatis tuae annos non numeret, sed si quando te domus administrandae prudentiorem semet ipso putet, tum eius tibi curam sit traditurus?* [ἐνεψομ. Be. ἑψομ. ex indicio in mss.]

15. *ἐμβάλλειν ὅτι ἂν βούληται ἐμβαλεῖν εἰς τὸν ζωμ.* Non video, cur ita a praesente transierit ad aoristum. Platonis esse puto *ἐνεψ. κρεῶν ὅτι ἂν βούληται ἐμβαλεῖν εἰς τὸν ζ.* [Be. bis *ἐμβαλεῖν* adhibito Cod. Par. C, qui priori loco dat *ἐμβάλειν*.]

e. ὅ,τι ἂν βούληται ἐμβαλεῖν εἰς τὸν ζωμὸν, ἢ ἡμῖν, εἰ
ἀφικόμενοι παρ' ἐκεῖνον ἐνδειξαίμεθα αὐτῷ, ὅτι ἡμεῖς
κάλλιον φρονοῦμεν ἢ ὁ υἱὸς αὐτοῦ περὶ ὄψου σκευα-
16. σίας; Ἡμῖν δηλονότι, ἔφη. Καὶ τὸν μέν γε οὐδ' ἂν
σμικρὸν ἐάσειεν ἐμβαλεῖν, ἡμᾶς δὲ κἂν εἰ βουλοί-
μεθα δραξάμενοι τῶν ἁλῶν, ἐφ' ᾗ ἂν ἐμβαλεῖν. Πῶς
γὰρ οὔ; Τί δ'; εἰ τοὺς ὀφθαλμοὺς ὁ υἱὸς αὐτοῦ
ἀσθενοῖ, ἆρα ἐφ' ᾗ ἂν αὐτὸν ἅπτεσθαι τῶν ἑαυτοῦ
ὀφθαλμῶν, μὴ ἰατρὸν ἡγούμενος, ἢ κωλύοι ἄν; Κω-
p.210. λύοι ἄν. Ἡμᾶς δέ γε εἰ ὑπολαμβάνοι ἰατρικοὺς
a. εἶναι, κἂν εἰ βουλοίμεθα διανοίγοντες τοὺς ὀφθαλ-
μοὺς ἐμπάσαι τῆς τέφρας, οἶμαι, οὐκ ἂν κωλύσειεν,
ἡγούμενος ὀρθῶς φρονεῖν. Ἀληθῆ λέγεις. Ἆρ' οὖν
καὶ τἆλλα πάντα ἡμῖν ἐπιτρέποι ἂν μᾶλλον ἢ ἑαυτῷ
καὶ τῷ υἱεῖ, περὶ ὅσων ἂν δόξωμεν αὐτῷ σοφώτεροι
ἐκείνων εἶναι; Ἀνάγκη, ἔφη, ὦ Σώκρατες. Οὕτως
b. ἄρα ἔχει, ἦν δ' ἐγὼ, ὦ φίλε Λύσι· εἰς μὲν ταῦτα ἃ

---

§. 16. Ἆρ' οὖν καὶ τἆλλα — ἐκείνων εἶναι; Ἐκείνων sc. αὐτοῦ τε καὶ τοῦ υἱοῦ: quod durius olim videbatur ob praegressum αὐτῷ, Platonemque scripsisse suspicabar, περὶ ὅσων ἂν δόξωμεν αὐτῶν σοφώτεροι ἐκείνῳ εἶναι. Nunc nil tentandum arbitror. Nam ad δόξωμεν commode statim apponitur dativus: αὐτῷ vero adhibito, αὐτῶν iterum inferri non poterat, pro quo scribi debebat, quanquam duriuscule, ἐκείνων.

16. εἰς μὲν ταῦτα, ἃ ἂν φρόνιμοι — Malebam olim ita scribi: εἰς ἃ μὲν ἂν φρόνιμοι γενώμεθα, ταῦτα ἅπαντες ἡμῖν ἐπιτρέψουσι, ut responderent haec verbis mox illatis: εἰς ἃ δ' ἂν νοῦν μὴ κτησώμεθα, οὔτε τις ἡμῖν ἐπιτρέψει περὶ αὐτὰ ποιεῖν τὰ ἡμῖν δοκοῦντα. Nunc nihil hic arbitror mutandum. Scilicet aut sic expedienda structura, ut εἰς μὲν ταῦτα vertas, quod attinet ad ea, usu particulae εἰς tritissimo, (ut de legg. VI. p. 774. b. Εἰς μὲν οὖν χρήματα, ὁ μὴ θέλων γαμεῖν ταῦτα ζημιούσθω,) ἐπιτρέπειν autem absolute, ut saepe, ad-

ἂν φρόνιμοι γενώμεθα, ἅπαντες ἡμῖν ἐπιτρέψουσιν, Ἕλληνές τε καὶ βάρβαροι καὶ ἄνδρες καὶ γυναῖκες, ποιήσομέν τε ἐν τούτοις ὅ,τι ἂν βουλώμεθα καὶ οὐδεὶς ἡμᾶς ἑκὼν εἶναι ἐμποδιεῖ, ἀλλ' αὐτοί τε ἐλεύθεροι ἐσόμεθα ἐν αὐτοῖς καὶ ἄλλων ἄρχοντες, ἡμέτερά τε ταῦτα ἔσται· ὀνησόμεθα γὰρ ἀπ' αὐτῶν· εἰς 17.
ἃ δ' ἂν νοῦν μὴ κτησώμεθα, οὔτε τις ἡμῖν ἐπιτρέψει περὶ αὐτὰ ποιεῖν τὰ ἡμῖν δοκοῦντα, ἀλλ' ἐμποδιοῦσι πάντες καθ' ὅ,τι ἂν δύνωνται, οὐ μόνον οἱ ἀλλότριοι, ἀλλὰ καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ, καὶ εἴ τι c.
τούτων οἰκειότερόν ἐστιν, αὐτοί τε ἐν αὐτοῖς ἐσόμεθα ἄλλων ὑπήκοοι, καὶ ἡμῖν ἔσται ἀλλότρια· οὐδὲν γὰρ ἀπ' αὐτῶν ὀνησόμεθα. Συγχωρεῖς οὕτως ἔχειν; Συγχωρῶ. Ἆρ' οὖν τῳ φίλοι ἐσόμεθα καί τις ἡμᾶς φιλήσει ἐν τούτοις, ἐν οἷς ἂν ὦμεν ἀνωφελεῖς; Οὐ δῆτα, ἔφη. Νῦν ἄρα οὐδὲ σὲ ὁ πατὴρ, οὐδὲ ἄλλος ἄλλον οὐδένα φιλεῖ, καθ' ὅσον ἂν ᾖ ἄχρηστος. Οὐκ ἔοικεν, ἔφη. Ἐὰν μὲν ἄρα σοφὸς γένῃ, ὦ παῖ, d.
πάντες σοι φίλοι καὶ πάντες σοι οἰκεῖοι ἔσονται· χρήσιμος γὰρ καὶ ἀγαθὸς ἔσει· εἰ δὲ μὴ, σοὶ οὔτε ἄλλος οὐδεὶς οὔτε ὁ πατὴρ φίλος ἔσται, οὔτε ἡ μήτηρ οὔτε οἱ οἰκεῖοι. Οἷόν τε οὖν ἐπὶ τούτοις, ὦ Λύσι, μέγα φρονεῖν, ἐν οἷς τις μήπω φρονεῖ; Καὶ πῶς ἄν;

---

hibitum accipias, quemadmodum toties apud Latinos *permittere* (Vollmacht geben): aut, quod equidem praefero, ταῦτα negligentius a Platone collocatum existimes. Velut de rep. VII. p. 520. d. ἐν πόλει ᾗ ἥκιστα πρόθυμοι ἄρχειν οἱ μέλλοντες ἄρξειν, ταύτην ἄριστα — ἀνάγκη οἰκεῖσθαι.

§. 17. καί τις ἡμᾶς φιλήσει ἐν τούτοις. Correxi φιλήσει. Vulgo φιλήσειεν.

ἔφη. Εἰ δ' ἄρα σὺ διδασκάλου δέει, οὔπω φρονεῖς.
18. Ἀληθῆ. Οὐδ' ἄρα μεγαλόφρων εἶ, εἴπερ ἄφρων ἔτι.
Μὰ Δία, ἔφη, ὦ Σώκρατες, οὔ μοι δοκεῖ. Καὶ ἐγὼ
e. ἀκούσας αὐτοῦ ἀπέβλεψα πρὸς τὸν Ἱπποθάλη, καὶ
ὀλίγου ἐξήμαρτον. Ἐπῆλθε γάρ μοι εἰπεῖν ὅτι Οὕτω
χρή, ὦ Ἱππόθαλες, τοῖς παιδικοῖς διαλέγεσθαι, τα-
πεινοῦντα καὶ συστέλλοντα, ἀλλὰ μή, ὥσπερ σύ,
χαυνοῦντα καὶ διαθρύπτοντα. Κατιδὼν οὖν αὐτὸν
ἀγωνιῶντα καὶ τεθορυβημένον ὑπὸ τῶν λεγομένων,
ἀνεμνήσθην, ὅτι καὶ προσεστὼς λανθάνειν τὸν Λύσιν
ἐβούλετο. Ἀνέλαβον οὖν ἐμαυτὸν καὶ ἐπέσχον τοῦ
p. 211. λόγου· καὶ ἐν τούτῳ ὁ Μενέξενος πάλιν ἦκε, καὶ ἐκα-
a. θέζετο παρὰ τὸν Λύσιν, ὅθεν καὶ ἐξανέστη. Ὁ οὖν
Λύσις μάλα παιδικῶς καὶ φιλικῶς λάθρα τοῦ Μενε-
ξένου σμικρὸν πρός με λέγων, ἔφη, Ὦ Σώκρατες,
ἅπερ καὶ ἐμοὶ λέγεις, εἰπὲ καὶ Μενεξένῳ. Καὶ ἐγὼ
εἶπον, ταῦτα μὲν σὺ αὐτῷ ἐρεῖς, ὦ Λύσι· πάντως
γὰρ προσεῖχες τὸν νοῦν. Πάνυ μὲν οὖν, ἔφη. Πει-
ρῶ τοίνυν, ἦν δ' ἐγώ, ἀπομνημονεῦσαι αὐτὰ ὅτιμά-
b. λιστα, ἵνα τούτῳ σαφῶς πάντα εἴπῃς· ἐὰν δέ τι
αὐτῶν ἐπιλάθῃ, αὖθίς με ἀνερέσθαι ὅταν ἐντύχῃς

---

§. 18. *Πειρῶ τοίνυν, ἦν δ' ἐγώ.* Qui paullo post infertur infinitivus *ἀνερέσθαι*, nisi pendere putetur a *πειρῶ*, quae ratio parum commoda, pro imperativo adhibitus est. Cratyl. p. 426. b. *σὺ δὲ ἄν τι ἔχῃς βέλτιόν ποθεν λαβεῖν, πειρᾶσθαι καὶ ἐμοὶ μεταδιδόναι.* Sophist. p. 218. a. *ἂν δ' ἄρα τι τῷ μήκει πονῶν ἄχθῃ, μὴ ἐμὲ αἰτιᾶσθαι τούτων.* p. 262. e. *λέξω τοίνυν σοι λόγον — ὅτου δ' ἂν ὁ λόγος ᾖ, σύ μοι φράζειν.* Ut mirer Graevium ad Lucian. Soloec. §. 4. poetis hunc usum et legum latoribus familiarem, barbarum in prosa esse dicentem. Vid. Hemsterhus. ad Aristoph. Plut. p. 196.

πρῶτον. Ἀλλὰ ποιήσω, ἔφη, ταῦτα, ὦ Σώκρατες, 19
πάνυ σφόδρα, εὖ ἴσθι· ἀλλά τι ἄλλο αὐτῷ λέγε, ἵνα
καὶ ἐγὼ ἀκούω, ἕως ἂν οἴκαδε ὥρα ᾖ ἀπιέναι. Ἀλλὰ
χρὴ ποιεῖν ταῦτα, ἦν δ' ἐγώ, ἐπειδή γε καὶ σὺ κε-
λεύεις· ἀλλὰ ὅρα ὅπως ἐπικουρήσεις μοι, ἐάν με
ἐλέγχειν ἐπιχειρῇ ὁ Μενέξενος. Ἦ οὐκ οἶσθα, ὅτι
ἐριστικός ἐστι; Ναὶ μὰ Δία, ἔφη, σφόδρα γε· διὰ
ταῦτά τοι καὶ βούλομαί σε αὐτῷ διαλέγεσθαι. Ἵνα, c.
ἦν δ' ἐγώ, καταγέλαστος γένωμαι. Οὐ μὰ Δία, ἔφη,
ἀλλ' ἵνα αὐτὸν κολάσῃς. Πόθεν; ἦν δ' ἐγὼ, οὐ ῥᾴ-
διον, δεινὸς γὰρ ὁ ἄνθρωπος, Κτησίππου μαθητής·
πάρεστι δέ τοι αὐτὸς, οὐχ ὁρᾷς; Κτήσιππος. Μηδε-
νός σοι, ἔφη, μελέτω, ὦ Σώκρατες, ἀλλ' ἴθι διαλέ-
γου αὐτῷ. Διαλεκτέον, ἦν δ' ἐγώ. Ταῦτα οὖν ἡμῶν
λεγόντων πρὸς ἡμᾶς αὐτοὺς, Τί ὑμεῖς, ἔφη ὁ Κτή- d.
σιππος, αὐτὼ μόνω ἑστιᾶσθον, ἡμῖν δὲ οὐ μεταδίδο-
τον τῶν λόγων; Ἀλλὰ μὴν, ἦν δ' ἐγὼ, μεταδοτέον.
Ὅδε γάρ τι ὧν λέγω οὐ μανθάνει, ἀλλὰ φησὶν οἴε-
σθαι Μενέξενον εἰδέναι, καὶ κελεύει τοῦτον ἐρωτᾶν.

---

§. 19. *ἀλλὰ ὅρα ὅπως ἐπικουρήσεις.* Vulgo *ἐπικουρήσῃς.* Vid. ad §. 7. Deinde illa *Ἵνα — γένωμαι* vulgo per interrogationem expressa, sine qua videbantur *ἠθικώτερα.* *Πόθεν; nihil minus.* Conf. §. 12. Hipp. Mai. §. 12. Bergl. ad Aristoph. Eccles. 968. Mox *ὁ ἄνθρωπος* vulgo cum contemptu quodam dictum, et de *servis* proprie, v. Wesseling. ad Herodot. IX, 39.; hic cavillantis est. Verba *οὐχ ὁρᾷς* saepe sic animandae orationis causa interposita, uncis liberavi. Denique in *ἑστιᾶσθον*, ut saepe in *εὐωχεῖσθαι*, tritissimus ille est tropus, Platoni in primis adamatus, de quo vide, si tanti est, Victor. Var. Lectt. II, 14. et Casaub. ad Theophr. c. VIII.

20. Τί οὖν, ἦ δ' ὅς, οὐκ ἐρωτᾷς; Ἀλλ' ἐρήσομαι, ἦν δ' ἐγώ· καί μοι εἰπέ, ὦ Μενέξενε, ὃ ἄν σε ἔρωμαι. Τυγχάνω γὰρ ἐκ παιδὸς ἐπιθυμῶν κτήματός του, ὥσπερ ἄλλος ἄλλου· ὁ μὲν γάρ τις ἵππους ἐπιθυμεῖ
e. κτᾶσθαι, ὁ δὲ κύνας, ὁ δὲ χρυσίον, ὁ δὲ τιμάς· ἐγὼ δὲ πρὸς μὲν ταῦτα πρᾴως ἔχω, πρὸς δὲ τὴν τῶν φίλων κτῆσιν πάνυ ἐρωτικῶς, καὶ βουλοίμην ἄν μοι φίλον ἀγαθὸν γενέσθαι μᾶλλον, ἢ τὸν ἄριστον ἐν ἀνθρώποις ὄρτυγα ἢ ἀλεκτρυόνα· καὶ ναὶ μὰ Δία

---

§. 20. *ἐγὼ δὲ — πρᾴως ἔχω.* Priscian. XVIII. ed. Putsch. p. 1202. „*Plato in Lyside ἐγὼ δὲ πρὸς μὲν ταῦτα ἠπίως ἔχω, πρὸς δὲ τὴν φίλων κτῆσιν πάνυ ἐρωτικῶς, pro πρᾴως dixit* (*F. ἠπίως pro πρᾴως dixit*), *id est, clementer, pro non nimium.*" Ex his *ἠπίως*, ut rarius et poeticum proprie vocabulum, postliminio restituendum arbitror. Suid. *ἤπιος, πρᾶος.*

20. *τὸν ἄριστον ἐν ἀνθρώποις ὄρτυγα. Ἐν ἀνθρώποις* est fere nostrum *in der Welt.* Similiter dicitur *κάλλιστ' ἀνθρώπων* de legg. I, p. 636. e. *ἄριστά γ' ἀνθρώπων* Theaetet. p. 148. b. Xenoph. Memor. III, 6, 2. *καλὸν γάρ, εἴπερ τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις, si quid aliud in vita,* et conf. ibi index Schneid. Utroque avium genere eodem modo usus est Hipp. Mai. §. 35. *Οὐκοῦν καὶ τὸ ὅλον σῶμα οὕτω λέγομεν καλὸν εἶναι — καὶ αὖ τὰ ζῶα πάντα, ἵππον καλὸν καὶ ἀλεκτρυόνα καὶ ὄρτυγα.* Item Plutarch. de Tranq. Anim. T. II. p. 838. ed. Steph. *Οὐ γὰρ πλούσιοι μόνον ὁμοῦ καὶ λόγιοι — εἶναι — ἀξιοῦσιν, ἀλλ' εἰ μὴ καὶ κύνας ἕξουσι πρωτεύοντας ἀρετῇ καὶ ἵππους καὶ ὄρτυγας καὶ ἀλεκτρυόνας, ἀθυμοῦσι.* Scilicet utriusque generis certaminibus mire delectati Athenienses alebant ea diligentissime, de quo insignis est locus in Platone de legg. VII. p. 789. b. Ac de coturnicum ludo vid. Meursius de Ludis Graec. Thes. Gron. T. VII. p. 979.; de gallorum autem gallinaceorum certamine, publice quotannis ex lege Athenis instituto, Sam. Petitus ad Leg. Att. I, 40. s. p. 84.

20. *οἶμαι δέ, νὴ τὸν κύνα, μᾶλλον — Arbitror autem per canem, quod potius et multo prius amicum possidendum susciperem, quam Darii aurum aut ipsum Darium.* Ita Corna-

ἔγωγε μᾶλλον ἢ ἵππον τε καὶ κύνα· οἶμαι δὲ, νὴ τὸν κύνα, μᾶλλον ἢ τὸ Δαρείου χρυσίον κτήσασθαι δεξαίμην πολὺ πρότερον ἑταῖρον μᾶλλον ἢ αὐτὸν Δαρεῖον. Οὕτως ἐγὼ φιλέταιρός τίς εἰμι. Ὑμᾶς οὖν p. 212. a. ὁρῶν, σέ τε καὶ Λύσιν, ἐκπέπληγμαι καὶ εὐδαιμονίζω, ὅτι οὕτω νέοι ὄντες οἷοί τ' ἐστὸν τοῦτο τὸ κτῆμα ταχὺ καὶ ῥᾳδίως κτᾶσθαι, καὶ σὺ δὲ τοῦτον οὕτω φίλον ἐκτήσω ταχύ τε καὶ σφόδρα, καὶ αὖ

---

rius, in quo non tenuit usum τοῦ δέχεσθαι μᾶλλον, malle, ubivis obvium: vid. Duker. ad Thucyd. V, 94. Sed ipsa hac sententia nihil usquam legi ineptius. Quid hoc est, *Darium possidere*, κτήσασθαι αὐτὸν Δαρεῖον? Ut servum, credo. Tum illud μᾶλλον quam moleste iteratum! Conieci olim, verba μᾶλλον ἢ quartum hic post illud ἑταῖρον inculcata esse a librario. Sed cur Darii potissimum amicitiam exoptet Socrates? Non placet hoc sententiae acumen, ne tum quidem, si quis ex his μᾶλλον ἢ exsculpendum putet ἀληθῆ (vid. Valcken. ad Eurip. Hippol. p. 264.), neque hic aliud apte dici puto, nisi hoc, *etiam Darii opes sordere sibi prae bono certoque amico*. Similiter Antisthenes apud Xenoph. Mem. II, 5, 3. ἐγωγ' οὖν βουλοίμην ἂν τὸν μέν τινα φίλον μοι εἶναι μᾶλλον ἢ δύο μνᾶς, τὸν δ' οὐδ' ἂν ἡμιμναίου προτιμησαίμην, τὸν δὲ καὶ πρὸ δέκα μνῶν ἑλοίμην ἄν, τὸν δὲ πρὸ πάντων χρημάτων καὶ πόρων πριαίμην ἂν φίλον μοι εἶναι. Paullo post in verbis καὶ σὺ δὲ τοῦτον malim τε.

20. οὕτω πόρρω εἰμὶ τοῦ κτήματος. *Tam longe sum ab hac possessione*, ut Quintil. Inst. Or. VIII. init. *Scriptores — ab eloquentia longissime fuerunt*. Isocrat. Paneg. §. 2. Ὅστις οὖν οἴεται, τοὺς ἄλλους κοινῇ τι πράξειν ἀγαθὸν, πρὶν ἂν τοὺς προεστῶτας αὐτῶν διαλλάξῃ, λίαν ἁπλῶς ἔχει καὶ πόρρω τῶν πραγμάτων ἐστί. Ibid. §. 32. τίς οὕτω τοσοῦτον πόρρω τῶν πολιτικῶν ἦν πραγμάτων, ὅστις οὐκ ἐγγὺς ἠναγκάσθη γενέσθαι τῶν συμφορῶν; Plat. de rep. I. p. 343. c. οὕτω πόρρω εἶ περί τε τοῦ δικαίου καὶ δικαιοσύνης καὶ ἀδίκου τε καὶ ἀδικίας, ὥστε ἀγνοεῖς etc. Contrarium prorsus sonat locutio πόρρω τινὸς ἥκειν, ἐλαύνειν, πορεύεσθαι. V. Lysid. §. 2. Euthyphr. p. 4. b. Cratyl. p. 410. e.

οὗτος σέ· ἐγὼ δὲ οὕτω πόρρω εἰμὶ τοῦ κτήματος, ὥστε οὐδ' ὁντινα τρόπον γίγνεται φίλος ἕτερος ἑτέρου οἶδα, ἀλλὰ ταῦτα δὴ αὐτά σε βούλομαι ἐρέ-
21. σθαι, ἅτε ἔμπειρον. Καί μοι εἰπέ, ἐπειδάν τίς τινα φιλῇ, πότερος ποτέρου φίλος γίγνεται· ὁ φιλῶν τοῦ
b. φιλουμένου, ἢ ὁ φιλούμενος τοῦ φιλοῦντος· ἢ οὐδὲν διαφέρει; Οὐδέν, ἔφη, ἔμοιγε δοκεῖ διαφέρειν. Πῶς λέγεις; ἦν δ' ἐγώ. Ἀμφότεροι ἄρα ἀλλήλων φίλοι γίγνονται, ἐὰν μόνον ὁ ἕτερος τὸν ἕτερον φιλῇ; Ἔμοιγε, ἔφη, δοκεῖ. Τί δαί; οὐκ ἔστι φιλοῦντα μὴ ἀντιφιλεῖσθαι ὑπὸ τούτου ὃν ἂν φιλῇ; Ἔστι. Τί δαί; ἆρα ἔστι καὶ μισεῖσθαι φιλοῦντα; οἷόν που ἐνίοτε δοκοῦσι καὶ οἱ ἐρασταὶ πάσχειν πρὸς τὰ παιδικά. Φιλοῦντες γὰρ ὡς οἷόν τε μάλιστα, οἱ μὲν οἴονται οὐκ ἀντιφιλεῖσθαι, οἱ δὲ καὶ μισεῖσθαι· ἢ
c. οὐκ ἀληθὲς δοκεῖ σοι τοῦτο; Σφόδρα γε, ἔφη, ἀληθές. Οὐκοῦν ἐν τῷ τοιούτῳ, ἦν δ' ἐγώ, ὁ μὲν φι-

---

§. 21. [*πότερος ποτέρου φίλος γιγν.* Vocem *φίλος* addunt mss. omnes. Tum pro *μόνον* plur. et opt. *μόνος.*] *οἷόν που ἐνίοτε — πρὸς τὰ παιδικά.* Referendum illud *πάσχειν* ad praegressum *φιλοῦντα*, quasi scripsisset *μισούμενον φιλεῖν.* Nam *παθεῖν τι πρός τινα* de eo dici solet, qui *nimio erga aliquem affectu est commotus, amoris praecipue.* Vid. Valck. ad Chrysost. in Oratt. Hemst. p. XXI. Quum tamen sententiae vis posita sit in superiori *μισεῖσθαι*, non in illo *φιλοῦντα*, negligentiorem hic stilum agnosco. — Statim post pro vulgato *οἰόμενοι οἴονται* reposui *οἱ μὲν οἴονται.* In proximis *Ὁπότερος* positum pro *πότερος.* Euthyd. p. 271. a. *Ὁπότερον καὶ ἐρωτᾷς, ὦ Κρίτων*; de rep. I. p. 348. b. *Ὁποτέρως οὖν σοι — ἀρέσκει;* Atque sic *ὅπως* saepe pro *πῶς*, qui usus fefellit Hoogeveen. de Part. Gr. p. 566. ed. Schütz. Conf. Charmid. §. 39.

λεῖ, ὁ δὲ φιλεῖται; Ναί. Ὁπότερος οὖν αὐτῶν ποτέρου φίλος ἐστίν; ὁ φιλῶν τοῦ φιλουμένου, ἐάν τε καὶ ἀντιφιλῆται, ἐάν τε καὶ μισῆται, ἢ ὁ φιλούμενος τοῦ φιλοῦντος· ἢ οὐδέτερος αὖ ἐν τῷ τοιούτῳ οὐδετέρου φίλος ἐστὶν, ἂν μὴ ἀμφότεροι ἀλλήλους φιλῶσιν; Ἔοικε γοῦν οὕτως ἔχειν. Ἀλλοίως ἄρα 22.
νῦν ἡμῖν δοκεῖ ἢ πρότερον ἔδοξε· τότε μὲν γὰρ, εἰ ὁ d.
ἕτερος φιλοῖ, φίλω εἶναι ἄμφω· νῦν δὲ, ἂν μὴ ἀμφότεροι φιλῶσιν, οὐδέτερος φίλος. Κινδυνεύει, ἔφη. Οὐκ ἄρα ἐστὶ φίλον τῷ φιλοῦντι οὐδὲν, μὴ οὐκ ἀντιφιλοῦν. Οὐκ ἔοικεν. Οὐδ' ἄρα φίλιπποι εἰσὶν οὓς ἂν οἱ ἵπποι μὴ ἀντιφιλῶσιν, οὐδὲ φιλόρτυγες, οὐδ' αὖ φιλόκυνές γε καὶ φίλοινοι καὶ φιλογυμνασταὶ καὶ φιλόσοφοι, ἂν μὴ ἡ σοφία αὐτοὺς ἀντιφιλῇ· ἢ φιλοῦσι μὲν ταῦτα ἕκαστοι, οὐ μέντοι φίλα ὄντα, e.
ἀλλὰ ψεύδεθ' ὁ ποιητὴς, ὃς ἔφη,

Ὄλβιος, ᾧ παῖδές τε φίλοι, καὶ μώνυχες ἵπποι,
Καὶ κύνες ἀγρευταὶ, καὶ ξένος ἀλλοδαπός;

Οὐκ ἔμοιγε δοκεῖ, ἦ δ' ὅς. Ἀλλ' ἀληθῆ δοκεῖ λέγειν σοι; Ναί. Τὸ φιλούμενον ἄρα τῷ φιλοῦντι

---

§. 22. [ἀμφοτ. φιλῶσιν. Edd. cum uno Ven. Ξ inserunt ἀλλήλους.] ἀλλὰ ψεύδεθ' ὁ ποιητής. Solonem dicit, cuius hos versus esse, intelligitur ex Hermiae scholio in Platonis Phaedrum MS. a Ruhnkenio prolato ad Callimachi fragm. p. 421. ed. Ernest. Conf. Schol. Plat. in Anecdot. Siebenk. p. 57. Videlicet ut exeat sententia, quam Solon ne somniavit quidem, versuum horum structuram, neglecto plane sermonis usu, hanc statuit: Ὄλβιος, ᾧ παῖδές τέ εἰσι φίλοι καὶ μώνυχες ἵπποι εἰσὶ φίλοι etc. Cuiusmodi interpretationis aliud est luculentum exemplum in Alcibiad. II. p. 147. d. (de Margite), antiqui certe auctoris, licet non Platonis, libro.

φίλον ἐστὶν, ὡς ἔοικεν, ὦ Μενέξενε, ἐάν τε φιλῇ ἐάν τε καὶ μισῇ· οἷον καὶ τὰ νεωστὶ γεγονότα παιδία, τὰ μὲν οὐδέπω φιλοῦντα, τὰ δὲ καὶ μισοῦν-
p. 213. a. τα, ὅταν κολάζηται ὑπὸ τῆς μητρὸς ἢ ὑπὸ τοῦ πατρὸς, ὅμως, καὶ μισοῦντα ἐν ἐκείνῳ τῷ χρόνῳ πάντων μάλιστα ἐστὶ τοῖς γονεῦσι φίλτατα. Ἔμοιγε
23. δοκεῖ, ἔφη, οὕτως ἔχειν. Οὐκ ἄρα ὁ φιλῶν φίλος ἐκ τούτου τοῦ λόγου, ἀλλ' ὁ φιλούμενος. Ἔοικε. Καὶ ὁ μισούμενος ἐχθρὸς ἄρα, ἀλλ' οὐχ ὁ μισῶν. Φαίνεται. Πολλοὶ ἄρα ὑπὸ τῶν ἐχθρῶν φιλοῦνται, ὑπὸ δὲ τῶν φίλων μισοῦνται, καὶ τοῖς μὲν ἐχθροῖς
b. φίλοι εἰσὶ, τοῖς δὲ φίλοις ἐχθροὶ, εἰ τὸ φιλούμενον φίλον ἐστὶν, ἀλλὰ μὴ τὸ φιλοῦν. Καίτοι πολλὴ ἀλογία, ὦ φίλε ἑταῖρε, μᾶλλον δὲ, οἶμαι, καὶ ἀδύνατον τῷ τε φίλῳ ἐχθρὸν καὶ τῷ ἐχθρῷ φίλον εἶναι. Ἀληθῆ, ἔφη, ἔοικας λέγειν, ὦ Σώκρατες. Οὐκοῦν, εἰ τοῦτ' ἀδύνατον, τὸ φιλοῦν ἂν εἴη φίλον τοῦ φιλουμένου. Φαίνεται. Τὸ μισοῦν ἄρα πάλιν ἐχθρὸν

---

22. *οἷον καὶ τὰ νεωστὶ — quemadmodum etiam infantes tenelli, vel nondum amantes vel odio etiam incensi, quando castigantur a matre vel patre, tamen, quanquam illo tempore oderunt parentes suos, longe iis sunt carissimi.* In edd. inepta post *πατρὸς* interpunctio fraudi fuit interpretibus. Igitur *ὅμως*, alias participio postponi solitum, hic praecedens, referendum est ad illa *ἐστὶ φίλτατα*. Xenoph. Cyrop. V, 1, 26. *οὕτως ἔχομεν, ὡς σύν σοι μὲν ὅμως, καὶ ἐν τῇ πολεμίᾳ ὄντες, θαῤῥοῦμεν*. Atque ita *tamen* apud Latinos praepositum pervulgati est usus.

§. 23. *Οὐκοῦν ταὐτὰ ἡμῖν συμβήσεται* — Extrema hac periodo vulgo haec leguntur: *ὅταν ἢ μισοῦν τις φιλῇ, ἢ καὶ φιλοῦν μισῇ*, pro quibus praegressa illa *ὅταν ἢ μὴ φιλοῦν* — *φιλῇ* atque ratio ipsa eam, quam in textu reposui, scriptu-

τοῦ μισουμένου. Ἀνάγκη. Οὐκοῦν ταὐτὰ ἡμῖν συμβήσεται ἀναγκαῖον εἶναι ὁμολογεῖν, ἅπερ ἐπὶ τῶν πρότερον, πολλάκις φίλον εἶναι μὴ φίλου, πολλάκις c.
δὲ καὶ ἐχθροῦ, ὅταν ᾖ μὴ φιλοῦν τις φιλῇ, ᾖ καὶ μισοῦν φιλῇ· πολλάκις δ' ἐχθρὸν εἶναι μὴ ἐχθροῦ, ᾖ καὶ φίλου, ὅταν ᾖ μὴ μισοῦν τις μισῇ, ᾖ καὶ φιλοῦν μισῇ. Κινδυνεύει, ἔφη. Τί οὖν δὴ χρησώμεθα, ἦν δ' ἐγὼ, εἰ μήτε οἱ φιλοῦντες φίλοι ἔσονται, μήτε οἱ φιλούμενοι, μήτε οἱ φιλοῦντές τε καὶ φιλούμενοι; ἀλλὰ καὶ παρὰ ταῦτα ἄλλους τινὰς ἔτι φήσομεν εἶναι φίλους ἀλλήλοις γιγνομένους; Οὐ μὰ τὸν Δία, ἔφη, ὦ Σώκρατες, οὐ πάνυ εὐπορῶ ἔγωγε. Ἆρα 24.
μὴ, ἦν δ' ἐγὼ, ὦ Μενέξενε, τοπαράπαν οὐκ ὀρθῶς d.
ἐζητοῦμεν; Οὐκ ἔμοιγε δοκεῖ, ἔφη, ὦ Σώκρατες, ὁ Λύσις, καὶ ἅμα εἰπὼν ἠρυθρίασεν. Ἐδόκει γάρ μοι

---

ram flagitabant: ὅταν ᾖ μὴ μισοῦν τις μισῇ. Atque μὴ ante μισοῦν deesse, Cornarius quoque vidit. Istud φιλῇ, eiectum a Cornario, mutavi propter antecedentia in μισῇ. Τί οὖν δὴ χρησώμεθα —; Vulgo dativus additur, τῷ πράγματι, ἡμῖν, vel eiusmodi. Sed tritum et illud. Protag. p. 321. c. ἠπόρει ὅ,τι χρήσαιτο. Conf. de rep. II. p. 368. b. et Perizon. ad Aelian. I, 32. Paullo post in verbis ἀλλὰ καὶ παρὰ ταῦτα Cornarius corrigit ἆρα καὶ, neque id male, quanquam ἀλλὰ illud ita tueor, ut Plato sic fere scripturus: ἀλλὰ καὶ παρὰ ταῦτα ἄλλοι εἰσὶ etc., verba in interrogationem deflexisse existimetur.

§. 24. [Οὐκ ἔμοιγε — Vocem οὐκ e plur. et opt. reposuit Be.] Verbum ἔφη textu exciderat, quod Cornarius vidit, et quis non videat? Sed malui id inserere ante verba ὦ Σώκρατες, quam cum Cornario ante illa ὁ Λύσις. Euthyd. p. 287. b. Εἶτ', ἔφη, ὦ Σώκρατες, ὁ Διονυσόδωρος. Ibid. p. 293. e. Ἥκιστά γε, ἔφη, ὦ Σώκρατες, ὁ Διονυσόδωρος, atque sic sexcenties.

ἄκοντ' αὐτὸν ἐκφεύγειν τὸ λεχθέν, διὰ τὸ σφόδρα προσέχειν τὸν νοῦν τοῖς λεγομένοις· δῆλος δ' ἦν καὶ ὅτε ἠκροᾶτο οὕτως ἔχων. Ἐγὼ οὖν βουλόμενος τόν τε Μενέξενον ἀναπαῦσαι, καὶ ἐκείνου ἡσθεὶς τῇ φιλοσοφίᾳ, οὕτω μεταβαλὼν πρὸς τὸν Λύσιν ἐποι-
e. ούμην τοὺς λόγους, καὶ εἶπον, Ὦ Λύσι, ἀληθῆ μοι δοκεῖς λέγειν, ὅτι, εἰ ὀρθῶς ἡμεῖς ἐσκοποῦμεν, οὐκ ἄν ποτε οὕτως ἐπλανώμεθα. Ἀλλὰ ταύτῃ μὲν μηκέτι ἴωμεν· καὶ γὰρ χαλεπή τίς μοι φαίνεται, ὥσπερ ὁδός, ἡ σκέψις· ᾗ δὲ ἐτράπημεν, δοκεῖ μοι χρῆναι ἰέναι, σκοποῦντα τὰ κατὰ τοὺς ποιητάς.
p. 214. a. Οὗτοι γὰρ ἡμῖν ὥσπερ πατέρες τῆς σοφίας εἰσὶ καὶ ἡγεμόνες. Λέγουσι δὲ δήπου — οὐ φαύλως ἀποφαι-

---

24. δῆλος δ' ἦν καὶ ὅτε ἠκροᾶτο οὐχ οὕτως ἔχων. *et clarum erat, etiam quum auscultaret, non ita illum affectum esse.* Cornar. At quomodo affectum? An ὥστε ἑκόντα τι εἰπεῖν? Indignum hoc Platonis stilo et absurdum. Me si audis, tolle istud οὐχ [omisimus cum Be. et codd. opt.] ex syllaba subsequenti natum, et optimum effeceris sensum. Iam enim οὕτως ἔχων refertur, quo debet, ad illud τὸ σφόδρα προσέχειν τὸν νοῦν, *intentum esse et cogitatione defixum.* Conf. Charmid. §. 18. Eoque nomine et supra laudaverat Socrates Lysidem §. 18. πάντως γὰρ προσεῖχες τὸν νοῦν, et spectat huc, quod sequitur, ἐκείνου ἡσθεὶς τῇ φιλοσοφίᾳ.

24. ᾗ δὲ ἐτράπημεν — *in quam devertimus viam, ea mihi videtur progrediendum, ut poetarum sententias pervestigemus.* Spectant haec ad versus illos Solonis §. 22. Mox τὰ post σκοποῦντα induci malim. Λέγουσι δὲ δήπου — His quae adduntur usque ad ἀλλήλους, per parenthesin quandam interposita exhibui, ut structurae initium iteretur verbis λέγουσι δέ πως ταῦτα. Illud οἱ post φίλων, quanquam saepe ponitur pro οἷοι (v. ad Phaedr. §. 46.), hic tamen illo significatu cur non scripsit οἵ εἰσι, *quales sint*? Neque vero hic quaeritur a poetis neque profertur amicorum definitio. Adde quod parum tum congruerent statim sequentia ἀλλὰ τὸν θεὸν

νόμενοι περὶ τῶν φίλων, οἳ τυγχάνουσιν ὄντες, ἀλλὰ τὸν θεὸν αὐτόν φασι ποιεῖν φίλους αὐτούς, ἄγοντα παρ' ἀλλήλους — λέγουσι δέ πως ταῦτα, ὡς ἐγῷμαι, ὠδί· Αἰεί τοι τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον καὶ ποιεῖ γνώριμον· ἢ οὐκ ἐντετύχηκας τούτοις τοῖς ἔπεσιν; Ἔγωγε, ἔφη. Οὐκοῦν καὶ τοῖς τῶν σοφω- 25. b. τάτων συγγράμμασιν ἐντετύχηκας, ταῦτ' αὐτὰ λέ-

---

αὐτὸν etc. Ergo haec οἳ τυγχ. ὄντες posita videntur pro περὶ τῶν ἀεὶ φίλων γενομένων, de amicis, si qui forte iis occurrunt. Quanquam ex meo quidem sensu friget hoc additamentum, in quo fortasse mendum delituit. Conieci olim ἢ τυγχάν. ὄντες, quoniam et statim post gignendae amicitiae ratio profertur ἀλλὰ τὸν θεὸν etc., et totam hinc duxerat quaestionem hanc Socrates §. 20. ἐγὼ δὲ οὕτω πόρρω εἰμὶ τοῦ κτήματος, ὥστε οὐδ' ὁντινα τρόπον γίγνεται φίλος ἕτερος ἑτέρου, οἶδα, ἀλλὰ ταῦτά δὴ αὐτὰ σὲ βούλομαι ἐρέσθαι, ἅτε ἔμπειρον. Tum τυγχάνουσιν ὄντες pro εἰσὶ seu γίγνονται ideo dixerit, quod fors quaedam inest in ipsa hac consociatione. Sed commentum hoc praestare non ausim.

24. Αἰεί τοι τὸν ὁμοῖον — Versus est Homeri Odyss. XVII, 218. ἢ οὐκ ἐντετύχηκας τούτ. τοῖς ἔπεσιν; annon legisti hosce versus? Sympos. p. 177. b. ἔγωγε ἤδη τινὶ ἐντυχον βιβλίῳ ἀνδρὸς σοφοῦ —. Longin. de Sublim. I. init. τὸ συγγράμματιον — ἐφάνη — οὐ πολλὴν ὠφέλειαν — περιποιοῦν τοῖς ἐντυγχάνουσιν.

§. 25. [ταῦτ' αὐτὰ λέγουσι. Male vulgo ἃ insertum ante λέγουσι omisit Be. cum codd. longe plur.] *Empedoclis* potissimum *philiam* illam significat. Aristot. Eth. VIII, 1. ubi haec Platonis respicere videtur: διαμφισβητεῖται περὶ φιλίας οὐκ ὀλίγα· οἱ μὲν γὰρ ὁμοιότητά τινα τιθέασιν αὐτὴν καὶ τοὺς ὁμοίους φίλους· ὅθεν τὸν ὅμοιον φασιν ὡς τὸν ὅμοιον καὶ κολοιὸν ποτὶ κολοιὸν καὶ ὅσα τοιαῦτα· οἱ δὲ ἐξ ἐναντίας κεραμεῖς πάντας τοὺς τοιούτους ἀλλήλοις φασὶν εἶναι· καὶ περὶ αὐτῶν τούτων ἀνώτερον ἐπιζητοῦσι καὶ φυσικώτερον· Εὐριπίδης μὲν φάσκων, ἐρᾶν μὲν ὄμβρου γαῖαν ξηρανθεῖσαν, ἐρᾶν δὲ σεμνὸν οὐρανὸν πληρούμενον ὄμβρου πεσεῖν εἰς γαῖαν· καὶ Ἡράκλειτος τὸ ἀντίξουν συμφέρον καὶ ἐκ τῶν διαφερόντων καλλίστην ἁρμονίαν

γουσιν, ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ ἀνάγκη ἀεὶ φίλον εἶναι; Εἰσὶ δέ που οὗτοι οἱ περὶ φύσεώς τε καὶ τοῦ ὅλου διαλεγόμενοι καὶ γράφοντες. Ἀληθῆ, ἔφη, λέγεις. Ἆρ' οὖν, ἦν δ' ἐγὼ, εὖ λέγουσιν; Ἴσως, ἔφη. Ἴσως, ἦν δ' ἐγὼ, τὸ ἥμισυ αὐτοῦ, ἴσως δὲ καὶ πᾶν, ἀλλ' ἡμεῖς οὐ συνίεμεν. Δοκεῖ γὰρ ἡμῖν ὄγε πονηρὸς τῷ πονηρῷ, ὅσῳ ἂν ἐγγυτέρω προσίῃ καὶ c. μᾶλλον ὁμιλῇ, τοσούτῳ ἐχθίων γίγνεσθαι· ἀδικεῖ γάρ· ἀδικοῦντας δὲ καὶ ἀδικουμένους ἀδύνατόν που φίλους εἶναι. Οὐχ οὕτω; Ναί, ἦ δ' ὅς. Ταύτῃ μὲν ἂν τοίνυν τοῦ λεγομένου τὸ ἥμισυ οὐκ ἀληθὲς εἴη, εἴπερ οἱ πονηροὶ ἀλλήλοις ὅμοιοι. Ἀληθῆ λέγεις. Ἀλλά μοι δοκοῦσι λέγειν τοὺς ἀγαθοὺς ὁμοίους εἶναι ἀλλήλοις καὶ φίλους, τοὺς δὲ κακοὺς, ὅπερ καὶ λέγεται περὶ αὐτῶν, μηδέποτε ὁμοίους μηδ' αὐτοὺς αὑ- d. τοῖς εἶναι, ἀλλ' ἐμπλήκτους τε καὶ ἀσταθμήτους. Ὃ δὲ αὐτὸ αὑτῷ ἀνόμοιον εἴη καὶ διάφορον, σχολῇ γέ τῳ ἄλλῳ ὅμοιον ἢ φίλον γένοιτο· ἢ οὐ καὶ σοὶ δοκεῖ

καὶ πάντα κατ' ἔριν γίνεσθαι. Ἐξ ἐναντίας δὲ τούτοις ἄλλοι τε καὶ Ἐμπεδοκλῆς· τὸ γὰρ ὅμοιον τοῦ ὁμοίου ἐφίεσθαι. Conf. Diog. Laert. VIII, 76. ibique Menag.

25. τοὺς δὲ κακοὺς, ὅπερ καὶ λέγεται — *malos autem, id quod de iis dicitur, nunquam similes ne sibi quidem ipsis esse, sed mutabiles variique ingenii.* Ἔμπληκτοι, Suid. κοῦφοι, εὐμετάβλητοι. Conf. Schol. ad Sophocl. Ai. 1375. Ἀστάθμητον, περὶ οὗ οὐδεὶς ἂν δύναιτο τεκμήρασθαι, οὐδὲ σταθμήσασθαι, τί ποτε διανοεῖται ἢ τί πράξει. Harpocrat. ubi vid. Vales. Inutilis est Stephani correctio *μηδὲ τοὺς αὐτοὺς*, neque Ficinus illud *μηδὲ* satis intellexit, quum vertit: *nunquam vel sibi ipsis vel invicem similes esse*, quae postrema quominus in textu reponenda putes, vetant illa statim addita ὃ δὲ αὐτὸ αὑτῷ etc. [Mox pro *γέ τῳ* Be. *γ' ἄν τῳ* sine libris.]

οὕτως; Ἔμοιγε, ἔφη. Τοῦτο τοίνυν αἰνίττονται, ὡς 26.
ἐμοὶ δοκοῦσιν, ὦ ἑταῖρε, οἱ τὸ ὅμοιον τῷ ὁμοίῳ φί-
λον λέγοντες, ὡς ὁ ἀγαθὸς τῷ ἀγαθῷ μόνος μόνῳ
φίλος, ὁ δὲ κακὸς οὔτε ἀγαθῷ οὔτε κακῷ οὐδέποτε
εἰς ἀληθῆ φιλίαν ἔρχεται. Συνδοκεῖ σοι; Κατένευ-
σεν. Ἔχομεν ἄρα ἤδη, τίνες εἰσὶν οἱ φίλοι. Ὁ γὰρ
λόγος ἡμῖν σημαίνει, ὅτι οἱ ἂν ὦσιν ἀγαθοί. Πάνυ e.
γε, ἔφη, δοκεῖ. Καὶ ἐμοί, ἦν δ' ἐγώ· καίτοι δυσχε-
ραίνω τί γε ἐν αὐτῷ. Φέρε οὖν, ὦ πρὸς Διός, ἴδω-
μεν τί καὶ ὑποπτεύω. Ὁ ὅμοιος τῷ ὁμοίῳ, καθόσον
ὅμοιος, φίλος, καὶ ἔστι χρήσιμος ὁ τοιοῦτος τῷ τοι-
ούτῳ· μᾶλλον δὲ ὧδε· ὅτιοῦν ὅμοιον ὁτῳοῦν ὁμοίῳ
τίνα ὠφέλειαν ἔχει ἢ τίνα βλάβην ἂν ποιῆσαι δύναι-
το, ὃ μὴ καὶ αὐτὸ αὑτῷ, ἢ τί ἂν παθεῖν, ὃ μὴ καὶ
ὑφ' αὑτοῦ πάθοι; Τὰ δὴ τοιαῦτα πῶς ἂν ὑπ' ἀλλή- p. 215.
λων ἀγαπηθείη, μηδεμίαν ἐπικουρίαν ἀλλήλοις ἔχον- a.
τα; Ἔστιν ὅπως; Οὐκ ἔστιν. Ὃ δὲ μὴ ἀγαπῷτο,
πῶς φίλον; Οὐδαμῶς. Ἀλλὰ δὴ ὁ μὲν ὅμοιος τῷ
ὁμοίῳ οὐ φίλος· ὁ δὲ ἀγαθὸς τῷ ἀγαθῷ, καθόσον
ἀγαθός, οὐ καθόσον ὅμοιος, φίλος ἂν εἴη; Ἴσως. Τί 27.
δαί; οὐχ ὁ ἀγαθός, καθόσον ἀγαθός, κατὰ τοσοῦτον
ἱκανὸς ἂν εἴη αὐτῷ; Ναί. Ὁ δέ γε ἱκανὸς οὐδενὸς
δεόμενος κατὰ τὴν ἱκανότητα. Πῶς γὰρ οὔ; Ὁ δὲ
μή του δεόμενος οὐδέ τι ἀγαπῴη ἄν; Οὐ γὰρ οὖν. b.
Ὁ δὲ μὴ ἀγαπῴη, οὐδ' ἂν φιλοῖ; Οὐ δῆτα. Ὁ δὲ

---

§. 26. τίνα ὠφέλειαν ἔχει. [Be. e Cod. Clark. ἔχειν.]

§. 27. Ὃ δὲ μὴ ἀγαπῴη — Concinnius sane legeris Ὁ δὲ μὴ ἀγαπῶν ex Schleiermacheri coniectura. μήτε πα-

μὴ φιλῶν γε οὐ φίλος. Οὐ φαίνεται. Πῶς οὖν οἱ ἀγαθοὶ τοῖς ἀγαθοῖς ἡμῖν φίλοι ἔσονται τὴν ἀρχήν, οἳ μήτε ἀπόντες ποθεινοὶ ἀλλήλοις· ἱκανοὶ γὰρ ἑαυτοῖς καὶ χωρὶς ὄντες· μήτε παρόντες χρείαν αὐτῶν ἔχουσι; τοὺς δὴ τοιούτους τίς μηχανὴ περὶ πολλοῦ
c. ποιεῖσθαι ἀλλήλους; Οὐδεμία, ἔφη. Φίλοι δέ γε οὐκ ἂν εἶεν, μὴ περὶ πολλοῦ ποιούμενοι ἑαυτούς. Ἀληθῆ. Ἄθρει δή, ὦ Λύσι, πῇ παρακρουόμεθα. Ἆρά γε ὅλῳ τινὶ ἐξαπατώμεθα; Πῶς δή; ἔφη. Ἤδη ποτέ του ἤκουσα λέγοντος καὶ ἄρτι ἀναμιμνήσκομαι, ὅτι τὸ μὲν ὅμοιον τῷ ὁμοίῳ καὶ οἱ ἀγαθοὶ τοῖς ἀγαθοῖς πολεμιώτατοι εἶεν. Καὶ δὴ καὶ τὸν Ἡσίοδον ἐπήγετο μάρτυρα, λέγων, ὡς ἄρα καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ ἀοιδὸς ἀοιδῷ, καὶ πτωχὸς πτωχῷ, καὶ
d. τἆλλα δὴ πάντα οὕτως ἔφη ἀναγκαῖον εἶναι μάλιστα τὰ ὁμοιότατα ἄλληλα φθόνου τε καὶ φιλονεικίας καὶ

ρόντες χρείαν αὐτῶν ἔχουσι. Vulgo αὐτῶν. Exspectabas ἀλλήλων. Certe scribendum erat αὑτῶν, ut post, μὴ περὶ πολλοῦ ποιούμενοι ἑαυτούς. Conf. Abresch. ad Xenoph. Ephes. ed. Locell. p. 164. Mox de voc. παρακρούσασθαι, quod humilis fraudis significatum habet, vid. Wolf. ad Demosth. Lept. p. 291. Quod sequitur ὅλῳ τινὶ, referendum ad illa §. 25. Ἴσως τὸ ἥμισυ αὐτοῦ εὖ λέγουσιν, ἴσως δὲ καὶ πᾶν, ἀλλ' ἡμεῖς οὐ συνίεμεν.

27. Ἡσίοδον ἐπήγετο. Ἔργ. 25. sq. — Sed istud ἐφάνη ἀναγκαῖον quam ineptum est h. l., ubi alterius oratio narratur! Hoc nisi incommode pendere putes a praegresso illo ὡς, probabile est, prout vertit Ficinus, *necessarium ille putabat*, Platonem scripsisse ἔφη. [Id reposuit Be. e cod. Clark. et Vat.] Magis etiam offendit illud ἐμπίπλασθαι, quo structurae ratio prorsus turbatur. Neque enim ad ἄλληλα cum editore Bipontino licet per sermonis usum subaudire κατὰ, neque ἐμπίπλασθαι usquam adhibitum ἐνεργητικῶς. Stephanus

ἔχθρας ἐμπίπλασθαι, τὰ δ' ἀνομοιότατα φιλίας· τὸν 28.
γὰρ πένητα τῷ πλουσίῳ ἀναγκάζεσθαι φίλον εἶναι,
καὶ τὸν ἀσθενῆ τῷ ἰσχυρῷ, τῆς ἐπικουρίας ἕνεκα, καὶ
τὸν κάμνοντα τῷ ἰατρῷ, καὶ πάντα δὴ τὸν μὴ εἰδό-
τα ἀγαπᾷν τὸν εἰδότα καὶ φιλεῖν. Καὶ δὴ καὶ ἔτι
ἐπεξῄει τῷ λόγῳ μεγαλοπρεπέστερον, λέγων, ὡς ἄρα
παντὸς δέοι τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον εἶναι, ἀλλ' e.
αὐτὸ τὸ ἐναντίον εἴη τούτου· τὸ γὰρ ἐναντιώτατον
τῷ ἐναντιωτάτῳ εἶναι μάλιστα φίλον· ἐπιθυμεῖν
γὰρ τοῦ τοιούτου ἕκαστον, ἀλλ' οὐ τοῦ ὁμοίου· τὸ
μὲν γὰρ ξηρὸν ὑγροῦ, τὸ δὲ ψυχρὸν θερμοῦ, τὸ δὲ
πικρὸν γλυκέος, τὸ δὲ ὀξὺ ἀμβλέος, τὸ δὲ κενὸν πλη-
ρώσεως, καὶ τὸ πλῆρες δὲ κενώσεως, καὶ τἆλλα οὕτω
κατὰ τὸν αὐτὸν λόγον· τροφὴν γὰρ εἶναι τὸ ἐναν-
τίον τῷ ἐναντίῳ· τὸ γὰρ ὅμοιον τοῦ ὁμοίου οὐδὲν
ἂν ἀπολαῦσαι. Καὶ μέντοι, ὦ ἑταῖρε, καὶ κομψὸς p. 216.
ἐδόκει εἶναι ταῦτα λέγων. Εὖ γὰρ ἔλεγεν. Ὑμῖν δὲ, 29.

---

corrigebat audacter ἀλλήλοις. Tollit hanc difficultatem lenior correctio ἐμπιπλάναι, qua tamen Platonis manum restitui non puto. [Be. e corr. codicis Coisl. dedit πρὸς ἄλληλα.]

§. 28. Καὶ δὴ καὶ ἔτι ἐπεξῄει τῷ λόγῳ *persequebatur argumentum, rem uberius et copiosius explicabat.* Gorg. p. 482. d. Οὐκ ἀγεννῶς γε, ὦ Καλλίκλεις, ἐπεξέρχει τῷ λόγῳ παῤῥησιαζόμενος. de rep. I. p. 349. a. Ἀλλ' οὐ μέντοι — ἀποκνητέον γε τῷ λόγῳ ἐπεξελθεῖν σκοπούμενον, ἕως ἄν σε ὑπολαμβάνω λέγειν ἅπερ διανοεῖ. Μεγαλοπρεπέστερον vulgo iunctum sequenti λέγων, traxi ad ἐπεξῄει i. e. *maiore quadam sui fiducia et superbiore spiritu.* Hipp. Min. p. 366. e. Καί μοι, ὥσπερ τὰ πρότερα, γενναίως καὶ μεγαλοπρεπῶς ἀπόκριναι. Theaet. p. 161. c. ἵνα μεγαλοπρεπῶς καὶ πάνυ καταφρονητικῶς ἤρξατο ἡμῖν λέγειν.

§. 29. Εὖ γὰρ ἔλεγεν. *Ornate enim dicebat.* Fuit autem haec *Heracliti* argumentatio. Vid. quae ex Aristotele pro-

ἦν δ' ἐγώ, πῶς δοκεῖ λέγειν; Εὖ γε, ἔφη ὁ Μενέξενος, ὥς γε οὑτωσὶ ἀκοῦσαι. Φῶμεν ἄρα τὸ ἐναντίον τῷ ἐναντίῳ μάλιστα φίλον εἶναι; Πάνυ γε. Εἶεν, ἦν δ' ἐγώ· οὐκ ἀλλοκότως, ὦ Μενέξενε; καὶ ἡμῖν εὐθὺς ἄσμενοι ἐπιπηδήσονται οὗτοι οἱ πάνσοφοι ἄνδρες οἱ ἀντιλογικοὶ καὶ ἐρήσονται, εἰ οὐκ b. ἐναντιώτατον ἔχθρᾳ φιλία; οἷς τί ἀποκρινούμεθα; Ἢ οὐκ ἀνάγκη ὁμολογεῖν, ὅτι ἀληθῆ λέγουσιν; Ἀνάγκη. Ἆρ' οὖν, φήσουσι, τὸ ἐχθρὸν τῷ φίλῳ φίλον, ἢ τὸ φίλον τῷ ἐχθρῷ; Οὐδέτερα, ἔφη. Ἀλλὰ τὸ δίκαιον τῷ ἀδίκῳ, ἢ τὸ σῶφρον τῷ ἀκολάστῳ, ἢ τὸ ἀγαθὸν τῷ κακῷ; Οὐκ ἄν μοι δοκεῖ οὕτως ἔχειν. Ἀλλὰ μέντοι, ἦν δ' ἐγώ, εἴπερ γε κατὰ τὴν ἐναντιότητά τί τῳ φίλῳ φίλον ἐστὶν, ἀνάγκη καὶ ταῦτα φίλα εἶναι. Ἀνάγκη. Οὔτε ἄρα τὸ ὅμοιον τῷ ὁμοίῳ οὔτε τὸ ἐναντίον τῷ ἐναντίῳ φίλον. Οὐκ ἔοικεν. c. Ἔτι δὲ καὶ τόδε σκεψώμεθα, μὴ ἔτι μᾶλλον ἡμᾶς

---

tuli ad §. 25. Diog. Laert. IX, 1. 8. Plato Sympos. p. 187. a. Proclus ad Tim. Plat. I. p. 24. Mox verba *φῶμεν ἄρα τὸ ἐναντίον — εἶναι* sono interrogante expressi. Illa *Εἶεν, ἦν δ' ἐγώ· οὐκ ἀλλοκότως, ὦ Μεν.*; sic vertit Ficinus: *Sit ita, o Menexene. Sed quaeso, nonne alienum hoc et extraneum?* ut suspicetur aliquis *ἀλλ' οὐκ ἀλλοκότως;* sed saepius ita infertur post *εἶεν* interrogatio, particula transeundi non addita. Gorg. p. 489. c. *Εἶεν, ὦ σοφώτατε Καλλίκλεις· οὕτω λέγεις;* de rep. I. p. 341. a. *Εἶεν; ἦν δ' ἐγώ, ὦ Θρασύμ.· δοκῶ σοι συκοφαντεῖν;* Paullo post vulgo perperam sine distinctione *Ἆρ' οὖν φήσουσι τὸ ἐχθρὸν —.*

29. *Οὐκ ἄν μοι δοκεῖ* — Vulgo *δοκῇ*. Statim post editum *εἴπερ γε κατὰ τὴν ἐναντιότητα τί τῷ φίλῳ φίλον ἐστὶ*, in quibus *τῳ* (pro *τινι*) scribendum, *φίλῳ* autem ejiciendum esse, vere monuisse videtur Cornarius; neque hoc agnoscit Fi-

λανθάνῃ τὸ φίλον ὡς ἀληθῶς οὐδὲν τούτων ὂν, ἀλλὰ τὸ μήτε ἀγαθὸν μήτε κακὸν φίλον οὕτω ποτὲ γιγνόμενον τοῦ ἀγαθοῦ. Πῶς, ἦ δ' ὅς, λέγεις; Ἀλλὰ μὰ Δία, ἦν δ' ἐγὼ, οὐκ οἶδα, ἀλλὰ τῷ ὄντι αὐτὸς ἰλιγγιῶ ὑπὸ τῆς τοῦ λόγου ἀπορίας, καὶ κινδυνεύει κατὰ τὴν ἀρχαίαν παροιμίαν τὸ καλὸν φίλον εἶναι. Ἔοικε 30.
γοῦν μαλακῷ τινι καὶ λείῳ καὶ λιπαρῷ. Διὸ καὶ ἴσως ῥᾳδίως διολισθαίνει καὶ διαδύεται ἡμᾶς, ἅτε τοιοῦτον ὄν. Λέγω γὰρ τἀγαθὸν καλὸν εἶναι· σὺ δ' d.
οὐκ οἴει; Ἔγωγε. Λέγω τοίνυν ἀπομαντευόμενος, τοῦ καλοῦ τε καὶ ἀγαθοῦ φίλον εἶναι τὸ μήτε ἀγαθὸν μήτε κακόν· πρὸς ἃ δὲ λέγων μαντεύομαι, ἄκουσον. Δοκεῖ μοι ὥσπερεὶ τρία ἄττα εἶναι γένη, τὸ μὲν ἀγαθὸν, τὸ δὲ κακὸν, τὸ δ' οὔτ' ἀγαθὸν οὔτε κακόν. Τί δὲ σοί; Καὶ ἐμοὶ, ἔφη. Καὶ οὔτε τἀγαθὸν τἀγαθῷ οὔτε τὸ κακὸν τῷ κακῷ οὔτε τἀγαθὸν τῷ κακῷ φίλον εἶναι, ὥσπερ οὐδ' ὁ ἔμπροσθεν λόγος

---

cini versio: *si secundum contrarietatem amicum est alicui aliquid.* [Pro *μὴ — λανθάνῃ* Be. ex opt. et plur. *μὴ — λανθάνει.*] *φίλον οὕτω ποτὲ γιγνόμενον —*: *οὕτω ποτ', so zuweilen.* Aristoph. Vesp. 1177. *οὕτω ποτ' ἦν μῦς καὶ γαλῆ*: ubi vid. Schol. Et conf. ad Phaedr. §. 29. De adagio mox laudato *τὸ καλὸν φίλον εἶναι* vid. Mureti Var. Lectt. IV, 4.

§. 30. *πρὸς ἃ δὲ λέγων* — Correxit aliquis *βλέπων.* Perperam. Meno p. 97. d. *Πρὸς τί δὲ δὴ τοῦτο λέγεις;* et post ibid. e. *πρὸς τί οὖν δὴ λέγω ταῦτα;* Sophist. p. 232. e. *πρὸς τί μάλιστα λέγεις;* Phileb. p. 25. d. *Ποῖ καὶ πῶς λέγεις;* De sententia, quae sequitur, conf. Gorg. p. 467. e. Deinde vulgo sic scriptum: *Καὶ ἐμοὶ, ἔφη· καὶ οὔτε τἀγαθὸν.* Sed illa *Καὶ οὔτε τἀγαθὸν* etc. Socratis sunt verba, non Menexeni.

e. ἐᾷ. Λείπεται δή, εἴπερ τῷ τί ἐστι φίλον, τὸ μήτε ἀγαθὸν μήτε κακὸν φίλον εἶναι ἢ τοῦ ἀγαθοῦ, ἢ τοῦ τοιούτου οἷον αὐτό ἐστιν. Οὐ γὰρ ἄν που τῷ κακῷ φίλον ἄν τι γένοιτο. Ἀληθῆ. Οὐδὲ μὴν τὸ ὅμοιον τῷ ὁμοίῳ ἔφαμεν ἄρτι· ἦ γάρ; Ναί. Οὐκ ἄρα ἔσται τῷ μήτε ἀγαθῷ μήτε κακῷ τὸ τοιοῦτον φίλον οἷον αὐτό. Οὐ φαίνεται. Τῷ ἀγαθῷ ἄρα τὸ μήτε ἀγαθὸν μήτε κακὸν μόνῳ μόνον συμβαίνει
p. 217. a. γίγνεσθαι φίλον. Ἀνάγκη, ὡς ἔοικεν. Ἆρ' οὖν καὶ
31. καλῶς, ἦν δ' ἐγώ, ὦ παῖδες, ὑφηγεῖται ἡμῖν τὸ νῦν λεγόμενον; Εἰ γοῦν θέλοιμεν ἐννοῆσαι τὸ ὑγιαῖνον

---

30. *Λείπεται δή, εἴπερ τῷ τί ἐστι φίλον* — Post *λείπεται* rescripsi *δή* pro *δέ*, sensu flagitante. §. 33. *λείπονται δὴ οἱ ἔχοντες*. Phaedr. §. 24. *λείπεται δή, οἶμαι*. Argumentatur autem hunc in modum: tria esse genera, et bonum et malum et quod neque bonum neque malum sit. Neque vero bonum amicum esse bono, neque malum malo, neque bonum malo. Relinqui igitur, ut, si quid horum alteri sit amicum, illud neque bonum neque malum sit amicum aut bono, aut tali, quale ipsum est; nam malo id amicum esse non posse. Iam vero, quum simile simili amicum esse nequeat, unum hoc relinqui, ut illud neque bonum neque malum amicum sit bono. — In hac igitur clara argumentatione liquet particulam *οὐ* vulgo male inculcatam fuisse ante *τοῦ τοιούτου*. Vidit hoc Cornarius, praeeunte Ficino. [Acc. codices Bekkeri satis multi.] Itaque expunxi.

§. 31. *Ἆρ' οὖν καὶ καλῶς — ὑφηγεῖται*. Minus accurate Cornarius: *num igitur etiam recte, inquam ego, a nobis exponitur, o pueri, id quod nunc producimus?* Immo ita intelligo: *an recte — nos ducet in indaganda hac re ea, quam posuimus, sententia?* Ut post §. 35. *μὴ ἡμᾶς ἐξαπατήσῃ τὸ νῦν λεγόμενον*. In seqq. vulgo interpungunt *Εἰ γοῦν θέλοιμεν ἐννοῆσαι, τὸ ὑγιαῖνον σῶμα οὐδὲν ἰατρικῆς δεῖται* etc., in quibus *ἐννοῆσαι* hoc, simpliciter adhibitum sine accusativo, duriusculum est. Post *σῶμα* distinxi ex usu Platonis. Phaedo p. 68. d. *Εἰ γὰρ ἐθελήσεις — ἐννοῆσαι τήν γε τῶν*

σῶμα, οὐδὲν ἰατρικῆς δεῖται οὐδὲ ὠφελείας· ἱκανῶς γὰρ ἔχει· ὥστε ὑγιαίνων οὐδεὶς ἰατρῷ φίλος διὰ τὴν ὑγίειαν· ἢ γάρ; Οὐδείς. Ἀλλ' ὁ κάμνων, οἶμαι, διὰ τὴν νόσον. Πῶς γὰρ οὔ; Νόσος μὲν δὴ κακὸν, ἰατρικὴ δὲ ὠφέλιμον καὶ ἀγαθόν. Ναί. Σῶμα δέ γέ που, κατὰ τὸ σῶμα εἶναι, οὔτε ἀγαθὸν οὔτε κα- b.
κόν. Οὕτως. Ἀναγκάζεται δέ γε σῶμα διὰ νόσον ἰατρικὴν ἀσπάζεσθαι καὶ φιλεῖν. Δοκεῖ μοι. Τὸ μήτε κακὸν ἄρα μήτε ἀγαθὸν φίλον γίγνεται τοῦ ἀγαθοῦ, διὰ κακοῦ παρουσίαν. Ἔοικε. Δῆλον δέ γε ὅτι πρὶν γενέσθαι αὐτὸ κακὸν ὑπὸ τοῦ κακοῦ οὗ ἔχει. Οὐ γὰρ δή γε κακὸν γεγονὸς ἔτι ἂν τοῦ ἀγα- c.
θοῦ ἐπιθυμοῖ καὶ φίλον εἴη· ἀδύνατον γὰρ ἔφαμεν κακὸν ἀγαθῷ φίλον εἶναι. Ἀδύνατον γάρ. Σκέ-

---

ἄλλων ἀνδρείαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι ἄτοπος. Protag. p. 324. a. Εἰ γὰρ ἐθέλεις ἐννοῆσαι τὸ κολάζειν, ὦ Σώκρ., τοὺς ἀδικοῦντας, τί ποτε δύναται, αὐτό σε διδάξει etc. Sympos. p. 200 c. Τούτους γάρ, ὦ Ἀγάθων, εἰ ἐννοεῖς, ἔχειν μὲν ἕκαστον τούτων ἐν τῷ παρόντι ἀνάγκη ἃ ἔχουσι. [Pro θέλοιμεν Hdf. ad Phaedo. 36. conjicit legendum ἐθέλομεν, quo ducere potest cod. Ven. scriptura θέλομεν.] Ἀναγκάζεται δέ γε σῶμα — ἀσπάζεσθαι καὶ φιλεῖν. Neminem frequentius ista duo sic iunctim posuisse, ἀσπάζεσθαι καὶ φιλεῖν, quam Platonem, monuit Valcken. ad Orat. Chrysost. p. XXXVIII. Oratt. Hemsterh. et Valck. praemissam.

31. Οὐ γὰρ δή γε κακὸν γεγονός — Haec vulgo sic leguntur: οὐ γὰρ δή γε κακὸν γεγονός ἐστιν ἀντὶ τοῦ ἀγαθοῦ, οὗ ἐπιθυμεῖ, καὶ φίλον εἴη. In quibus unus Stephanus offendit, pro ἐπιθυμεῖ coniiciens ἐπιθυμοῖ, ut conveniret cum εἴη. Sed, quae erat eximii viri in Platone edendo festinatio, haec verba pluribus mendis inquinata esse non vidit. Quae quum vertit Cornarius ita: *non enim malum factum est pro bono, quod cupit et cui amicum est*, sententiam vel absonam vel prorsus nullam expressit. Scilicet corpus, quod neque bonum neque malum est, amicum fieri dixerat bono cuidam

ψασθε δὴ ὃ λέγω. Λέγω γὰρ, ὅτι ἔνια μὲν, οἷον ἂν ᾖ τὸ παρὸν, τοιαῦτά ἐστι καὶ αὐτά· ἔνια δὲ οὔ. Ὥσπερ εἰ ἐθέλοι τις χρώματί τῳ ὁτιοῦν ἀλεῖψαι, πάρεστί που τῷ ἀλειφθέντι τὸ ἐπαλειφθέν. Πάνυ
32. γε. Ἆρ' οὖν καὶ ἔστι τότε τοιοῦτον τὴν χρόαν τὸ ἐπαλειφθέν, οἷον τὸ ἔτι ὄν; Οὐ μανθάνω, ἦ δ' ὅς. Ἀλλ' ὧδε, ἦν δ' ἐγώ. Εἴ τίς σου ξανθὰς οὔσας τὰς
d. τρίχας ψιμυθίῳ ἀλείψειε, πότερον τότε λευκαὶ εἶεν,

(medicinae) ob mali praesentiam. Addit, id fieri necesse esse, antequam corpus malum fiat ipsum malo eo, quo sit affectum. Iam talem inferri causam necesse est: *neque enim, quando malum factum fuerit, bonum appetat aliquod eique fiat amicum.* Fieri enim non potest, ut malum quodpiam amicum fiat bono cuiquam. Ad hanc igitur rationem vere mihi videor scripturam concinnasse, quam cuivis facile obviam non multum abfuit quin, ut postmodum vidi, Salvinius etiam excogitaret in Obss. Misc. V. II. T. II. p. 276., legendum proponens οὐ γὰρ δή γε κακὸν γεγονὸς ἔτι ἀντὶ τοῦ ἀγαθοῦ, οὗ ἐπιθυμεῖ, καὶ φίλον εἴη vel τοῦ ἀγαθοῦ ἐπιθυμοῖ, vel ἐστὶν ἀντί. Firmant autem hanc emendationem illa, quae post inferuntur §. 32., ubi hanc ipsam sententiam repetit Plato: Οὐκοῦν ὅταν μήπω κακὸν ᾖ κακοῦ παρόντος, αὕτη μὲν ἡ παρουσία ἀγαθοῦ αὐτὸ ποιεῖ ἐπιθυμεῖν· ἡ δὲ κακὸν ποιοῦσα ἀποστερεῖ αὐτὸ τῆς τε ἐπιθυμίας ἅμα καὶ τῆς φιλίας τἀγαθοῦ.

§. 32. Ἆρ' οὖν καὶ ἔστι τότε τοιοῦτον τὴν χρόαν — Denuo in locum devenimus corruptelae manifestum. Nullus est sensus in verbis οἷον τὸ ἔτι ὄν, neque medelam affert scriptura Ald. et Bas. 1. τὸ αἴτιον. Enimvero Plato ipse eandem hanc sententiam mox ita explicans: τοῦτο τοίνυν ἐρωτῶ νῦν δή, εἰ ᾧ ἄν τι παρῇ, τοιοῦτον ἔσται τὸ ἔχον οἷον τὸ παρόν, talem fere, opinor, suppeditat corrigendi rationem: Ἆρ' οὖν καὶ ἔστι τότε τοιοῦτον τὴν χρόαν τὸ ἀλειφθέν, οἷον τὸ ἐπαλειφθέν; Etenim in sequentibus verbis τὸ ἀλειφθὲν sunt αἱ ξανθαὶ τρίχες, τὸ ἐπαλειφθὲν est τὸ ψιμύθιον. Atque ἀλειφθὲν quin pro ἐπαλειφθὲν scribendum sit, dubium esse non potest; pro τὸ ἔτι ὄν si quis malit substituere τὸ ἐπόν, non refragor. Εἴ τίς σου ξανθὰς —. ψιμύθιον

ἢ φαίνοιντ' ἄν; Φαίνοιντ' ἄν, ἦ δ' ὅς. Καὶ μὴν παρείη γ' ἂν αὐταῖς λευκότης. Ναί. Ἀλλ' ὅμως οὐδέν τι μᾶλλον ἂν εἶεν λευκαί πω, ἀλλὰ παρούσης λευκότητος οὔτε τι λευκαὶ οὔτε μέλαιναί εἰσιν. Ἀληθῆ. Ἀλλ' ὅταν δή, ὦ φίλε, τὸ γῆρας αὐταῖς ταὐτὸν τοῦτο χρῶμα ἐπαγάγῃ, τότε ἐγένοντο οἷόνπερ τὸ παρὸν, λευκοῦ παρουσίᾳ λευκαί. Πῶς γὰρ οὔ; Τοῦτο τοίνυν ἐρωτῶ νῦν δή, εἰ, ᾧ ἄν τι παρῇ, τοιοῦτον ἔσται e. τὸ ἔχον οἷον τὸ παρόν· ἢ ἐὰν μὲν κατά τινα τρόπον παρῇ, ἔσται, ἐὰν δὲ μή, οὔ. Οὕτω μᾶλλον, ἔφη. Καὶ τὸ μήτε κακὸν ἄρα μήτε ἀγαθὸν ἐνίοτε κακοῦ παρόντος οὔπω κακόν ἐστιν· ἔστι δ' ὅτε ἤδη τὸ τοιοῦτον γέγονε. Πάνυ γε. Οὐκοῦν ὅταν μήπω κακὸν ἢ κακοῦ παρόντος, αὕτη μὲν ἡ παρουσία ἀγαθοῦ αὐτὸ ποιεῖ ἐπιθυμεῖν, ἡ δὲ κακὸν ποιοῦσα ἀποστερεῖ αὐτὸ τῆς τε ἐπιθυμίας ἅμα καὶ τῆς φιλίας τἀγαθοῦ. Οὐ γὰρ ἔτι ἐστὶν οὔτε κακὸν οὔτε ἀγαθὸν, ἀλλὰ κα- 33. κόν· φίλον δὲ ἀγαθὸν κακῷ οὐκ ἦν. Οὐ γὰρ οὖν. p. 218. a.

[ut cum Be. scripsimus ex optimis] an *ψιμμύθιον* scribendum sit, nondum mihi quidem exploratum est. Vid. Hemsterh. ad Aristoph. Plut. p. 394. Conf. Taylor. ad Lysiam p. 15. ed. Reisk. Post *πότερον* correxi *τότε* pro *ποτέ*. Paullo post pro *τότε ἐγένοντο* malim *τότε γένοιντο*. [Mox pro *νῦν δὴ* Be. ex opt. *δή*.]

§. 33. *φίλον δὲ ἀγαθὸν κακῷ οὐκ ἦν*. Hoc docuerat: corpus, quod neque bonum neque malum sit, amicum fieri bono (*φίλον γίγνεσθαι τοῦ ἀγαθοῦ*) ob mali praesentiam. Fieri autem bono amicum illud, quamdiu ipsum non sit corruptum aut malum. Nam eiusmodi si factum esset, non posse amicum esse bono. Iam suadet, opinor, sententiarum tenor pro iis *φίλον δὲ ἀγαθὸν κακῷ οὐκ ἦν* sic rescribi: *φίλον δὲ ἀγαθῷ κακὸν οὐκ ἦν*, ut supra §. 31. *Ἀδύνατον γὰρ ἔφα-*

Διὰ ταῦτα δὴ φαῖμεν ἂν καὶ τοὺς ἤδη σοφοὺς μηκέτι φιλοσοφεῖν, εἴτε θεοὶ εἴτε ἄνθρωποί εἰσιν οὗτοι· οὐδ' αὖ ἐκείνους φιλοσοφεῖν, τοὺς οὕτως ἀγνοιαν ἔχοντας ὥστε κακοὺς εἶναι· κακὸν γὰρ καὶ ἀμαθῆ οὐδένα φιλοσοφεῖν. Λείπονται δὴ οἱ ἔχοντες μὲν τὸ κακὸν τοῦτο, τὴν ἄγνοιαν, μήπω δὲ ὑπ' αὐτοῦ ὄντες ἀγνώμονες μηδὲ ἀμαθεῖς, ἀλλ' ἔτι ἡγούμενοι μὴ εἰ-
b. δέναι ἃ μὴ ἴσασι. Διὸ δὴ καὶ φιλοσοφοῦσιν οἱ οὔτε ἀγαθοὶ οὔτε κακοί πω ὄντες. Ὅσοι δὲ κακοί, οὐ φιλοσοφοῦσιν, οὐδὲ οἱ ἀγαθοί. Οὔτε γὰρ τὸ ἐναντίον τοῦ ἐναντίου, οὔτε τὸ ὅμοιον τοῦ ὁμοίου φίλον ἡμῖν ἐφάνη ἐν τοῖς ἔμπροσθεν λόγοις. Ἢ οὐ μέμνησθε; Πάνυ γε, ἐφάτην. Νῦν ἄρα, ἦν δ' ἐγὼ, ὦ Λύσι τε καὶ Μενέξενε, παντὸς μᾶλλον ἐξευρήκαμεν ὅ ἐστι τὸ φίλον καὶ οὔ. Φαμὲν γὰρ αὐτὸ, καὶ κατὰ τὴν ψυχὴν καὶ κατὰ τὸ σῶμα καὶ πανταχοῦ, τὸ μήτε

μεν κακὸν ἀγαθῷ φίλον εἶναι. Διὰ ταῦτα δὴ φαῖμεν ἂν — Phaedr. §. 145. Τὸ μὲν σοφὸν, ὦ Φαῖδρε, καλεῖν ἐμοιγε μέγα εἶναι δοκεῖ καὶ θεῷ μόνῳ πρέπειν· τὸ δὲ ἢ φιλόσοφον ἤ τι τοιοῦτον μᾶλλόν γε ἂν αὐτῷ καὶ ἁρμόττοι καὶ ἐμμελεστέρως ἔχοι. In verbis autem τοὺς οὕτως ἄγνοιαν ἔχοντας haud dubie legendum ἀγνοίας. Vid Hemst. ad Lucian. Nigrin. 1. [Dissentit Schleiermacher. Non enim indicari hic inscitiae gradum aliquem, sed modum: cf. §. 32. κατά τινα τρόπον.]

33. Νῦν ἄρα — [Sic Be. e Clark. et Vat. Vulgo Ἆρα—;] Φαμὲν γὰρ αὐτὸ — Scabri aliquid, redundante moleste voce αὐτὸ, habet oratio. Quare conjiciebam, Φαμὲν γὰρ αὐτὸ τὸ κατὰ τὴν ψυχὴν καὶ κατὰ τὸ σῶμα καὶ πανταχοῦ μήτε κακὸν μήτε ἀγαθ. Sed tamen quum perturbatior interdum sit apud Atticos scriptores verborum ordo, sanus videtur nunc locus, verbis ita ordinatis: Φαμὲν γὰρ αὐτὸ τὸ μήτε κακ. μήτε ἀγ. καὶ κατὰ τὴν ψυχὴν καὶ κατὰ τὸ σῶμα καὶ παντ. διὰ κακοῦ παρ. etc.

κακὸν μήτε ἀγαθὸν, διὰ κακοῦ παρουσίαν, τοῦ ἀγα- c.
θοῦ φίλον εἶναι. Παντάπασιν ἐφάτην τε καὶ συνε- 34.
χωρείτην οὕτω τοῦτ' ἔχειν. Καὶ δὴ καὶ αὐτὸς ἐγὼ
πάνυ ἔχαιρον, ὥσπερ θηρευτής τις ἔχων ἀγαπητῶς ὃ
ἐθηρευόμην. Κἄπειτ' οὐκ οἶδ' ὁπόθεν μοι ἀτοπω-
τάτη τις ὑποψία εἰσῆλθεν, ὡς οὐκ ἀληθῆ εἴη τὰ
ὡμολογημένα ἡμῖν. Καὶ εὐθὺς ἀχθεσθεὶς εἶπον, Βα-
βαὶ, ὦ Λύσι τε καὶ Μενέξενε, κινδυνεύομεν ὄναρ
πεπλουτηκέναι. Τί μάλιστα; ἔφη ὁ Μενέξενος. Φο- d.
βοῦμαι, ἦν δ' ἐγὼ, μὴ ὥσπερ ἀνθρώποις ἀλαζόσι
λόγοις τισὶ τοιούτοις ψευδέσιν ἐντετυχήκαμεν περὶ
τοῦ φίλου. Πῶς δή; ἔφη. Ὧδε, ἦν δ' ἐγὼ, σκοπῶ-
μεν· φίλος ὃς ἂν εἴη, πότερόν ἐστί τῳ φίλος ἢ οὔ;
Ἀνάγκη, ἔφη. Πότερον οὖν οὐδενὸς ἕνεκα καὶ δι'
οὐδέν, ἢ ἕνεκά του καὶ διά τι; Ἕνεκά του καὶ διά
τι. Πότερον φίλου ὄντος ἐκείνου τοῦ πράγματος, οὗ
ἕνεκα φίλος ὁ φίλος τῷ φίλῳ, ἢ οὔτε φίλου οὔτε
ἐχθροῦ; Οὐ πάνυ, ἔφη, ἔπομαι. Εἰκότως γε, ἦν e.
δ' ἐγὼ, ἀλλὰ ὧδε ἴσως ἀκολουθήσεις, οἶμαι δὲ καὶ

---

§. 34. *Καὶ δὴ καὶ αὐτὸς — ἐθηρευόμην.* *Atque et ipse ego admodum lactabar, velut venator aegre tenens, in quo venando eram occupatus.* Haec est loci huius sententia, male accepti ab interpretibus, illud *ἀγαπητῶς* parum intelligentibus. Sonat enim h. l. *vix, aegre:* vid. Bergler. ad Alciphron. p. 54. *κινδυνεύομεν ὄναρ πεπλουτ.* Theaet. p. 208. b. *Ὄναρ δή, ὡς ἔοικεν, ἐπλουτήσαμεν, οἰηθέντες ἔχειν τὸν ἀληθέστατον ἐπιστήμης λόγον.* Inde *ὀνειροπολεῖν τὸν πλοῦτον* Lucian. Somn. §. 32. ubi vid. Reitz. *Φοβοῦμαι, ἦν δ' ἐγὼ* — De vocula *μὴ* cum indicativo de re perfecta usurpata *μὴ λέληθε, μὴ τέθνηκε* vid. Burgess. ad Dawes. Misc. Crit. ed. Harl. p. XXIV. Sed subolet in his verbis

ἐγὼ μᾶλλον εἴσομαι ὅ,τι λέγω. Ὁ κάμνων, νῦν δή φαμεν, τοῦ ἰατροῦ φίλος. Οὐχ οὕτως; Ναί. Οὐκοῦν διὰ νόσον, ἕνεκα ὑγιείας, τοῦ ἰατροῦ φίλος; Ναί. Ἡ δέ γε νόσος κακόν; Πῶς δ' οὔ; Τί δαί; ὑγίεια, ἦν δ' ἐγὼ, ἀγαθὸν ἢ κακὸν ἢ οὐδέτερα;
35.
p. 219. Ἀγαθόν, ἔφη. Ἐλέγομεν δ' ἄρα, ὡς ἔοικεν, ὅτι
a. τὸ σῶμα, οὔτε ἀγαθὸν οὔτε κακόν, διὰ τὴν νόσον, τοῦτο δέ ἐστι διὰ τὸ κακὸν, τῆς ἰατρικῆς φίλον ἐστίν· ἀγαθὸν δὲ ἰατρική· ἕνεκα δὲ τῆς ὑγιείας τὴν φιλίαν ἡ ἰατρικὴ ἐπανήρηται· ἡ δὲ ὑγίεια ἀγαθόν· ἦ γάρ; Ναί. Φίλον δὲ ἢ οὐ φίλον ἡ ὑγίεια; Φίλον. Ἡ δὲ νόσος ἐχθρόν. Πάνυ γε. Τὸ οὔτε κακὸν οὔτε ἀγαθὸν ἄρα, διὰ τὸ κακὸν καὶ τὸ ἐχθρὸν, τοῦ ἀγαθοῦ φίλον ἐστὶν, ἕνεκα τοῦ ἀγαθοῦ καὶ φί-
b. λου. Φαίνεται. Ἕνεκα ἄρα τοῦ φίλου τὸ φίλον φίλον, διὰ τὸ ἐχθρόν. Ἔοικεν. Εἶεν, ἦν δ' ἐγώ. Ἐπειδὴ ἐνταῦθα ἥκομεν, ὦ παῖδες, πρόσσχωμεν τὸν νοῦν μὴ ἐξαπατηθῶμεν. Ὅτι μὲν γὰρ φίλον τοῖ

---

de glossemate. ὁ κάμνων, νῦν δή φαμεν — Malim ἔφαμεν, quoniam haec referuntur ad illa superiora §. 31. ἀναγκάζεται δέ γε σῶμα διὰ νόσον ἰατρικὴν ἀσπάζεσθαι καὶ φιλεῖν.

§. 35. Ἐλέγομεν δ' ἄρα, ὡς ἔοικεν — Correxi h. l. ex verissima Cornarii emendatione. Vulgo sine sensu: ἐλέγομ. δ' ἄρα, ὡς ἔοικεν, ὅτι τὸ σῶμα, οὔτε ἀγαθὸν, οὔτε κακὸν, διὰ τὴν νόσον, τοῦτο δὲ, διὰ τὸ κακὸν, τῆς ἰατρικῆς φίλον ἐστί· Atque post οὔτε ἀγαθὸν οὔτε κακὸν non male inseras ὄν. De articulo autem ante artium nomina legitime omisso (ἀγαθὸν δὲ ἰατρική) vid. ad Sophist. §. 109. Εἶεν, ἦν δ' ἐγώ. Ἐπειδὴ ἐνταῦθα ἥκομεν. Malim ἐπειδὴ δὲ ἐντ. de rep. I. p. 336. a. Εἶεν, ἦν δ' ἐγώ. Ἐπειδὴ δὲ οὐδὲ τοῦτο ἐφάνη ἡ δικαιοσύνη ὄν. Ὅτι μὲν γὰρ φίλον — In his verba illa

φίλου τὸ φίλον γέγονεν, ἐῶ χαίρειν, καὶ τοῦ ὁμοίου γε τὸ ὅμοιον φίλον γίγνεται, ὃ ἔφαμεν ἀδύνατον εἶναι. Ἀλλ' ὅμως τόδε σκεψώμεθα, μὴ ἡμᾶς ἐξαπατήσῃ τὸ νῦν λεγόμενον. Ἡ ἰατρικὴ, φαμέν, ἕνεκα τῆς ὑγιείας φίλον. Ναί. Οὐκοῦν καὶ ἡ ὑγίεια φί- c.
λον; Πάνυ γε. Εἰ ἄρα φίλον, ἕνεκά του. Ναί. 36.
Φίλου γέ τινος δὴ, εἴπερ ἀκολουθήσει τῇ πρόσθεν ὁμολογίᾳ. Πάνυ γε. Οὐκοῦν καὶ ἐκεῖνο φίλον αὖ ἔσται ἕνεκα φίλου; Ναί. Ἆρ' οὖν οὐκ ἀνάγκη ἀπειπεῖν ἡμᾶς οὕτως ἰόντας καὶ ἀφικέσθαι ἐπί τινα ἀρχὴν, ἣ οὐκέτ' ἐπανοίσει ἐπ' ἄλλο φίλον, ἀλλ' ἥξει ἐπ' ἐκεῖνο, ὃ ἐστι πρῶτον φίλον, οὗ ἕνεκα καὶ τὰ ἄλλα φαμὲν πάντα φίλα εἶναι; Ἀνάγκη. Τοῦτο d.
δή ἐστιν ὃ λέγω, μὴ ἡμᾶς τἆλλα πάντα, ἃ εἰπο-

ἐῶ χαίρειν negligentius sunt collocata: ne quis cum viro docto coniiciat καίτοι τοῦ ὁμοίου —, quo reposito reponendum etiam esset γίγνοιτ' ἄν.

§. 36. Φίλον γέ τινος δή — Cornar.: *Amici cuiusdam utique.* Legit itaque φίλου, vere, opinor. [Itaque sic nos cum Be. e plur. et opt.] εἴπερ ἀκολουθήσει — Intellige τοῦτο. Theaet. p. 196. b. Οὐκοῦν εἰς τοὺς πρώτους πάλιν ἀνήκει λόγους, ubi subaudiendum τοῦτο, s. τὸ πρᾶγμα.

36. Ἆρ' οὖν οὐκ ἀνάγκη ἀπειπεῖν — Male Cornarius: *Numquid igitur necesse est, nos huic progressioni renuntiare, et ad principium quoddam pervenire, quod non amplius ad aliud amicum transeat* etc.? Hoc dicit Plato: *Nonne igitur necesse est, ut fatigemur sic progrediendo, veniamusque ad amicum aliud* etc.? Ἐπανοίσει autem οὐδετέρως h. l. adhibitum est per intellectum τοῦ ἑαυτὸ, ut saepius, neque audiendus Cornarius, corrigens ἐπανήσει. Qui, miror, quod non in illo potius ἥξει haesit. Nam quum ἀρχὴ haec ipsa sit haud dubie *illud* πρῶτον φίλον, *cuius causa cetera omnia* φίλα *sunt*, ita potius scriptum exspectabam: ἀλλ' ἔσται ἐν ἐκείνῳ, s. τελευτήσει εἰς ἐκεῖνο. (Conf. §. 37.) Si sana haec

μεν ἐκείνου ἕνεκα φίλα εἶναι, ὥσπερ εἴδωλα ἄττα ὄντα αὐτοῦ ἐξαπατᾷ, ἢ δ' ἐκεῖνο τὸ πρῶτον, ὃ ὡς ἀληθῶς ἐστι φίλον. Ἐννοήσωμεν γὰρ οὑτωσί. Ἐάν τίς τι περὶ πολλοῦ ποιῆται, οἷόνπερ ἐνίοτε πατὴρ υἱὸν ἀντὶ πάντων τῶν ἄλλων χρημάτων προτιμᾷ· ὁ δὴ τοιοῦτος ἕνεκα τοῦ τὸν υἱὸν περὶ παντὸς ἡγεῖ-
e. σθαι ἆρα καὶ ἄλλο τι ἂν περὶ πολλοῦ ποιοῖτο; οἷον εἰ αἰσθάνοιτο αὐτὸν κώνειον πεπωκότα, ἆρα περὶ πολλοῦ ποιοῖτ' ἂν οἶνον, εἴπερ τοῦτο ἡγοῖτο τὸν υἱὸν σώσειν; Τί μήν; ἔφη. Οὐκοῦν καὶ τὸ ἀγγεῖον,
37. ἐν ᾧ ὁ οἶνος ἐνείη; Πάνυ γε. Ἆρ' οὖν τότε οὐδὲν περὶ πλείονος ποιεῖται, κύλικα κεραμέαν ἢ τὸν υἱὸν τὸν αὑτοῦ, οὐδὲ τρεῖς κοτύλας οἴνου ἢ τὸν υἱόν; ἢ ὧδέ πως ἔχει· πᾶσα ἡ τοιαύτη σπουδὴ οὐκ ἐπὶ τούτοις ἐστὶν ἐσπουδασμένη, ἐπὶ τοῖς ἕνεκά του παρασκευαζομένοις, ἀλλ' ἐπ' ἐκείνῳ, οὗ ἕνεκα πάντα τὰ

---

sunt, verbum ἥκειν, quod praegresso potius ἡμᾶς accommodari debebat, negligentius paullo ad proxime praecedens ἀρχὴν scriptor videtur retulisse. Sed in verbis ὅ ἐστι πρῶτον φίλον inserendum utique articulum τὸ post ἐστὶ puto. Mox in illis ἢ δ' ἐκεῖνο — ad τὸ πρῶτον subaudiendum τοῦτο: ut brevius idem sic efferri potuerit: ἢ δ' ἐκεῖνο τὸ πρῶτον τὸ ὡς ἀληθῶς φίλον. [In seqq. vulgatum ὃ ἄν τίς τι περὶ — Hdf. emendaverat ejecto τι: Bekker ex indicio cod. praestantis unius e Vaticanis, qui dat εἰ ὃ ἄν τίς τι — veram restituit scripturam, Ἐάν τίς τι π.]

§. 37. Ἆρ' οὖν τότε οὐδὲν περὶ πλείονος — Vulgo haec ita interpunguntur: Ἆρ' οὖν τότε οὐδὲν περὶ πλείονος ποιεῖται κύλικα κεραμέαν, ἢ τὸν υἱὸν τὸν αὑτοῦ, οὐδὲ τρεῖς κοτύλας οἴνου, ἢ τὸν υἱόν, hoc sensu: *Igiturne tum nihilo pluris faciet calicem fictilem, quam filium suum, neque tres vini heminas, quam filium.* Qua sententia nihil esse potest absurdius. Ego, Buttmanno meo monente de non inusitato

τοιαῦτα παρασκευάζεται· οὐχ ὅτι πολλάκις λέγομεν, p. 220. a.
ὡς περὶ πολλοῦ ποιούμεθα χρυσίον καὶ ἀργύριον·
ἀλλὰ μὴ οὐδέν τι μᾶλλον οὕτω τόγε ἀληθὲς ἔχῃ·
ἀλλ' ἐκεῖνό ἐστιν ὃ περὶ παντὸς ποιούμεθα, ὃ ἂν
φανῇ ὄν, ὅτου ἕνεκα καὶ χρυσίον καὶ πάντα τὰ πα-
ρασκευαζόμενα παρασκευάζεται. Ἆρ' οὕτω φήσο-
μεν; Πάνυ γε. Οὐκοῦν καὶ περὶ τοῦ φίλου ὁ αὐ-
τός λόγος; ὅσα γάρ φαμεν φίλα εἶναι ἡμῖν ἕνεκα
φίλου τινός, ἑτέρῳ ῥήματι φαινόμεθα λέγοντες
αὐτό· φίλον δὲ τῷ ὄντι κινδυνεύει ἐκεῖνο αὐτὸ εἶ- b.

Graecis loquendi genere, ut e. g. *οὐδὲν περὶ πλείονος ποιεῖσθαι, βίον ἢ θάνατον, ὑγίειαν ἢ νόσον*, dicatur qui haec omnia in nullo ponat discrimine, distinxi post *ποιεῖται*: qua una ratione efficitur ea, qua hic opus est, sententia: *Igiturne tum eodem in pretio habebit calicem fictilem, quo suum filium, eodemque tres vini heminas, quo filium, an sic se res habet, ut, filii ratione non habita, nihili omnino illa aestimaturus esset?*

37. *οὐχ ὅτι πολλάκις λέγομεν — Οὐχ ὅτι* est simpliciter *quanquam*, eodemque modo, quo illa Latinorum particula, propositionibus solet annecti: v. c. Theaet. p. 157. b. *ὥστε ἐξ ἁπάντων τούτων, ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν, οὐδὲν εἶναι ἓν αὐτὸ καθ' αὑτό, ἀλλὰ τινὶ αἰεὶ γίγνεσθαι. Τὸ δὲ εἶναι παντα-χόθεν ἐξαιρετέον· οὐχ ὅτι ἡμεῖς πολλὰ καὶ ἄρτι ἠναγκάσμεθα ὑπὸ συνηθείας καὶ ἀνεπιστημοσύνης χρῆσθαι αὐτῷ. Τὸ δ' οὐ δεῖ* etc. Gorg. p. 450. e. *Ἀλλ' οὔτι τούτων γε οὐδεμίαν οἶμαί σε βούλεσθαι ῥητορικὴν καλεῖν· οὐχ ὅτι τῷ ῥήματι οὕτως εἶ-πες — ἀλλ' οὐκ οἶμαί σε οὔτε τὴν ἀριθμητικὴν, οὔτε τὴν γεω-μετρίαν ῥητορικὴν λέγειν.* Protag. p. 336. d. *Ἐπεὶ Σωκράτει γε ἐγὼ ἐγγυῶμαι μὴ ἐπιλήσεσθαι, οὐχ ὅτι παίζει καί φησιν ἐπι-λήσμων εἶναι.*

37. *ὅσα γάρ φαμεν φίλα εἶναι —* Verba haec *ἕνεκα φί-λου τινὸς* mutata distinctione ad antecedentia traxi. *ἑτέρῳ ῥήματι* i. e. *alieno nomine, improprio.* Pari modo Phileb. p. 13. a. *Ὅτι προσαγορεύεις αὐτὰ ἀνόμοια ὄντα ἑτέρῳ, φήσο-μεν, ὀνόματι· λέγεις γὰρ ἀγαθὰ πάντα εἶναι τὰ ἡδέα:* quem

ναι, εἰς ὃ πᾶσαι αὗται αἱ λεγόμεναι φιλίαι τελευτῶσι. Κινδυνεύει οὕτως, ἔφη, ἔχειν. Οὐκοῦν τόγε τῷ ὄντι φίλον οὐ φίλου τινὸς ἕνεκα φίλον ἐστίν; Ἀληθῆ. Τοῦτο μὲν δὴ ἀπήλλακται, μὴ φίλου τινὸς ἕνεκα τὸ φίλον φίλον εἶναι. Ἀλλ' ἆρα τὸ ἀγα-
38. θόν ἐστι φίλον; Ἔμοιγε δοκεῖ. Ἆρ' οὖν διὰ τὸ
c. κακὸν τὸ ἀγαθὸν φιλεῖται, καὶ ἔχει ὧδε· εἰ τριῶν ὄντων ἓν νῦν δὴ ἐλέγομεν, ἀγαθοῦ καὶ κακοῦ καὶ μήτε ἀγαθοῦ μήτε κακοῦ, τὰ δύο ληφθείη, τὸ δὲ κακὸν ἐκποδὼν ἀπέλθοι καὶ μηδενὸς ἐφάπτοιτο, μήτε σώματος μήτε ψυχῆς μήτε τῶν ἄλλων ἃ δή φαμεν αὐτὰ καθ' αὑτὰ οὔτε κακὰ εἶναι οὔτε ἀγαθά, ἆρα τότε οὐδὲν ἂν ἡμῖν χρήσιμον εἴη τὸ ἀγαθόν, ἀλλ' ἄχρηστον ἂν γεγονὸς εἴη; Εἰ γὰρ μηδὲν ἡμᾶς ἔτι βλάπτοι, οὐδὲν ἂν οὐδεμιᾶς ὠφελείας δεοίπε-
d. θα. Καὶ οὕτω δὴ ἂν τότε γένοιτο κατάδηλον, ὅτι διὰ τὸ κακὸν τἀγαθὸν ἠγαπῶμεν καὶ ἐφιλοῦμεν, ὡς φάρμακον ὂν τοῦ κακοῦ τὸ ἀγαθόν, τὸ δὲ κακὸν νόσημα· νοσήματος δὲ μὴ ὄντος, οὐδὲν

---

locum olim pessime tentavi. Sed illud αὐτὸ, post ὅσα illatum, vix sanum puto, neque satisfacit αὐτά. Elegantius utique hoc prorsus abesset, nisi forte legendum: λέγοντες αὖ· τὸ φίλον δὲ τῷ ὄντι — Nam ἐκεῖνο αὐτὸ est *illud unum*. Vid. Valcken. ad Chrysost. Orat. in Hemst. et Valck. Oratt. p. VI. Τοῦτο μὲν δὴ ἀπήλλακται — Simili structura Phileb. p. 67. a. Οὐκοῦν παντάπασιν ἐν τούτῳ τῷ λόγῳ καὶ νοῦς ἀπήλλακτο καὶ ἡδονὴ, μήτοι ταγαθόν γε αὐτὸ μηδ' ἕτερον αὐτοῖν εἶναι στερομένων αὐταρκείας —.

§. 38. εἰ τριῶν ὄντων — τὰ δύο ληφθείη, τὸ δὲ κακὸν ἐκποδὼν ἀπέλθοι. Malim λειφθείη, quod respondeat subsequentibus his ἐκποδὼν ἀπέλθοι.

δεῖ φαρμάκου· ἆρ' οὕτω πέφυκέ τε καὶ φιλεῖται τἀγαθὸν διὰ τὸ κακὸν ὑφ' ἡμῶν, τῶν μεταξὺ ὄντων τοῦ κακοῦ τε καὶ τἀγαθοῦ, αὐτὸ δὲ αὑτοῦ ἕνεκα οὐδεμίαν χρείαν ἔχει; Ἔοικεν, ἦ δ' ὅς, οὕτως ἔχειν. Τὸ ἄρα φίλον ἡμῖν ἐκεῖνο, εἰς ὃ ἐτελεύτα πάντα τἄλλ', ἃ ἕνεκα ἑτέρου φίλου φίλα ἔφαμεν εἶ- e.
ναι, οὐδὲν δὴ τούτοις ἔοικε. Ταῦτα μὲν γὰρ φί- 39.
λου ἕνεκα φίλα κέκληται, τὸ δὲ τῷ ὄντι φίλον πᾶν τοὐναντίον τούτου φαίνεται πεφυκός. Φίλον γὰρ ἡμῖν ἀνεφάνη ὂν ἐχθροῦ ἕνεκα. Εἰ δὲ τὸ ἐχθρὸν ἀπέλθοι, οὐκέτι, ὡς ἔοικ', ἔσθ' ἡμῖν φίλον. Οὔ μοι δοκεῖ, ἔφη, ὡς γε νῦν λέγεται. Πότερον, ἦν δ' ἐγώ, πρὸς Διός, ἐὰν τὸ κακὸν ἀπόληται, οὐδὲ πεινῇν ἔτι ἔσται οὐδὲ διψῇν οὐδὲ ἄλλο οὐδὲν τῶν p. 221.
τοιούτων; ἢ πείνη μὲν ἔσται, ἐάνπερ ἄνθρωποί a.
τε καὶ τἄλλα ζῷα ᾖ, οὐ μέντοι βλαβερά γε, καὶ δίψα δὴ καὶ αἱ ἄλλαι ἐπιθυμίαι, ἀλλ' οὐ κακαί, ἅτε τοῦ κακοῦ ἀπολωλότος; Ἦ γελοῖον τὸ ἐρώτημα, ὅτι ποτ' ἔσται τότε ἢ μὴ ἔσται; Τίς γὰρ οἶδεν; Ἀλλ' οὖν τόδε γε ἴσμεν, ὅτι καὶ νῦν ἔστι πεινῶν-

---

38. *Τὸ ἄρα φίλον ἡμῖν ἐκεῖνο* — Vulgo: *Τὸ ἄρα φίλον ἡμῖν ἐκεῖνο εἰς ὃ ἐτελεύτα πάντα τὰ ἄλλα, ἕνεκα ἑτέρου φίλου φίλα ἔφαμεν εἶναι ἐκεῖνα. οὐδὲν δὲ τούτοις ἔοικεν.* Quae sensu carent prorsus; quare non dubitavi certam in textum recipere Cornarii mutationem; nisi quod *δὲ* post *οὐδὲν* ille ejecit, ego in *δὴ* mutavi. [Bekker, servato *δὲ*, *ἐκεῖνα* ejiciendum censet.]

§. 39. *ἐάνπερ ἄνθρωποί τε καὶ τἄλλα* — Stephanus coniecit *ἔστ' ἄν περ, quantisper*. Sed probum *ἐάνπερ, si modo*. *Ἔστ' ἄν* semel adhuc in Platone repperi Symp. p. 211. c.

τα βλάπτεσθαι, ἔστι δὲ καὶ ὠφελεῖσθαι· ἦ γάρ; Πάνυ γε. Οὐκοῦν καὶ διψῶντα καὶ τῶν ἄλλων τῶν
b. τοιούτων πάντων ἐπιθυμοῦντα ἔστιν ἐνίοτε μὲν ὠφελίμως ἐπιθυμεῖν, ἐνίοτε δὲ βλαβερῶς, ἐνίοτε δὲ μηδέτερα; Σφόδρα γε. Οὐκοῦν, ἐὰν ἀπολλύηται τὰ κακὰ, ἃ γε μὴ τυγχάνει ὄντα κακὰ, τί προσήκει τοῖς κακοῖς συναπόλλυσθαι; Οὐδέν. Ἔσονται ἄρα αἱ μήτε ἀγαθαὶ μήτε κακαὶ ἐπιθυμίαι, καὶ
40. ἐὰν ἀπόληται τὰ κακά. Φαίνεται. Οἷόν τε οὖν ἐστιν, ἐπιθυμοῦντα καὶ ἐρῶντα τούτου οὗ ἐπιθυ-
c. μεῖ καὶ ἐρᾷ μὴ φιλεῖν; Οὐκ ἔμοιγε δοκεῖ. Ἔσται ἄρα καὶ τῶν κακῶν ἀπολομένων, ὡς ἔοικε, φίλ' ἄττα. Ναί. Οὐκ ἂν, εἴγε τὸ κακὸν αἴτιον ἦν τοῦ φίλον τι εἶναι· οὐκ ἂν ἦν, τούτου ἀπολομένου, φίλον ἕτερον ἑτέρῳ· αἰτίας γὰρ ἀπολομένης, ἀδύνα-

---

pro quo plerumque adhibet ἕως ἄν s. ἐν ᾧ ἄν. Mox in his, *Οὐκοῦν ἐὰν ἀπολλύηται τὰ κακὰ* —, pro *τυγχάνῃ* reposui *τυγχάνει* ex sermonis lege.

§. 40. *τούτου οὗ ἐπιθυμεῖ*. Miror Stephanum *τοῦτο* reponentem. Meno. p. 96. a. *Ἔχεις οὖν εἰπεῖν ἄλλου ὁτουοῦν πράγματος, οὗ οἱ μὲν φάσκοντες διδάσκαλοι εἶναι, οὐχ ὅπως ἄλλων διδάσκαλοι ὁμολογοῦνται* etc. et ibid. c. prorsus ad huius loci modum *ὡμολογήκαμεν δέ γε, πράγματος οὗ μήτε διδάσκαλοι μήτε μαθηταὶ εἶεν, τοῦτο διδακτὸν μὴ εἶναι*. Cuius generis primum est exemplum ap. Homer. Iliad. σ, 192. Geminaque huic, sed vulgatior est illa accusativi pronomini relativo praemissi ratio, ab interpp. passim illustrata: v. c. de legg. V. p. 740. d. *πάντων τούτων ἀρχὴν ἣν ἂν θώμεθα μεγίστην καὶ τιμιωτάτην, αὕτη σκεψαμένη* etc. V. Muret. Var. Lectt. XIV. 5. Paullo post ad *οὐκ ἂν* subaudi *ἦν φίλ' ἄττα*. Aristoph. Nub. 5. *Οἱ δ' οἰκέται ῥέγκουσιν· ἀλλ' οὐκ ἂν προτοῦ*. Conf. Valcken. ad Herodot. VI. 68.

τόν που ἦν ἔτ' ἐκεῖνο εἶναι, οὗ ἦν αὕτη ἡ αἰτία. Ὀρθῶς λέγεις. Οὐκοῦν ὡμολόγηται ἡμῖν τὸ φίλον φιλεῖν τι, καὶ διά τι, καὶ ὠφθημεν τότε γε διὰ τὸ κακὸν τὸ μήτε ἀγαθὸν μήτε κακὸν τὸ ἀγαθὸν φιλεῖν; Ἀληθῆ. Νῦν δέ γε, ὡς ἔοικε, φαίνεται ἄλλη τις αἰτία τοῦ φιλεῖν τε καὶ φιλεῖσθαι. Ἔοικεν. Ἆρ' οὖν τῷ ὄντι, ὥσπερ ἄρτι ἐλέγομεν, ἡ d. ἐπιθυμία τῆς φιλίας αἰτία, καὶ τὸ ἐπιθυμοῦν φίλον ἐστὶ τούτῳ οὗ ἐπιθυμεῖ, καὶ τότε ὅταν ἐπιθυμῇ· ὃ δὲ τοπρότερον ἐλέγομεν φίλον εἶναι, ὕθλος τις ἦν, ὥσπερ ποίημα μακρὸν συγκείμενον; Κινδυνεύει, ἔφη. Ἀλλὰ μέντοι, ἦν δ' ἐγώ, τόγε ἐπιθυμοῦν, οὗ ἂν ἐνδεὴς ᾖ, τούτου ἐπιθυμεῖ· ἦ γάρ; Ναί. Τὸ δ' ἐνδεὲς ἄρα φίλον ἐκείνου, οὗ ἂν ἐνδεὴς ᾖ; Λοκεῖ μοι. Ἐνδεὲς δὲ γίγνεται, οὗ e. ἄν τις ἀφαιρῆται; Πῶς δ' οὔ; Τοῦ οἰκείου δή, ὡς 41. ἔοικεν, ὅ τε ἔρως καὶ ἡ φιλία καὶ ἡ ἐπιθυμία τυγχάνει οὖσα, ὡς φαίνεται, ὦ Μενέξενέ τε καὶ Λύσι.

---

40. *ὕθλος τις ἦν — συγκείμενον.* Ni praestat *συγκείμενος*, hoc *συγκείμενον* referendum certe ad praegressum *ὅ*. Conf. ad Hipp. Mai. §. 13. Illud expressit Cornarius: *nugae erant velut longum poema compositae.* *Ἐνδεὲς δὲ γίγνεται, οὗ ἄν τις* — Hic aut *ἐνδεὴς* scribendum, aut potius reponendum *τὶ* pro *τις*, iudicabat Stephanus. Prius maluit Cornarius: *indiget autem quis eo, quod ipsi negatum est:* et sane alterutro opus est; utrum sit verum, non diiudico, quanquam propter praegressa illa *τὸ ἐπιθυμοῦν* et *τὸ ἐνδεές*, posterius magis placet, hoc sensu: *indigum autem aliquid fit eius rei, qua est privatum?* [*ἀφαιρῆται* Be. e praestantibus aliquot pro vulg. *ἀφῄρηται*.]

§. 41. *Τοῦ οἰκείου δή, ὡς ἔοικεν, — οὖσα, ὡς φαίνεται* — Verba haec *ὡς φαίνεται*, a Ficino et Cornario non expressa,

Συνεφάτην. Ὑμεῖς ἄρα εἰ φίλοι ἐστὸν ἀλλήλοις, φύσει πη οἰκεῖοί ἐσθ' ὑμῖν αὐτοῖς. Κομιδῇ, ἐφάτην. Καὶ εἰ ἄρα τις ἕτερος ἑτέρου ἐπιθυμεῖ, ἦν δ' ἐγὼ, ὦ παῖδες, ἢ ἐρᾷ, οὐκ ἄν ποτε ἐπεθύμει οὐδὲ ἤρα
p. 222. a. οὐδὲ ἐφίλει, εἰ μὴ οἰκείός πη τῷ ἐρωμένῳ ἐτύγχανεν ὢν ἢ κατὰ τὴν ψυχὴν ἢ κατά τι τῆς ψυχῆς ἦθος ἢ τρόπους ἢ εἶδος. Πάνυ γε, ἔφη ὁ Μενέξενος, ὁ δὲ Λύσις ἐσίγησεν. Εἶεν, ἦν δ' ἐγώ. Τὸ μὲν δὴ φύσει οἰκεῖον ἀναγκαῖον ἡμῖν πέφανται φιλεῖν. Ἔοικεν, ἔφη. Ἀναγκαῖον ἄρα τῷ γνησίῳ ἐραστῇ καὶ μὴ προσποιήτῳ φιλεῖσθαι ὑπὸ τῶν παιδικῶν. Ὁ μὲν οὖν Λύσις καὶ ὁ Μενέξενος μόγις πως ἐπενευσάτην·
b. ὁ δὲ Ἱπποθάλης ὑπὸ τῆς ἡδονῆς παντοδαπὰ ἠφίει χρώματα. Καὶ ἐγὼ εἶπον, βουλόμενος τὸν λόγον ἐπισκέψασθαι, Εἰ μέντοι τὸ οἰκεῖον τοῦ ὁμοίου διαφέρει, λέγοιμεν ἄν τι, ὡς ἐμοὶ δοκεῖ, ὦ Λύσι τε καὶ Μενέξενε, περὶ φίλου, ὅ ἐστιν· εἰ δὲ ταὐτὸν

---

saltem arte iungenda prioribus; vulgo enim sic distinctum — οἶσα. Ὡς φαίν. Quamquam duplici hac formula ὡς ἔοικεν et ὡς φαίνεται equidem admodum offendor, neque facile ullum aliud eiusmodi exemplum in Platone reperias. An placet Οὕτως φαίνεται, ὦ Μεν. τε καὶ Λύσι; ?

41. Παντοδαπὰ ἠφίει χρώματα. Plat. Epist. VII. p. 349. a. Ὁ δὲ ἀκούσας ἀνεφλέχθη τε καὶ παντοδαπὰ χρώματα ἧκεν, οἷα ἂν θυμούμενος ἀφείη. Quod dicendi genus a Platonis imitatoribus certatim est frequentatum. εἰ μέντοι τὸ οἰκεῖον — Ne quis malit εἰ μέν τι, Parmenid. p. 161. a. Εἰ μέντοι μήτε τὸ ἓν, μήτ' ἐκεῖνο, μὴ ἔσται, ἀλλὰ περὶ ἄλλου του ὁ λόγος, οὐδὲ φθέγγεσθαι δεῖ οὐδέν· εἰ δὲ —. [Be. tamen hic quidem μέν τι e codd. aliq.]

τυγχάνει ὂν ὅμοιόν τε καὶ οἰκεῖον, οὐ ῥᾴδιον ἀποβαλεῖν τὸν πρόσθεν λόγον, ὡς οὐ τὸ ὅμοιον τῷ ὁμοίῳ κατὰ τὴν ὁμοιότητα ἄχρηστον· τὸ δὲ ἄχρηστον φίλον ὁμολογεῖν, πλημμελές. Βούλεσθ' οὖν, 42. c.
ἦν δ' ἐγὼ, ἐπειδὴ ὥσπερ μεθύομεν ὑπὸ τοῦ λόγου, συγχωρήσωμεν καὶ φῶμεν ἕτερόν τι εἶναι τὸ οἰκεῖον τοῦ ὁμοίου; Πάνυ γε. Πότερον οὖν καὶ ἀγαθὸν οἰκεῖον θήσομεν παντὶ, τὸ δὲ κακὸν ἀλλότριον εἶναι; ἢ τὸ μὲν κακὸν τῷ κακῷ οἰκεῖον, τῷ δὲ ἀγαθῷ τὸ ἀγαθὸν, τῷ δὲ μήτε ἀγαθῷ μήτε κακῷ τὸ μήτε ἀγαθὸν μήτε κακόν; Οὕτως ἐφάτην δοκεῖν σφισιν ἕκαστον ἑκάστῳ οἰκεῖον εἶναι. Πάλιν ἄρα, ἦν δ' d.
ἐγὼ, ὦ παῖδες, οὗς τοπρῶτον λόγους ἀπεβαλόμεθα περὶ φιλίας, εἰς τούτους εἰσπεπτώκαμεν. Ὁ γὰρ ἄδικος τῷ ἀδίκῳ καὶ ὁ κακὸς τῷ κακῷ οὐδὲν ἧττον φίλος ἔσται, ἢ ὁ ἀγαθὸς τῷ ἀγαθῷ. Ἔοικεν, ἔφη.

---

41. οὐ ῥᾴδιον ἀποβαλεῖν τὸν πρόσθεν λόγον, ὡς οὐ — Explicatur ὁ πρόσθεν λόγος seqq. verbis ὡς τὸ ὅμοιον τῷ ὁμοίῳ κατὰ τὴν ὁμοιότητα ἄχρηστον, ut facile haerere possit Graecorum consuetudini non assuetus in particula οὐ, quae tamen proba est adeoque necessaria. Latine sic sententiam explanaverim: *Si vero idem est simile atque proprium, non est facile priorem reiicere rationem, ut non putemus, simile simili, quatenus simile est, inutile esse.* Ergo ἀποβαλεῖν τὸν λόγον h. l. est, *reiecta priori ratione sententiam ita mutare, ut putemus* etc. Simili βραχυλογίᾳ Gorg. p. 493. c. ἀλλὰ πότερον πείθω τί σε καὶ μετατίθεσαι, εὐδαιμονεστέρους εἶναι τοὺς κοσμίους τῶν ἀκολάστων; i. e. *persuadeone tibi mutataque sententia putas, feliciores esse temperantes libidinosis?* Euthyphr. p. 9. d. ἀλλ' ἆρα τοῦτο νῦν ἐπανορθούμεθα ἐν τῷ λόγῳ, ὡς ὃ μὲν ἂν πάντες οἱ θεοὶ μισῶσιν, ἀνόσιόν ἐστιν etc. Conf. Hutchins. ad Xenoph. Cyrop. p. 520.

Τί δαί; τὸ ἀγαθὸν καὶ τὸ οἰκεῖον ἂν ταὐτὸν φῶμεν εἶναι, ἄλλο τι ἢ ὁ ἀγαθὸς τῷ ἀγαθῷ μόνον φίλος; Πάνυ γε. Ἀλλὰ μὴν καὶ τοῦτό γε ᾠόμεθα ἐξελέγξαι ἡμᾶς αὐτούς. Ἢ οὐ μέμνησθε; Μεμνήμεθα. Τί οὖν ἂν ἔτι χρησαίμεθα τῷ λόγῳ; ἢ δῆ-
e. λον ὅτι οὐδέν; Λέομαι οὖν, ὥρπερ οἱ σοφοὶ ἐν τοῖς δικαστηρίοις, τὰ εἰρημένα ἅπαντα ἀναπεμπάσασθαι.
43. Εἰ γὰρ μήτε οἱ φιλούμενοι μήτε οἱ φιλοῦντες μήτε οἱ ὅμοιοι μήτε οἱ ἀνόμοιοι μήτε οἱ ἀγαθοὶ μήτε οἱ οἰκεῖοι μήτε τὰ ἄλλα, ὅσα διεληλύθαμεν, οὐ γὰρ ἔγωγε ἔτι μέμνημαι ὑπὸ τοῦ πλήθους, ἀλλ' εἰ μηδὲν τούτων φίλον ἐστὶν, ἐγὼ μὲν οὐκέτι ἔχω τί λέγω.
p. 223. a. Ταῦτα δ' εἰπὼν ἐν νῷ εἶχον ἄλλον ἤδη τινὰ τῶν πρεσβυτέρων κινεῖν. Κᾆτα ὥσπερ δαίμονές τινες

---

§. 42. Ἀλλὰ μὴν καὶ τοῦτό γε ᾠόμεθα — Parum accurate Cornarius: *atqui et hoc nos ipsi reprobavimus*. Hoc dicit: *atqui in hoc quoque videbamur nobis nosmet ipsos redarguisse*. Neque enim infrequens est ἐλέγχειν duplici accusativo iunctum. Apolog. p. 23. a. οἴονται γάρ με — ταῦτα αὐτὸν εἶναι σοφὸν, ἃ ἂν ἄλλον ἐξελέγξω. Conf. Hipp. Mai. §. 18. Post illa Λέομαι οὖν ὥσπερ οἱ σοφοὶ — ἀναπεμπάσασθαι sine dubio trahenda sunt ad ἀνακεφαλαίωσιν illam in *peroratione*. Vid. Quintil. Inst. VI, 1. De voce ἀναπεμπάσασθαι vid. Lex. Tim. p. 33. ibique Ruhnk.

§. 43. Ταῦτα δ' εἰπὼν — κινεῖν, *ad dicendum excitare*, de rep. I. p. 329. d. Καὶ ἐγὼ ἀγασθεὶς αὐτοῦ εἰπόντος ταῦτα, βουλόμενος ἔτι λέγειν αὐτὸν, ἐκίνουν καὶ εἶπον. Amator. p. 134. a. Καί μοι ἔδοξεν ἤδη ἐνταῦθα κινητέος εἶναι ὁ φιλογυμναστὴς, ἵνα μοι βοηθήσειε. Conf. Charmides §. 22. Illud ὥσπερ δαίμονές τινες an de improviso istorum adventu accipiendum? an de tristi formidolosoque habitu? Certi nihil exputo.

προσελθόντες οἱ παιδαγωγοὶ, ὅ τε τοῦ Μενεξένου καὶ ὁ τοῦ Λύσιδος, ἔχοντες αὐτῶν τοὺς ἀδελφοὺς, παρεκάλουν καὶ ἐκέλευον αὐτοὺς οἴκαδε ἀπιέναι. Ἤδη γὰρ ἦν ὀψέ. Τὸ μὲν οὖν πρῶτον καὶ ἡμεῖς καὶ οἱ περιεστῶτες αὐτοὺς ἀπηλαύνομεν· ἐπειδὴ δὲ οὐδὲν ἐφρόντιζον ἡμῶν, ἀλλ' ὑποβαρβαρίζοντες ἠγανάκτουν τε καὶ οὐδὲν ἧττον ἐκάλουν, ἀλλ' ἐδόκουν b. ἡμῖν ὑποπεπωκότες ἐν τοῖς Ἑρμαίοις ἄποροι εἶναι προσφέρεσθαι, ἡττηθέντες οὖν αὐτῶν διελύσαμεν τὴν συνουσίαν. Ὅμως ἔγωγε, ἤδη ἀπιόντων αὐτῶν, Νῦν μὲν, ἦν δ' ἐγὼ, ὦ Λύσι τε καὶ Μενέξενε, καταγέλαστοι γεγόναμεν, ἐγώ τε, γέρων ἀνὴρ, καὶ ὑμεῖς. Ἐροῦσι γὰρ οἵδε ἀπιόντες, ὡς οἰόμεθα ἡμεῖς ἀλλήλων φίλοι εἶναι, καὶ ἐμὲ γὰρ ἐν ὑμῖν τίθημι, οὔπω δὲ, ὅ,τι ἐστὶν ὁ φίλος, οἷοί τε ἐγενόμεθα ἐξευρεῖν.

---

43. ἀλλ' ἐδόκουν ἡμῖν — προσφέρεσθαι. Ἀλλὰ hoc negligentius iteratum: commodius utique scripsisset καὶ ἐδόκ. Sed pro vulgato ὑποπεπτωκότες non cunctanter cum Stephano reposui ὑποπεπωκότες, qui sententiam loci hanc esse vidit: *videbantur nobis, quod plusculum poti forent, eiusmodi esse, ut cum iis negotium nobis esse non posset.* Ridicule Cornarius cum Ficino: *videbantur — non habere, quod in medium afferrent.* προσφέρεσθαι i. e. ὥστε ἡμᾶς προσφέρεσθαι αὐτοῖς. — ἐν τοῖς Ἑρμ. vid. ad §. 3. Deinde οὖν post ἡττηθέντες, quod Stephano redundare videbatur, ita obvium est in apodosi post protasin longiorem, ubi orationem redorditur quodammodo: v. Valcken. Annotatt. Hemst. et Valck. Oratt. subiectas p. 396. Conf Plat. Euthyd. p. 285. a. de rep. II. p. 367. c.

ΠΛΑΤΩΝΟΣ

ΧΑΡΜΙΔΗΣ.

ΣΩΚΡΑΤΗΣ, ΧΑΙΡΕΦΩΝ, ΚΡΙΤΙΑΣ, ΧΑΡΜΙΔΗΣ.

Ἦκον μὲν τῇ προτεραίᾳ ἑσπέρας ἐκ Ποτιδαίας ἀπὸ τοῦ στρατοπέδου, οἷον δὲ διὰ χρόνου ἀφιγμένος ἀσμένως ἦα ἐπὶ τὰς ξυνήθεις διατριβὰς, καὶ δὴ καὶ εἰς τὴν Ταυρέου παλαίστραν τὴν καταντικρὺ τοῦ τῆς βασιλικῆς ἱεροῦ εἰσῆλθον, καὶ αὐτόθι κατέλαβον p. 153. a.

§. 1. *Αἱ ξυνήθεις διατριβαὶ* non sunt *solita exercitia* aut *consueti congressus*, uti acceperunt interpretes, sed *loca ipsa, ubi commorari consueverat.* Aelian. V. H. III, 14. *Ἐκεῖνοι τὰς φρουρὰς ἐκλιπόντες διημέρευον ἐν ταῖς συνήθεσι διατριβαῖς.* Conf. Dorvill. ad Charit. p. 22. *Taureae palaestram* memorat Lucianus quoque, de Parasit. §, 43., ubi hunc Platonis locum sine dubio respexit: *μόνος δὲ τολμήσας ἐξελθεῖν εἰς τὴν ἐν τῇ πόλει μάχην ὁ σοφὸς αὐτῶν Σωκράτης, φεύγων ἐκεῖθεν ἀπὸ τῆς Πάρνηθος, εἰς τὴν Ταυρέου παλαίστραν κατέφυγε. Πολὺ γὰρ αὐτῷ ἀστειότερον ἐδόκει μετὰ τῶν μειρακυλλίων καθεζόμενον ὀαρίζειν, καὶ σοφισμάτια προβάλλειν τοῖς ἐντυγχάνουσιν, ἢ ἀνδρὶ Σπαρτιάτῃ μάχεσθαι·* ubi legerim *μόνος δὲ τολμήσας ἐξελθεῖν ἐκ τῆς ἐν τῇ Ποτιδαίᾳ μάχης.* Nam illa *ἀπο τῆς Πάρνηθος* nisi addita sunt ab aliquo, qui hic de pugna illa ad Delium commissa cogitaret, v. Thucyd, IV, 96., acutioribus emendanda relinquo. De *Taurea* ipso, qui palaestrae huius conditor videtur fuisse, vid. Palmer. ad Lucian. l. l. *Τῆς βασιλικῆς* int. *στοᾶς*, quae *βασίλειος* quoque et *βασιλέως* dicta, estque illa porticus, ubi *ἄρχων βασιλεὺς* sedebat. V. Meurs. Ce-

πάνυ πολλοὺς, τοὺς μὲν καὶ ἀγνῶτας ἐμοὶ, τοὺς δὲ πλείστους γνωρίμους. Καί με ὡς εἶδον εἰσιόν-
b. τα ἐξ ἀπροσδοκήτου, εὐθὺς πόρρωθεν ἠσπάζοντο ἄλλος ἄλλοθεν· Χαιρεφῶν δὲ, ἅτε καὶ μανικὸς ὢν, ἀναπηδήσας ἐκ μέσων ἔθει πρός με, καί μου λαβόμενος τῆς χειρὸς, Ὦ Σώκρατες, ἦ δ' ὅς, πῶς ἐσώθης ἐκ τῆς μάχης; Ὀλίγον δὲ πρὶν ἡμᾶς ἀπιέναι, μάχη ἐγεγόνει ἐν τῇ Ποτιδαίᾳ, ἣν ἄρτι ἦσαν οἱ τῇδε πεπυσμένοι. Καὶ ἐγὼ πρὸς αὐτὸν ἀποκρινόμενος,
2. Οὕτωσὶ, ἔφην, ὡς σὺ ὁρᾷς. Καὶ μὴν ἤγγελταί γε
c. δεῦρο, ἔφη, ἡ τε μάχη πάνυ ἰσχυρὰ γεγονέναι καὶ ἐν αὐτῇ πολλοὺς τῶν γνωρίμων τεθνάναι. Καὶ ἐπιει-

---

ram. Gem. c. 3. *Τὸ ἱερὸν* autem dicit templum illud *Διὸς Σωτῆρος* seu *Ἐλευθερίου*, cui adiuncta et Iovis huius porticus erat et altera haec *στοὰ βασίλειος*. V. Meurs. Lectt. Att. VI, 17. et Hemsterh. ad Aristoph. Plut. 1176. Mox in verbis *τοὺς μὲν καὶ ἀγνῶτας ἐμοὶ* illud *καὶ* ad *τοὺς μὲν* pertinet, quod ne redundare videatur, sententiam ita inversam cogita: *τοὺς μὲν πλείστους γνωρίμους, τοὺς δὲ καὶ ἀγνῶτας ἐμοί*. Sed pro *ἐμοὶ* malim *μοί*.

1. *ἅτε καὶ μανικὸς ὢν, ut cui vehemens esset et violentum prope ingenium*, qualem describit in Apol. Socr. p. 21. a. *Ἴστε δὴ οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ,τι ὁρμήσειε*. Deinde *πρὸς ἐμὲ* scripsi pro *πρός με*, quod sacris scriptoribus relinquendum. [Nobis tamen cum Be. codd. omnium scriptura *πρός με* hic et alibi restituenda hodie utique erat. Vid. Gramm. ampl. §. 72. Obs. 3. not.] *Ὀλίγον δὲ πρὶν ἡμᾶς — πεπυσμένοι*. Socratis sunt verba narrantis. Ad Potidaeam, antequam ea ab Atheniensibus obsideretur, acri proelio pugnatum referunt Thucyd. I, 62. Diod. Sic. XII, 34. Conf. Plat. Sympos. p. 219. e. omninoque de Socratis militia intpp. ad Lucian. de Parasit. §. 43. *Ἐν τῇ Ποτ.* ad Potidaeam: v. Duker. ad Thucyd. I, 100. Wesseling. ad Diod. Sic. T. I. p. 321.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-12523/fragment/page=0080

κῶς, ἦν δ' ἐγὼ, ἀληθῆ ἀπήγγελται. Παρεγένου μὲν, ἦ δ' ὅς, τῇ μάχῃ. Παρεγενόμην. Λεῦρο δὴ, ἔφη, καθεζόμενος ἡμῖν διήγησαι. Οὐ γάρ τοί πω πάντα σαφῶς πεπύσμεθα. Καὶ ἅμα με καθίζει ἄγων παρὰ Κριτίαν τὸν Καλλαίσχρου. Παρακαθεζόμενος οὖν ἠσπαζόμην τόν τε Κριτίαν καὶ τοὺς ἄλλους, καὶ διηγούμην αὐτοῖς τὰ ἀπὸ στρατοπέδου, ὅ,τι μέ τις ἀνέροιτο· ἠρώτων δὲ ἄλλος ἄλλο. d. Ἐπειδὴ δὲ τῶν τοιούτων ἄδην εἴχομεν, αὖθις ἐγὼ αὐτοὺς ἀνηρώτων τὰ τῇδε, περὶ φιλοσοφίας ὅπως ἔχοι τανῦν, περί τε τῶν νέων, εἴ τινες ἐν αὐτοῖς διαφέροντες ἢ σοφίᾳ ἢ κάλλει ἢ ἀμφότερα ἐγγεγονό-

---

§. 2. *Παρεγένου μὲν — μάχῃ.* Hoc loco sive iusta est interrogatio, sive sonus interrogatorio propior, particulae *μὲν* locus esse non potest; quamquam quod Stephanus scribendum putavit, *μὴν*, ne hoc quidem satis placet. Equidem natum illud suspicor librarii ad id, quod mox sequitur, *παρεγενόμην*, aberratione. [Sed vid. ad Theaet. 49. — Mox Be. *Οὐ γάρ τί πω* ex aliq. codd.]

2. *Ἐπειδὴ — ἄδην εἴχομεν.* [Vulgatum *ἄδην* cum Be. aspiravimus auctoritate cod. Clark. et al. Vid. Hesych. in v. Eustath. ad Dionys. 1033. Deinde *ἔχοι* cum eodem reposuimus e codd. longe plurimis. Vulgo *ἔχει*.] Pro *ἐγγεγονότες* Steph. coniecit *εὖ γεγονότες*, et videtur sane requiri pro illo aliud vocabulum, quod priori *διαφέροντες* repondeat. Verum *εὖ γεγονὼς*, *nobili loco natus*, nusquam adhibetur pro *εὖ πεφυκὼς*, neque hic omnino quidquam sollicitandum, modo structuram sic ordines: *εἴ τινες ἐν αὐτοῖς ἐγγεγονότες εἶεν ἢ σοφίᾳ ἢ κάλλει ἢ ἀμφότερα διαφέροντες, an qui inter eos exstitissent aut sapientia aut forma aut utroque insignes.* Plato Epist. XI. p. 359. b. *Ὅταν ἐν τοιούτοις καιροῖς ἀνὴρ καλός τε καὶ ἀγαθὸς ἐγγένηται μεγάλην δύναμιν ἔχων.* Accusativus autem *ἀμφότερα* post *σοφίᾳ* et *κάλλει* illatus ne tironem offendat, Gorg. p. 524. b. *Εἴ τινος μέγα ἦν τὸ σῶμα φύσει*

3. τες εἶεν. Καὶ ὁ Κριτίας ἀποβλέψας πρὸς τὴν θύ-
p. 154. a. ραν, ἰδών τινας νεανίσκους εἰσιόντας καὶ λοιδορουμένους ἀλλήλοις καὶ ἄλλον ὄχλον ὄπισθεν ἑπόμενον, Περὶ μὲν τῶν καλῶν, ἔφη, ὦ Σώκρατες, αὐτίκα μοι δοκεῖς εἰσεσθαι. Οὗτοι γὰρ τυγχάνουσιν οἱ εἰσιόντες πρόδρομοί τε καὶ ἐρασταὶ ὄντες τοῦ δοκοῦντος καλλίστου εἶναι τάγε δὴ νῦν. Φαίνεται δέ μοι καὶ αὐτὸς ἐγγὺς ἤδη που εἶναι προσιών. Ἔστι δὲ, ἦν δ' ἐγὼ, τίς τε καὶ τοῦ; Οἶσθά που σύγε, ἔφη, ἀλλ' οὔπω ἐν ἡλικίᾳ ἦν πρίν σε ἀπιέναι, Χαρμίδην τὸν τοῦ Γλαύκωνος τοῦ ἡμετέρου θείου υἱὸν, ἐμὸν
b. δὲ ἀνεψιόν. Οἶδα μέντοι, νὴ Δία, ἦν δ' ἐγώ. Οὐ γάρ τοι φαῦλος οὐδὲ τότε ἦν, ἔτι παῖς ὤν, νῦν δ'

ἢ τροφῇ ἢ ἀμφότερα. Lach. p. 187. a. *Πειθώμεν ἢ δώροις ἢ χάρισιν ἢ ἀμφότερα.* [Hic tamen accusativum in solo Par. E inventum Be. mutavit cum ceterorum omnium dativo.]

§. 3. *Οἶσθά που σύγε — Novisti tu quidem*, assiduus pulchrorum sectator. *οὔπω ἐν ἡλικίᾳ ἦν*, imperite Cornarius, *nondum ea statura erat*. *Ἐν ἡλικίᾳ εἶναι* et *ἡλικίαν ἔχειν* obvia est dictio de *adultis* seu *iustam quandam aetatis maturitatem adeptis*. Euthyd. p. 306. d. *Ὁ μὲν οὖν νεώτερος ἔτι καὶ σμικρός ἐστι· Κριτόβουλος δ' ἤδη ἡλικίαν ἔχει.* Liv. XLII, 34. *Quum primum in aetatem veni*: ubi vid. Duker.

3. *Χαρμίδην — ἀνεψιόν.* Proclus ad Plat. Tim. p. 25. *Ἐξηκεστίδου παῖδες ἐγένοντο Σόλων καὶ Δρωπίδης· καὶ Δρωπίδου μὲν Κριτίας — Κριτίου δὲ Καλλαισχρος καὶ Γλαύκων· Καλλαίσχρου δὲ αὖ Κριτίας οὗτος. Δηλοῖ δὲ ὁ ἐν Χαρμίδῃ Κριτίας, τὸν Γλαύκωνα, τὸν Χαρμίδου πατέρα, θεῖον ἑαυτοῦ καλῶν. Γλαύκωνος δὲ Χαρμίδης καὶ Περικτιόνη, τῆς δὲ Περικτιόνης ὁ Πλάτων· ὥστε ὁ Γλαύκων Κριτίου θεῖος ἦν, πατὴρ δὲ Χαρμίδου κ. τ. α.* Conf. Scholl. Plat. ad Tim. p. 201. Add. Liban. Declam. XXIV. p. 587. ed. Morell. Diog. Laert. III. 1. [In seqq. Be. iterum *οὐ γάρ τι* e septem codd. in quibus Clark.]

οἶμαί που εὖ μάλα ἂν ἤδη μειράκιον εἴη. Αὐτίκα, ἔφη, εἴσει καὶ ἡλίκος καὶ οἷος γέγονε. Καὶ ἅμα ταῦτα αὐτοῦ λέγοντος ὁ Χαρμίδης εἰσέρχεται. Ἐμοὶ μὲν οὖν, ὦ ἑταῖρε, οὐδὲν σταθμητόν. Ἀτεχνῶς γὰρ λευκὴ στάθμη εἰμὶ πρὸς τοὺς καλούς. Σχεδὸν γάρ τί μοι πάντες οἱ ἐν τῇ ἡλικίᾳ καλοὶ φαίνονται. c.
Ἀτὰρ οὖν δὴ καὶ τότε ἐκεῖνος ἐμοὶ θαυμαστὸς ἐφά- 4.
νη τό τε μέγεθος καὶ τὸ κάλλος, οἱ δὲ δὴ ἄλλοι πάντες ἐρᾷν ἔμοιγε ἐδόκουν αὐτοῦ, οὕτως ἐκπεπληγμένοι τε καὶ τεθορυβημένοι ἦσαν, ἡνίκ' εἰσῄει. Πολλοὶ δὲ δὴ ἄλλοι ἐρασταὶ καὶ ἐν τοῖς ὄπισθεν εἵποντο. Καὶ τὸ μὲν ἡμέτερον τὸ τῶν ἀνδρῶν ἧττον θαυμαστὸν ἦν· ἀλλ' ἐγὼ καὶ τοῖς παισὶ προσέσχον τὸν νοῦν, ὡς οὐδεὶς ἄλλος ἔβλεπεν αὐτῶν, οὐδ' ὅστις σμικρότατος ἦν, ἀλλὰ πάντες ὥσπερ ἄγαλμα ἐθεῶντο αὐ-

---

3. Ἐμοὶ μὲν οὖν, ὦ ἑταῖρε — *Ego discriminandi vim nullam habeo. Nam alba fere sum linea in diiudicanda puerorum pulchritudine.* Quippe minio aut rubrica utebantur fabri in lapide albo, non albo funiculo, λευκῇ στάθμῃ, discriminis nihil faciente. Plena locutio est ἐν λευκῷ λίθῳ λευκὴ στάθμη. V. Casaub. ad Theophr. c. 3. Davis. ad Max. Tyr. p. 588. Zenob. Proverb. Cent. IV. 89. et Scholl. Plat. p. 89. [Statim post vulgo σχεδὸν γάρ τοι, ex mero Stephanianae mendo.]

§. 4. Καὶ τὸ μὲν ἡμέτερον — Subaudio πάθος vel tale quid, quamquam alias τὸ ἡμέτερον frequentatur pro ἡμῖς. [In seqq. vulgatum οὐδεὶς ἄλλον ἔβλεπεν, quod inserendo εἰς corrigebat Heindorfius, veram medicinam e codd. a Bekkero recepit.] — Mox ὥσπερ ἄγαλμα, *ut statuam*, vid. Ruhnken. ad Tim. Lex. p. 6. Velut ap. Eurip. Hecub. 564. Polyxena dicitur στέρνα ὡς ἀγάλματος κάλλιστα δεῖξαι. Theocrit in Mort. Adon. Idyll. XXX. Τὸν ἄνδρα τὸν καλόν σευ Οὐκ ἤθελον πατάξαι, Ἀλλ' ὡς ἄγαλμ' ἐσεῖδον.

d. τόν. Καὶ ὁ Χαιρεφῶν καλέσας με, Τί σοι φαίνεται ὁ νεανίσκος, ἔφη, ὦ Σώκρατες; Οὐκ εὐπρόσωπος; Ὑπερφυῶς, ἦν δ' ἐγώ. Οὗτος μέντοι, ἔφη, εἰ ἐθέλοι ἀποδῦναι, δόξει σοι ἀπρόσωπος εἶναι· οὕτως τὸ εἶδος πάγκαλός ἐστιν. Συνέφασαν οὖν καὶ οἱ ἄλλοι ταὐτὰ ταῦτα τῷ Χαιρεφῶντι. Κἀγώ, Ἡράκλεις, ἔφην, ὡς ἄμαχον λέγετε τὸν ἄνδρα, εἰ ἔτι αὐτῷ ἓν μόνον τυγχάνει προσὸν σμικρόν τι. Τί; ἔφη ὁ
5. Κριτίας. Εἰ τὴν ψυχήν, ἦν δ' ἐγώ, τυγχάνει εὖ
e. πεφυκώς. Πρέπει δέ που, ὦ Κριτία, τοιοῦτον αὐτὸν εἶναι, τῆς γε ὑμετέρας ὄντα οἰκίας. Ἀλλ', ἔφη, πάνυ καλὸς καὶ ἀγαθός ἐστι καὶ ταῦτα. Τί οὖν, ἔφην, οὐκ ἀπεδύσαμεν αὐτοῦ αὐτὸ τοῦτο καὶ ἐθεα-

---

4. εἰ ἐθέλοι. [Sic Be. e Clark. et al. pro vulg. εἰ ἐθέλει.] δόξει σοι ἀπρόσωπος εἶναι adeo totius te corporis forma delectabit, ut prae illa vultus ne animadversione quidem dignus videatur. Sumpsit hinc sua Aristaenet. Ep. I. 3. p. 9. ἤτις καὶ ὑπερφυῶς εὐπρόσωπος οὖσα ὅμως, ὅταν ἀπεκδύηται, δι' ὑπερβολὴν τῶν ἔνδον ἀπρόσωπος εἶναι δοκεῖ, venustam hanc sententiam idem imitando prorsus pervertens Ep. I. 1. p. 3. Ἐνδεδυμένη μὲν εὐπροσωποτάτη ἐστίν· ἐκδῦσα δὲ ὅλη πρόσωπον φαίνεται.

4. εἰ ἔτι — τυγχάνει. [In his Be. e duob. opt. rescripsit ἓν δὴ μόνον. Indicativum autem hic et in proximis e codd. omn. nos cum illo restituimus. Vulgo male bis τυγχάνοι.]

§. 5. Ἀλλ', ἔφη, — καὶ ταῦτα i. e. τὴν ψυχήν. Ita Parmenid. p. 127. b. dicitur Parmenides καλός τε καὶ ἀγαθὸς τὴν ὄψιν. Conf. Euthyd. p. 4. Tum Τί οὖν — οὐκ ἀπεδύσαμεν verte quin nudamus? Protag. p. 310. a. Τί οὖν οὐ διηγήσω ἡμῖν τὴν ξυνουσίαν; ubi perperam Stephanus corrigit διηγήσαιο: atque hoc restituendum in Sympos. p. 173. b. ubi legitur Τί οὖν, ἔφη, οὐ διηγεῖ σύ μοι. Cod. Reg. διηγήσῃ μοι. Sed usum hunc, in Platone ubivis obvium,

σάμεθα πρότερον τοῦ εἴδους; Πάντως γάρ που τηλικοῦτος ὢν ἤδη ἐθέλει διαλέγεσθαι. Καὶ πάνυ γε, ἔφη ὁ Κριτίας· ἐπεί τοι καί ἐστι φιλόσοφός τε καὶ, ὡς δοκεῖ ἄλλοις τε καὶ ἑαυτῷ, πάνυ ποιητικός. p. 155 a. Τοῦτο μέν, ἦν δ' ἐγώ, ὦ φίλε Κριτία, πόρρωθεν ὑμῖν τὸ καλὸν ὑπάρχει ἀπὸ τῆς Σόλωνος συγγενείας. Ἀλλὰ τί οὐκ ἐπέδειξάς μοι τὸν νεανίαν καλέσας δεῦρο; Οὐδέ γὰρ ἄν που, εἰ ἐτύγχανε νεώτερος ὤν, αἰσχρὸν ἂν ἦν αὐτῷ διαλέγεσθαι ἡμῖν, ἐναντίον γε σοῦ ἐπιτρόπου τε ἅμα καὶ ἀνεψιοῦ ὄντος. Ἀλλὰ 6. καλῶς, ἔφη, λέγεις, καὶ καλοῦμεν αὐτόν. Καὶ ἅμα πρὸς τὸν ἀκόλουθον, Παῖ, ἔφη, κάλει Χαρ- b. μίδην εἰπὼν ὅτι βούλομαι αὐτὸν ἰατρῷ συστῆσαι περὶ τῆς ἀσθενείας, ἧς πρώην πρός με ἔλεγεν ὅτι ἀσθενοῖ. Πρὸς οὖν ἐμὲ ὁ Κριτίας, Ἔναγχός τι

---

exemplis illustravit nuper Schneiderus ad Xenoph. Mem. III, 11, 15. *Πάντως γάρ που — ἐθέλει διαλέγεσθαι.* „*Omnino iam disputare volet*," Cornarius. Bene, si scriptum esset *ἐθελήσει* s. *ἐθέλοι ἄν*. Ego *ἐθέλει* positum accipiebam pro *μέλλει*, sive, ut Grammatici exponunt, *δύναται*, de quo vid. Gregor. Corinth. p. 56. ibique Koen. Sed vere, opinor, monet Buttmannus *ἐθέλειν* hoc significatu adhiberi nonnisi de rebus inanimis. Igitur sic potius nunc explico haec, „lubenter et cum *προθυμία* quadam disputat", *θέλων διαλέγεται*, ut alias dicunt Graeci. Vid. Markland. ad Lysiam Reisk. p. 616. [Gramm. §. 150. p. 442. In seqq. Be. e Clark. et duobus aliis *φιλόσοφός τε καὶ* — pro vulg. *γε*.]

§. 6. *καὶ καλοῦμεν αὐτὸν — vocabimus eum;* nisi praestet *καλῶμεν*. Deinde *ἀκολούθον* nomine proprie dicitur unus ille puer, qui honoris causa dominum solebat in publico comitari. V. Casaub. ad Theophr. C. 11. et Perizon. ad Aelian. XIV, 14. — In seqq. *ἀσθενοῖ* reposui pro *ἀσθενεῖ* sermonis lege. [Et sic Be. opt. et pl.] *Ἔναγχός τι* —

ἔφη βαρύνεσθαί τι τὴν κεφαλὴν, ἔωθεν ἀνιστάμενος. Ἀλλὰ τί σε κωλύει προσποιήσασθαι πρὸς αὐτὸν ἐπίστασθαί τι κεφαλῆς φάρμακον; Οὐδέν, ἦν δ' ἐγὼ, μόνον ἐλθέτω. Ἀλλ' ἥξει, ἔφη· ὅπερ οὖν καὶ ἐγένετο. Ἦκε γὰρ καὶ ἐποίησε γέλωτα πολύν.
c. Ἕκαστος γὰρ ἡμῶν τῶν καθημένων ξυγχωρῶν τὸν πλησίον ὤθει σπουδῇ, ἵνα παρ' αὐτῷ καθέζοιτο, ἕως τῶν ἐπ' ἐσχάτῳ καθημένων τὸν μὲν ἀνεστήσαμεν, τὸν δὲ πλάγιον κατεβάλομεν. Ὁ δ' ἐλθὼν μεταξὺ
7. ἐμοῦ τε καὶ τοῦ Κριτίου ἐκαθέζετο. Ἐνταῦθα μέντοι, ὦ φίλε, ἐγὼ ἤδη ἠπόρουν, καί μου ἡ πρόσθεν θρασύτης ἐξεκέκοπτο, ἣν εἶχον ἐγὼ ὡς πάνυ ῥᾳδίως αὐτῷ διαλεξόμενος. Ἐπειδὴ δὲ φράσαντος τοῦ Κριτίου, ὅτι ἐγὼ εἴην ὁ τὸ φάρμακον ἐπιστά-
d. μενος, ἐνέβλεψέ τέ μοι τοῖς ὀφθαλμοῖς ἀμήχανόν τι οἷον, καὶ ἀνήγετο ὡς ἐρωτήσων, καὶ οἱ ἐν τῇ πα-

---

κεφαλήν. Quamquam non desunt iterati in eodem commate pronominis *τι* exempla, conf. Phaedr. §. 43., hic tamen alterum traxerim ad *ἔναγχος*, veluti redundat in *νεωστὶ*, alterum ad *βαρύνεσθαι*. [Loco prioris tamen Be. *τοι* ex optimis suis, et sic itidem in Phaedro.]

§. 7. *ἐξεκέκοπτο.* Al. *ἐξεκόπτετο* teste Steph. Minus significanter. [Pro *πρώην* autem ex opt. et pl. Bekkeri reposuimus *πρόσθεν*. *ἐνέβλεψε.* Sic Be. e suis; vulgata *ἀνέβλ·* in solis Par. EF inventa.] *ἀμήχανόν τι οἷον.* Recte Cornar. *inexplicabili (inenarrabili) quodam modo.* Ἀμήχανον. Suid. *ὑπὲρ λόγον.* de rep. X. p. 615. a. *φέαι ἀμήχανοι τὸ κάλλος.* Et sic sexcenties *ἀμηχάνως ὡς εὖ, ἀμήχανον ὅσον.* Illo *ἀνήγετο* impetus quidam dicturi significatur, in quo metaphora ducta est e re nautica. Vid. Hemsterhus. ad Lucian. Nigrin. §. 8. — *Κύκλῳ κομιδῇ*, ut plenus fieret circulus, exitu nusquam patente.

λαίστρᾳ ἅπαντες περιέῤῥεον ἡμᾶς κύκλῳ κομιδῇ· τότε δὴ, ὦ γεννάδα, εἶδόν τε τὰ ἐντὸς τοῦ ἱματίου καὶ ἐφλεγόμην καὶ οὐκέτ᾽ ἐν ἐμαυτῷ ἦν, καὶ ἐνόμισα σοφώτατον εἶναι τὸν Κυδίαν τὰ ἐρωτικὰ, ὃς εἶπεν,

---

7. *οὐκετ᾽ ἐν ἐμαυτῷ ἦν* — ut dicunt *εἰς ἑαυτὸν ἐλθεῖν* et *ἑαυτοῦ γενέσθαι*: vid. Valcken. not. ad Oratt. Hemst. et Valck. p. 383. Nihili facio duplicem, quam h. l. Schol. Plat. p. 90. exhibet, scripturam *ἐπ᾽ ἐμαυτοῦ ἦν* et *ἐν ἑαυτῷ ἦν*. [Be. tamen e suis omnibus, praeter paucos qui dant *ἐπ᾽ ἐμαυτοῦ*, reposuit *ἐν ἐμαυτοῦ*: merito, opinor: nam quae scripsi ad Soph. Philoct. 950 retractanda videntur. Vulgatam tamen hic, quae fluxit ex Aldina, nondum ausus sum proscribere. Cf. Herm. ad loc. Sophoclis. *Buttm.*]

7. *Κυδίαν*. [Hoc nomen, loco ejus quod ex Aldina edd. omnes invaserat, *Κριτίαν*, Be. luci primus vindicavit inventum in codd. omnibus praeter unum recentissimum. Ipsius autem poetae notitiam Godofredo Bernhardy debeo indicanti locos, Plutarchi de Facie in O. L. c. 18. ubi cum Mimnermo et Archilocho memoratur Cydias, et Schol. Aristoph. Nub. 966. ubi e cantilena *Κυδίδου τοῦ Ἑρμιονέως κιθαρῳδοῦ* apponitur fragmentum hoc, *τηλέπορόν τι βόαμα λύρας*. Verior autem videtur illa nominis forma quam Platonis et Plutarchi libri praebent, maxime cum alibi etiam Cydiae nomen frequentatum inveniatur. Vid. Schweigh. ad Ath. 13. p. 569. a. et Paus. 10, 21. *Buttm.*]

7. *ὃς εἶπεν, ἐπὶ τοῦ καλοῦ* — i. e. *de puero quodam pulchro dicens*. Nam *ἐπὶ* ne quis h. l. pro *coram* accipiat, illa quoque vi non raro adhibetur: de legg. VII. p. 793. e. *Ὅπερ ἐπὶ τῶν δούλων γε ἐλέγομεν —, ταὐτὸν δραστέον τοῦτό γε καὶ ἐπ᾽ ἐλευθέροισιν*. Articulum autem Graeci frequenter usurpant, ubi ex aliarum linguarum ratione pronomen potius *τὶς*, *quidam*, exspectes. Phaedr. §. 4. *ἀπαντήσας δὲ τῷ νοσοῦντι, aegroto cuidam*. de rep. VII. p. 524. e. *Εἰ ἀεί τι αὐτῷ ἅμα ὁρᾶται ἐναντίωμα — τοῦ ἐπικρινοῦντος δὴ δέοι ἂν ἤδη*: unde in Lachete p. 184. d. *Καὶ γὰρ ὥσπερ ἐπὶ τοῦ διακρινοῦντος δοκεῖ μοι δεῖν ἡμῖν ἡ βουλὴ*, corrigo *ἔτι τοῦ διακ.* de legg. VI. p. 753. a. *Πείσαντες ἢ τῇ μετρίᾳ δυνάμει βιασάμενοι*. de rep. I. p. 329. e. *Ἀλλὰ τὸ τοῦ Θεμιστοκλέους εὖ ἔχει,*

ἐπὶ τοῦ καλοῦ λέγων παιδὸς, ἄλλῳ ὑποτιθέμενος, εὐλαβεῖσθαι μὴ κατέναντι λέοντος νεβρὸν ἐλθόντα μοῖραν αἱρεῖσθαι κρεῶν. Αὐτὸς γάρ μοι ἐδόκουν ὑπὸ τοῦ τοιούτου θρέμματος ἁλωκέναι. Ὅμως δὲ
e. αὐτοῦ ἐρωτήσαντος, εἰ ἐπισταίμην τὸ τῆς κεφαλῆς φάρμακον, μύγις πως ἀπεκρινάμην ὅτι ἐπισταίμην.

ὅς τῷ Σεριφίῳ — ἀπεκρίνατο — quod vertit Cicero de Senect. 3. *Seriphio cuidam.* Lycurg. in Leocrat. p. 195. ed. Reisk. *Προῃροῦντο ἀποθνήσκειν μᾶλλον ἢ ζῶντες ἑτέραν μεταλλάξαι τὴν χώραν*, ubi falso Reiskius correxit *τινά*. Themist. Or. I. p. 30. ed. Petav. *οὕτω γὰρ μάλιστα ἴοι καὶ οὐκ ἀμβλύνοιτο οὐδὲ ἀπολήγοι τοῦ ἔρωτος, ὅταν ἔχῃ τὸν ἐπαινοῦντα καὶ ἐπιβοῶντα — collaudantem aliquem et acclamantem.* [Neque Be. reprehendendus, qui suorum codd. tantum non omnium auctoritatem secutus *τοῦ* illud omisit, neque nos, qui elegantem et veram fortasse, quamquam u n o t a n t u m c o d i c e Par. E firmatam, lectionem loco movere veremur.] Mox *ἄλλῳ ὑποτιθέμενος* est *alium admonens.* Hipp. Mai. §. 13. *Μετὰ ταῦτα δὴ λέγων ἐστὶν ὁ Νέστωρ καὶ ὑποτιθέμενος αὐτῷ πάμπολλα νόμιμα καὶ πάγκαλα.* Sed hac potestate adeo frequentatur *ὑποτίθεσθαι*, ut Ficinum id fallere vix potuerit. Qui quum vertit, *sed similitudinem alterius rei subiiciens*, videtur legisse *ἄλλο*, neque id fortasse de nihilo. Nam meo quidem sensu frigoris aliquid hoc additamentum habet, *ἄλλῳ ὑποτιθέμενος*, neque *ἄλλῳ* pro *τινὶ* placet, et *ὑποτιθέμενος* parum est commodum pro *νουθετῶν* vel eiusmodi verbo. Contra *ἄλλο* bene opponeretur *τῷ καλῷ παιδί*, referreturque ad eam, quae statim post infertur, leonis imaginem, ut hoc diceret Socrates, *poetam re ipsa de pulchro puero locutum, verbis aliud dixisse.* Verum hoc utcunque existimabitur, illa *εὐλαβεῖσθαι — κρεῶν* sana prorsus sunt, neque lubet ridiculum exagitare Cornarii commentum, corrigentis *νεβροῦ ἐλθόντος*. Sententia autem haec est: *cavendum, ne (velut) hinnulus in leonis conspectum veniens in praedam cederet.* Nam *μοῖραν αἱρεῖσθαι κρεῶν* non dubito quin dici potuerit a poeta pro *capi lacerarique.* Neque haec aliter accepit Athenaeus V. p. 187. *Ποιεῖ (ὁ Πλάτων)*

Τί οὖν, ἦ δ' ὅς, ἐστί; Καὶ ἐγὼ εἶπον, ὅτι αὐτὸ 8.
μὲν εἴη φύλλον τι, ἐπῳδὴ δέ τις ἐπὶ τῷ φαρμάκῳ
εἴη, ἣν εἰ μέν τις ἐπᾴδοι ἅμα καὶ χρῷτο αὐτῷ, παν-
τάπασιν ὑγιᾶ ποιοῖ τὸ φάρμακον· ἄνευ δὲ τῆς ἐπῳ-
δῆς οὐδὲν ὄφελος εἴη τοῦ φύλλου. Καὶ ὅς, Ἀπογρά- p. 156.
ψομαι τοίνυν, ἔφη, παρὰ σοῦ τὴν ἐπῳδήν. Πότε- a.
ρον, ἦν δ' ἐγὼ, ἐάν με πείθῃς, ἢ κἂν μή; Γελά-
σας οὖν, Ἐάν σε πείθω, ἔφη, ὦ Σώκρατες. Εἶεν,
ἦν δ' ἐγώ· καὶ τοὔνομά μου σὺ ἀκριβοῖς; Εἰ μὴ
ἀδικῶ γε, ἔφη. Οὐ γάρ τί σου ὀλίγος λόγος ἐστὶν

αὐτὸν (τὸν Σωκρ.) ἀσυμφώνως ποτὲ μὲν σκοτοδινιῶντα καὶ με-
θυσκόμενον τῷ τοῦ παιδὸς ἔρωτι καὶ γινόμενον ἔξεδρον καὶ κα-
θάπερ νεβρὸν ὑποπεπτωκότα λέοντος ἀλκῇ· ἅμα δὲ καταφρονεῖν
φησι τῆς ὥρας αὐτοῦ. Ne quem autem ipsa verborum struc-
tura offendat εἶπεν ὑποτιθέμενος εὐλαβεῖσθαι, μὴ — νεβρὸν
ἐλθόντα — αἱρεῖσθαι pro vulgatiore illa εὐλαβεῖσθαι, μὴ νε-
βροὺς ἐλθὼν αἱρῆται: primum verbo εἶπεν inest notio iubendi;
deinde post εὐλαβεῖσθαι μὴ saepius infinitivus infertur. Eu-
thyd p. 304. a. εὐλαβήσεσθε μὴ πολλῶν ἐναντίον λέγειν. Pro-
tag. p. 315. b. εὐλαβοῦντο μηδέποτε ἐμποδὼν ἐν τῷ ἔμπροσθεν
εἶναι. Denique transposito illo ἐλθόντα integer exit sena-
rius, ἐλθόντα νεβρὸν μοῖραν αἱρεῖσθαι κρεῶν. Conferendum
autem adagium, Ὁ νεβρὸς τὸν λέοντα Luc. Dial. Mort. 8. init.,
ubi quae profert Hemsterhusius vera praestare non ausim.
[Pro κατέναντι Be. e maiore sane codd. parte κατέναντα re-
posuit; vulgatum dantibus nonnisi tribus, Par. EF, Ven. Ξ;
quibus tamen nescio an accensendi sint optimi quoque
Clark. et Vat. qui cum duobus aliis dant κατ' ἐναντία.
Buttm.]

§. 8. Εἰ μὴ ἀδικῶ γε. Formula est nondum, quod
sciam, animadversa pro vulgari δίκαιός εἰμι ἀκριβοῦν, Platoni
illa quidem frequenter usurpata: de rep. IV. p. 430. d. Εἰ
ἔμοιγε βούλει χαρίζεσθαι, σκόπει πρότερον τοῖτο ἐκείνου. Ἀλλὰ
μέντοι, ἦν δ' ἐγὼ, βούλομαί γε, ἦν μὴ ἀδικῶ. Ibid. X. p. 608.
d. σὺ δὲ τοῦτ' ἔχεις λέγειν; Εἰ μὴ ἀδικῶ γε, ἔφη. Οἶμαι δὲ

ἐν τοῖς ἡμετέροις ἡλικιώταις. Μέμνημαι δὲ ἔγωγε καὶ παῖς ὢν Κριτίᾳ τῷδε ξυνόντα σε. Καλῶς γε σὺ, ἦν δ' ἐγώ, ποιῶν. Μᾶλλον γάρ σοι παῤῥησιά-
b. σομαι περὶ τῆς ἐπῳδῆς, οἵα τυγχάνει οὖσα· ἄρτι δ' ἠπόρουν τίνι τρόπῳ σοι ἐνδειξαίμην τὴν δύναμιν αὐτῆς. Ἔστι γὰρ, ὦ Χαρμίδη, τοιαύτη οἵα μὴ δύνασθαι τὴν κεφαλὴν μόνον ὑγιᾶ ποιεῖν· ἀλλ' ὥσπερ ἴσως ἤδη καὶ σὺ ἀκήκοας τῶν ἀγαθῶν ἰατρῶν, ἐπειδάν τις αὐτοῖς προσέλθῃ τοὺς ὀφθαλμοὺς ἀλγῶν, λέγουσί που, ὅτι οὐχ οἷόντε αὐτοὺς μόνους ἐπιχειρεῖν τοὺς ὀφθαλμοὺς ἰᾶσθαι, ἀλλ' ἀναγκαῖον εἴη ἅμα καὶ τὴν κεφαλὴν θεραπεύειν, εἰ μέλλοι καὶ τὰ
c. τῶν ὀμμάτων εὖ ἕξειν· καὶ αὖ τὸ τὴν κεφαλὴν οἵε-

καὶ σύ. Οὐδὲν γὰρ χαλεπόν. p. 612. d. ἢ οὐ μνημονεύεις; Ἀδικοίην μέντ' ἄν, ἔφη, εἰ μή. Conf. Menexen. p. 236. b. Μέμνημαι δὲ ἔγωγε — ξυνόντα σε. Memini etiam, cum puer essem, te cum Critia hoc vixisse. Ita illa παῖς ὢν instar nominativi sunt absoluti; neque enim genitivo παιδὸς ἐμοῦ ὄντος uti licebat ob praegressum μέμνημαι. Quod monui, ne cui excidisse videatur ἰδεῖν vel eiusmodi infinitivus. Tum in frequentissima illa formula καλῶς — ποιῶν scripsi γε pro δέ. Cf. §. 22. Sympos. p. 174. e. Καλῶς γε, ἔφη, ποιῶν σύ. Hipp. Mai. §. 3. Καλῶς γε σὺ — νομίζων. et §. 53. Εὖ γε σὺ ποιῶν. Meno p. 73. e. Ὀρθῶς γε λέγων σύ. Ad seqq. ἀλλ' ὥσπερ ἴσως — infra demum §. 9., post interruptam sermocinatione orationis structuram, infertur apodosis τοιοῦτον τοίνυν ἐστί —.

8. οὐχ οἷόντε αὐτοὺς μόνους —. Αὐτοὺς ne quis trahat ad medicos, hoc quoque pertinet ad ὀφθαλμούς, ut interdum utraque vox coniungitur cum vi quadam. Lysias p. 576. ed. Reisk. δοκεῖ δέ μοι — ἐν μὲν τοῖς ἄλλοις ἀγῶσι περὶ αὐτῶν μόνων τῶν κατηγορημένων προσήκειν ἀπολογεῖσθαι. Et vid. Wolf. ad Demosth. Leptin. p. 303.

σθαι ἄν ποτε θεραπεῦσαι αὐτὴν ἐφ' ἑαυτῆς ἄνευ ὅλου τοῦ σώματος, πολλὴν ἄνοιαν εἶναι. Ἐκ δὴ τού- 9.
του τοῦ λόγου διαίταις ἐπὶ πᾶν τὸ σῶμα τρεπόμενοι μετὰ τοῦ ὅλου τὸ μέρος ἐπιχειροῦσι θεραπεύειν τε καὶ ἰᾶσθαι· ἢ οὐκ ἤσθησαι, ὅτι ταῦθ' οὕτω λέγουσί τε καὶ ἔχει; Πάνυ γε, ἔφη. Οὐκοῦν καλῶς σοι δοκεῖ λέγεσθαι, καὶ ἀποδέχει τὸν λόγον; Πάντων μάλιστα, ἔφη. Κἀγὼ ἀκούσας αὐτοῦ ἐπαινέσαντος ἀνεθάρρησά τε καί μοι κατὰ σμικρὸν πάλιν ἡ θρα- d.
σύτης ξυνηγείρετο καὶ ἀνεζωπυρούμην, καὶ εἶπον, Τοιοῦτον τοίνυν ἐστίν, ὦ Χαρμίδη, καὶ τὸ ταύτης τῆς ἐπῳδῆς. Ἔμαθον δ' αὐτὴν ἐγὼ ἐκεῖ ἐπὶ στρατείας παρά τινος τῶν Θρᾳκῶν τῶν Ζαλμόξιδος ἰατρῶν, οἳ λέγονται καὶ ἀπαθανατίζειν. Ἔλεγε δὲ ὁ

---

§. 9. *Τοιοῦτον τοίνυν* — Stob. Serm. XCIX. p. 548. *Τοιούτων*. Tum *τὸ ταύτης τ. ἐπ.* sine *καί*. Utrumque vitiosum. Sed idem *ἐπὶ στρατείας* pro vulgato *ἐπὶ στρατιᾶς*, improbante Ruhnken. ad Tim. Lex. p. 240. Mihi quidem Stobaei scriptura adeo placet, ut *ἐπὶ στρατιᾶς in exercitu*, pro *ἐν στρατιᾷ*, *ἐν στρατῷ*, an Graecum sit omnino, valde dubitem. Ita in Phaedro. §. 93. male vulgo legitur *οἴκοι τε κεκτῆσθαι καὶ ἐπὶ στρατιᾶς*, atque de rep. III. p. 404. b. *Οἶσθα γὰρ, ὅτι ἐπὶ στρατιᾶς ἐν ταῖς τῶν ἡρώων ἑστιάσεσιν οὔτε ἰχθύσιν αὐτοὺς ἑστιᾷ*, optime Ficinus *ἐπὶ στρατείας* expressit, *in belli expeditionibus*. — *Ζαλμόξιδος*. [Herodoteam hanc scripturam loco vulgatae *Ζαμόλξιδος* hic et in seqq. constanti consensu dant codd. optimi Clark. Vat. Ven. Σ. Conf. Alberti ad Hesych. in v. *Buttm.*]

9. *οἳ λέγονται καὶ ἀπαθανατίζειν*. Vocabulum *ἀπαθανατίζειν* Gronovius in Arrian. Exped. Alex. I, 3. p. 8. interpretatur *pro immortalibus consecrare*. Quam potestatem, quum Getae dicantur *ἀπαθανατίζοντες*, non admodum opportunam iudicans Wesseling. ad Diod. T. I. p. 105., ex He-

Θρᾷξ οὗτος, ὅτι ταῦτα μὲν ἰατροὶ οἱ Ἕλληνες, ἃ δὴ νῦν ἐγὼ ἔλεγον, καλῶς λέγοιεν· ἀλλὰ Ζάλμοξις,
e. ἔφη, λέγει ὁ ἡμέτερος βασιλεύς, θεὸς ὤν, ὅτι ὥσπερ ὀφθαλμοὺς ἄνευ κεφαλῆς οὐ δεῖ ἐπιχειρεῖν ἰᾶσθαι

---

rodoti de iisdem narratione IV, 94. colligit, esse eos *ex opinione, quam de animae immortalitate suscepissent*, ita appellatos, ut ap. Ioseph. XVIII. A. Iud. I. 5. Essenos dici ἀπαθανατίζοντας τὰς ψυχάς. Iosephi usum dicendi equidem hic nihil moror: quanquam longe aliud est ἀπαθανατίζειν τὰς ψυχάς, quam ἀπαθανατίζειν ita simpliciter positum: hoc autem loco si ἀπαθανατίζειν nihil est nisi *animorum immortalitatem statuere*, hanc medicorum illorum opinionem cur hic inculcaverit Plato, adeo non video, ut glossatoris potius manum agnoscendam putem. Immo hic opus est additamento, quo illorum augeatur ars et auctoritas. Nimirum quamvis quis possit ob suam de animorum immortalitate opinionem a Graecis dici ἀπαθανατίζειν usu exquisito raroque (vid. Kuster. ad Suid. v. Ζάμολξις), saepius tamen occurrunt apud antiquos Scythae Getaeve appellati proprio usu ἀπαθανατίζοντες s. ἀθανατίζοντες, quem si ad linguae analogiam exegeris, et hic et ceteris locis verbum hoc sonabit *immortales facere*, *immortalitatem tribuere*. Nam Herodotus quidem l. l. postquam scripsit de Getis his ita: ἀθανατίζουσι δὲ τόνδε τὸν τρόπον· οὔτε ἀποθνήσκειν ἑωυτοὺς νομίζουσι, εἶναί τε τὸν ἀπολλύμενον παρὰ Ζάλμοξιν δαίμονα, morem describit, quo interficiant atque ita *immortalitate donent* eos, quos nuntios velint mittere ad Zamolxin. Neque alia vi vocabulum adhibuit Lucian. Deor. Concil. §. 9. Ταιγαροῦν οἱ Σκύθαι καὶ οἱ Γέται ταῦτα ὁρῶντες αὐτῶν, μακρὰ ἡμῖν χαίρειν εἰπόντες, αὐτοὶ ἀπαθανατίζουσι καὶ θεοὺς χειροτονοῦσιν, οὓς ἂν ἐθελήσωσιν. — De Zamolxide vid. Valck. ad Herod. l. l.

9. ἰατροὶ οἱ Ἕλληνες. Stob. Οἱ Ἕλληνες ἰατροί. Melius sane, nisi forte legendum οἱ ἰατροὶ οἱ Ἕλληνες. — ἃ δὴ νῦν. Stob. νῦν δή [atque sic Be. e suis omnibus praeter Paris. EF]. Sed vid. Gorg. p. 448. a. [et ibi not.], de rep. III. p. 411. a. p. 414. b. et sic innumeris prope locis. οὐ δεῖ ἐπιχειρεῖν. Stob. οὐδεὶς ἐπιχειρεῖ. Post idem non rectius ὅτι τοῦ ἄλλου ἀμελοῖεν pro ὅτι τὸ ὅλον ἀγν.

οὐδὲ κεφαλὴν ἄνευ σώματος, οὕτως οὐδὲ σῶμα ἄνευ ψυχῆς, ἀλλὰ τοῦτο καὶ αἴτιον εἴη τοῦ διαφεύγειν τοὺς παρὰ τοῖς Ἕλλησιν ἰατροὺς τὰ πολλὰ νοσήματα, ὅτι τὸ ὅλον ἀγνοοῦεν οὗ δέοι τὴν ἐπιμέλειαν ποιεῖσθαι· οὗ μὴ καλῶς ἔχοντος, ἀδύνατον εἴη τὸ μέρος εὖ ἔχειν. Πάντα γὰρ ἔφη ἐκ τῆς ψυχῆς ὡρ- 10.
μῆσθαι καὶ τὰ κακὰ καὶ τὰ ἀγαθὰ τῷ σώματι καὶ παντὶ τῷ ἀνθρώπῳ, καὶ ἐκεῖθεν ἐπιῤῥεῖν, ὥσπερ ἐκ τῆς κεφαλῆς ἐπὶ τὰ ὄμματα· δεῖν οὖν ἐκεῖνο καὶ πρῶτον καὶ μάλιστα θεραπεύειν, εἰ μέλλει καὶ τὰ τῆς κεφαλῆς καὶ τὰ τοῦ ἄλλου σώματος καλῶς ἔχειν. Θεραπεύεσθαι δὲ τὴν ψυχὴν ἔφη, ὦ μακάριε, ἐπῳ- p. 157.
δαῖς τισι· τὰς δ' ἐπῳδὰς ταύτας τοὺς λόγους εἶναι τοὺς καλούς· ἐκ δὲ τῶν τοιούτων λόγων ἐν ταῖς ψυχαῖς σωφροσύνην ἐγγίγνεθαι, ἧς ἐγγενομένης καὶ παρούσης ῥᾴδιον ἤδη εἶναι τὴν ὑγίειαν καὶ τῇ κεφαλῇ καὶ τῷ ἄλλῳ σώματι πορίζειν. Διδάσκων οὖν με τό τε φάρμακον καὶ τὰς ἐπῳδάς, Ὅπως, ἔφη, τῷ φαρ- b.
μάκῳ τούτῳ μηδείς σε πείσει τὴν αὐτοῦ κεφαλὴν θε-
ραπεύειν, ὃς ἂν μὴ τὴν ψυχὴν πρῶτον παράσχῃ τῇ

---

§. 10. καὶ τὰ κακὰ καὶ τὰ ἀγαθὰ — Stob. inverso ordine καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ, suffragante Ficino. τὰ τοῦ ὅλου σῶμ. Stob. τὰ τοῦ ἄλλου, ut mox καὶ τῇ κεφαλῇ καὶ τῷ ἄλλῳ σώματι. Sed vulgatum aeque est commodum. [Tamen accedentibus nunc Codd. Clark. Vat. et Par. G, cum Be. reposuimus ἄλλου.] Ad illa τὰς δ' ἐπῳδὰς ταύτας τοὺς λόγους εἶναι facile succurrunt nobilissimi illi Horatii versus Ep. I, 1, 34. Conf. Gatak. Misc. p. 478. Ὅπως, ἔφη — μηδείς σε πείσει. Vulgo πείσῃ. Vid. ad Lysid. §. 7.

ἐπῳδῇ ὑπὸ σοῦ θεραπευθῆναι. Καὶ γὰρ νῦν, ἔφη, τοῦτ' ἔστι τὸ ἁμάρτημα περὶ τοὺς ἀνθρώπους, ὅτι χωρὶς ἑκατέρου, σωφροσύνης τε καὶ ὑγιείας, ἰατροί τινες
11. ἐπιχειροῦσιν εἶναι. Καί μοι πάνυ σφόδρα ἐνετέλλετο, μήτε πλούσιον οὕτω μηδένα εἶναι μήτε γενναῖον μήτε
c. καλόν, ὃς ἐμὲ πείσει ἄλλως ποιεῖν. Ἐγὼ οὖν, ὁμώμοκα γὰρ αὐτῷ καί μοι ἀνάγκη πείθεσθαι, πείσομαι οὖν, καὶ σοί, ἐὰν μὲν βούλῃ κατὰ τὰς τοῦ ξένου ἐντολὰς τὴν ψυχὴν πρῶτον παρασχεῖν ἐπᾷσαι ταῖς τοῦ

---

10. *Καὶ γὰρ νῦν — ἐπιχειροῦσιν εἶναι. Περὶ τοὺς ἀνθρώπους, in vita.* Xenoph. Mem. IV, 6, 6. *Οἱ τὰ περὶ τοὺς ἀνθρώπους νόμιμα εἰδότες.* Vertit haec verba Cornarius sic: *Etenim nunc, inquit, hoc peccatum apud homines est, quod sine utraque, et temperantia et sanitate, quidam se pro medicis gerunt.* Enimvero ipsis medicis utroque opus esse Plato non dicit, sed utriusque rei, et temperantiae et sanitatis, curam ab iis in medendo adhiberi vult. Quod Ficinus intelligens, opinor, sensum ita declaravit: *quod plerique, absque temperantiae sanitatisque studio, medici esse contendunt.* Bene, si scriptum repperisset *χωρὶς ἐπιμελείας ἑκατέρου, σωφρ. τε καὶ ὑγ.* Nunc aut ipse Plato minus accurate et clare, quod voluit, expressisse putandus est, aut locus hic vitium traxisse, cuius tamen medela probabilis non occurrit. An verba *σωφρ. τε καὶ* pro glossemate habenda? Id dudum suspicatus sum: quanquam illud *τε* ante *καὶ* glossatoris vix puto.

§. 11. *ὃς ἐμὲ πείσει.* Immo *πείσοι.* Mox in his *Ἐγὼ οὖν — πείσομαι οὖν*, vulgatam interpunctionem ita mutavi, ut verba *ὁμώμοκα — πείθεσθαι* per parenthesin interiecta habeantur, alterumque *οὖν* orationem redordiatur more vulgari (v. ad Lysid. fin.). Atque par est ratio frequentatae illius structurae Euthyphr. p. 11. c. *νῦν δέ, σαὶ γὰρ αἱ ὑποθέσεις εἰσὶν, ἄλλου δή τινος δεῖ σκώμματος.* Amat. p. 132. b. *Κἀγώ, καθήμην γὰρ παρὰ τὸν ἐραστὴν τοῦ ἑτέρου αὐτοῖν, κινήσας οὖν αὐτὸν ἠρόμην* —: quem locum Hemst. male inter exempla particulae *γὰρ* ab initio remotae rettulit ad Luc. Dial. Mort. 25, 1. *καὶ σοὶ ἐὰν* — [Sic Be. ex optimis. Vulgo *καὶ σύ.*] *παρασχεῖν ἐπᾷσαι.* Bas. 2. *ἀπάσαις*

Θρᾳκὸς ἐπῳδαῖς, προσοίσω τὸ φάρμακον τῇ κεφαλῇ· εἰ δὲ μὴ, οὐκ ἂν ἔχοιμεν ὅ,τι ποιοῖμέν σοι, ὦ φίλε Χαρμίδη. Ἀκούσας οὖν μου ὁ Κριτίας ταῦτ' εἰπόντος, Ἕρμαιον, ἔφη, ὦ Σώκρατες, γεγονὸς ἂν εἴη ἡ τῆς κεφαλῆς ἀσθένεια τῷ νεανίσκῳ, εἰ ἀναγκασθήσεται καὶ τὴν διάνοιαν διὰ τὴν κεφαλὴν βελτίων γενέσθαι. Λέγω μέντοι σοι, ὅτι Χαρμίδης τῶν d. ἡλικιωτῶν οὐ μόνον τῇ ἰδέᾳ ἐδόκει διαφέρειν, ἀλλὰ καὶ αὐτῷ τούτῳ οὗ σὺ φῂς τὴν ἐπῳδὴν ἔχειν· φῂς δὲ σωφροσύνης· ἦ γάρ; Πάνυ γε, ἦν δ' ἐγώ. Εὖ τοίνυν ἴσθι, ἔφη, ὅτι πάνυ πολὺ δοκεῖ σωφρονέστατος εἶναι τῶν νυνὶ, καὶ τἆλλα πάντα, εἰς ὅσον ἡλικίας ἥκει, οὐδενὸς χείρων ὤν. Καὶ γὰρ, ἦν δ' ἐγὼ, καὶ 12. δίκαιον, ὦ Χαρμίδη, διαφέρειν σε τῶν ἄλλων πᾶσι τοῖς τοιούτοις. Οὐ γὰρ οἶμαι ἄλλον οὐδένα τῶν e. ἐνθάδε ῥᾳδίως ἂν ἔχειν ἐπιδεῖξαι, ποίαι δύο οἰκίαι

---

pro ἐπᾷσαι, et sic Ficinus: *incantationibus omnibus — subiicere*, quod non nauci faciendum.

11. Ἕρμαιον, ἔφη — *In lucro ponere debebit puer hic capitis morbum, si futurum est, ut per occasionem sanandi capitis etiam mens sanetur.* Sic optime haec declaravit Casaub. ad Theophr. Char. C. XI. p. 143. Conf. Ruhnken. ad Tim. Lex. p. 121. Διάνοια saepe ita *corpori* opponitur pro ψυχή: vid. ad Phaedr. §. 34. In seqq. autem. οὐ μόνον τῇ ἰδέᾳ ἐδόκει διαφέρειν praeteritum ἐδόκει offendit. Recte, opinor, praesens δοκεῖ [quod et praebet Cod. Ambros. 1.] expressit Cornarius: *non solum specie aequalibus suis praestare videtur:* atque ita mox infertur δοκεῖ σωφρονέστατος εἶναι.

§. 12. Οὐ γὰρ οἶμαι ἄλλον οὐδένα — Verbo ἄλλον, a Ficino non expresso, facile careas, quo omisso nihil ad plenum hunc sensum deerit: *Neque enim puto, Atheniensium quemquam facile posse duarum Athenis domuum societatem*

συνελθοῦσαι εἰς ταὐτὸν τῶν Ἀθήνησιν ἐκ τῶν εἰκότων καλλίω ἂν καὶ ἀμείνω γεννήσειαν, ἢ ἐξ ὧν σὺ γέγονας. Ἥ τε γὰρ πατρῴα ὑμῖν οἰκία ἡ Κριτίου τοῦ Δρωπίδου καὶ ὑπ' Ἀνακρέοντος καὶ ὑπὸ Σόλωνος καὶ ὑπ' ἄλλων πολλῶν ποιητῶν ἐγκεκωμιασμένη
p. 158. a. παραδέδοται ἡμῖν ὡς διαφέρουσα κάλλει τε καὶ ἀρετῇ καὶ τῇ ἄλλῃ λεγομένῃ εὐδαιμονίᾳ· καὶ αὖ ἡ πρὸς μητρὸς ὡσαύτως· Πυριλάμπους γάρ, τοῦ σοῦ θείου, οὐδεὶς τῶν ἐν τῇ ἠπείρῳ λέγεται καλλίων καὶ μείζων ἀνὴρ δόξαι εἶναι, ὁσάκις ἐκεῖνος ἢ παρὰ μέγαν βασιλέα ἢ παρὰ ἄλλον τινὰ τῶν ἐν τῇ ἠπείρῳ πρεσβεύων ἀφίκετο. Σύμπασα δὲ αὕτη ἡ οἰκία οὐδὲν τῆς ἑτέρας ὑποδεεστέρα. Ἐκ δὴ τοιούτων γεγονότα εἰκός σε εἰς πάντα πρῶτον εἶναι. Τὰ μὲν οὖν ὁρώ-
b. μενα τῆς ἰδέας, ὦ φίλε παῖ Γλαύκωνος, δοκεῖς μοι οὐδένα τῶν προγόνων καταισχύνειν· εἰ δὲ δὴ καὶ πρὸς

---

monstrare, ex quâ vero simile sit pulchriorem praestantioremque prolem nasci, quam ex qua tu sis natus. Nimirum Plato quum ita fere esset scripturus, *neque enim alium puto hic quemquam facile posse ostendere tantam generis sui utrimque praestantiam*, eam sententiam paullulum inflexit.

12. Ἥ τε γὰρ πατρῴα ὑμῖν — ὑμῖν pro ἡμῶν, usu pervulgato. Vid. Wolf. ad Demosth. Lept. p. 247. Mox de *Dropide* vid. Meurs. de Arch. Ath. I. 13. Conf. Plat. Tim. p. 20. d. et Procl. in Tim. p. 25. A *Pyrilampe* autem hoc, Charmidis avunculo, non diversus videtur is, quem memorat in Parmenide p. 126. b., pater Antiphontis, fratris ex matre Perictione Glauconis et Adimanti, Perictiones ergo, Charmidis sororis, maritus. — τοῦ σοῦ θείου. [Sic Be. e codd. Coisl. et Ambr. Vulgo τοῦδε, σοῦ δὲ θ.] — ἐν τῇ ἠπείρῳ, *in Asia minori*. Vid. Morus ad Isocrat. Paneg. c. 36. In seqq. Σύμπασα δὲ — ὑποδεεστέρα luce clarius est, illud αὕτη referri ad *maternum* genus, τῆς ἑτέρας ad *paternum*, in quo

σωφροσύνην καὶ πρὸς τἆλλα κατὰ τὸν τοῦδε λόγον ἱκανῶς πέφυκας, μακάριόν σε, ἦν δ' ἐγὼ, ὦ φίλε Χαρμίδη, ἡ μήτηρ ἔτικτεν. Ἔχει δ' οὖν οὕτως· 13. εἰ μέν σοι ἤδη πάρεστιν ὃ λέγει Κριτίας ὅδε, σωφροσύνη, καὶ εἰ σώφρων ἱκανῶς, οὐδὲν ἔτι σοι ἔδει οὔτε τῶν Ζαλμόξιδος, οὔτε τῶν Ἀβάριδος τοῦ Ὑπερβορέου ἐπῳδῶν, ἀλλ' αὐτό σοι ἂν ἤδη δοτέον εἴη τὸ τῆς κεφαλῆς φάρμακον· εἰ δ' ἔτι τούτων ἐπιδεὴς εἶναι δο- c. κεῖς, ἐπαστέον πρὸ τῆς τοῦ φαρμάκου δόσεως. Αὐτὸς οὖν μοι εἰπέ, πότερον ὁμολογεῖς τῷδε καὶ φὴς ἱκανῶς ἤδη σωφροσύνης μετέχειν, ἢ ἐνδεὴς εἶναι. Ἀνερυθριάσας οὖν ὁ Χαρμίδης πρῶτον μὲν ἔτι καλλίων ἐφάνη, καὶ γὰρ τὸ αἰσχυντηλὸν αὐτοῦ τῇ ἡλικίᾳ ἔπρεψεν, ἔπειτα καὶ οὐκ ἀγεννῶς ἀπεκρίνατο. Εἶπε γὰρ, ὅτι οὐ ῥᾴδιον εἴη ἐν τῷ παρόντι οὔθ' ὁμολογεῖν οὔτε ἐξάρνῳ εἶναι τὰ ἐρωτώμενα. Ἐὰν μὲν γὰρ, ἦ d. δ' ὃς, μὴ φῶ εἶναι σώφρων, ἅμα μὲν ἄτοπον αὐτὸν καθ' ἑαυτοῦ τοιαῦτα λέγειν, ἅμα δὲ καὶ Κριτίαν τόνδε ψευδῆ ἐπιδείξω καὶ ἄλλους πολλοὺς, οἷς δοκῶ

---

tamen aberrarunt Ficinus et Serranus. *μάκαριόν σε — ἡ μήτηρ ἔτικτε.* Scita est haec Homericae simplicitatis imitatio. Conf. Odyss. γ, 95. ζ, 25. Il. δ, 399. et Wolf. praefat. ad prior. ed. Iliad. p. XLI.

§. 13. *ὃ λέγει Κρ.* [Be. e bonis aliquot *ὡς λ. Κρ.*] — *οὐδὲν ἔτι σοὶ ἔδει — ἔδει* ex trito Atticorum usu pro *δεῖ*, ut *ἐχρῆν, προσῆκεν*: vid. Dorvill. ad Charit. p. 670. Deinde de *Abaride* conf. Herodot. IV, 36. et Wernsdorf. ad Himer. p. 264. *Οὐκ ἀγεννῶς, nec ignobiliter.* Serran. Immo *non timide.* Gorg. p. 492. d. *Οὐκ ἀγεννῶς — ἐπεξέρχει τῷ λόγῳ παῤῥησιαζόμενος.* p. 521. a. *δίκαιος εἶ, ὥσπερ ἤρξω παῤῥησιάζεσθαι πρὸς ἐμὲ, διατελεῖν ἃ νοεῖς λέγων. Καὶ νῦν εὖ καὶ*

εἶναι σώφρων, ὡς ὁ τούτου λόγος· ἐὰν δ' αὖ φῶ καὶ ἐμαυτὸν ἐπαινῶ, ἴσως ἐπαχθὴς φανεῖται. Ὥστε
14. οὐκ ἔχω ὅ,τι σοι ἀποκρίνωμαι. Καὶ ἐγὼ εἶπον, ὅτι μοι εἰκότα φαίνει λέγειν, ὦ Χαρμίδη, καί μοι δοκεῖ, ἦν δ' ἐγὼ, κοινῇ ἂν εἶναι σκεπτέον, εἴτε κέκτησαι εἴτε μὴ, ὃ πυνθάνομαι, ἵνα μήτε σὺ ἀναγκάζῃ λέ-
e. γειν ἃ μὴ βούλει, μήτ' αὖ ἐγὼ ἀσκέπτως ἐπὶ τὴν ἰατρικὴν τρέπωμαι. Εἰ οὖν σοι φίλον, ἐθέλω σκοπεῖν μετὰ σοῦ· εἰ δὲ μή, ἐᾶν. Ἀλλὰ πάντων μάλιστα, ἔφη, φίλον· ὥστε τούτου γε ἕνεκα, ὅπη αὐτὸς οἴει βελτίω σκέψασθαι, ταύτῃ σκόπει. Τῇδε

γενναίως εἰπέ. Sed obvia sunt ubivis exempla. ὡς ὁ τούτου λόγος. Vid. §. 11. fin. Mox ἐπαχθὴς proprie de *molesta invidiosaque laude*. Phaedo p. 87. a. οὐκ ἀνατίθεμαι, μὴ οὐχὶ πάνυ χαριέντως καὶ, εἰ μὴ ἐπαχθές ἐστιν εἰπεῖν, πάνυ ἱκανῶς ἀποδεδεῖχθαι. de legg. III. p. 688. d. Λόγῳ μὲν τοίνυν σε, ὦ ξένε, ἐπαινεῖν ἐπαχθέστερον· ἔργῳ δὲ σφόδρα ἐπαινεσόμεθα. Demosth. pro Coron. p. 228. §. 4. εἰ πολλῷ βελτίω τούτου καὶ ἐκ βελτιόνων καὶ μηδενὸς τῶν μετρίων, ἵνα μηδὲν ἐπαχθὲς λέγω, χείρονα καὶ ἐμὲ καὶ τοὺς ἐμοὺς ὑπειλήφατε καὶ γιγνώσκετε —. Aeschin. de fals. leg. ed. Reisk. p. 225. πολὺς ἦν ἐν τοῖς ἐπαίνοις καὶ ἐπαχθής.

§. 14. καί μοι δοκεῖ — κοινῇ ἂν εἶναι — Vulgo κοινῇ εἴη ἂν εἶναι, in quibus infinitivum εἶναι Stephanus damnat. Sed verissime εἴη abiiciendum iudicavit Salvinius Misc. Observ. II, 2. p. 275., cuius erroris adeo in promptu est origo, ut textum corrigere non dubitarim. ὥστε τούτου γε ἕνεκα — int. τοῦ φίλον μοι εἶναι, *si nihil aliud spectas praeter meam* προθυμίαν. Politic. p. 304. a. Πείρας μὲν τοίνυν ἕνεκα φανερὸς ἔσται, *si nihil opus est nisi periculo*. Theaetet. p. 148. d. Προθυμίας μὲν ἕνεκεν φανεῖται. de rep. I. p. 337. d. ἀλλ' ἕνεκα ἀργυρίου, ὦ Θρασύμαχε, λέγε. Phaedo p. 85. b. ἀλλὰ τούτου γε ἕνεκα λέγειν τε χρὴ καὶ ἐρωτᾶν ὅ,τι ἂν βούλησθε, *hoc certe obstare non debet, quin dicatis interrogetisque, quidquid velitis*. Attigit hunc usum vocis ἕνεκα, apud

τοίνυν, ἔφην ἐγώ, δοκεῖ μοι βελτίστη εἶναι ἡ σκέψις περὶ αὐτοῦ· δῆλον γὰρ ὅτι, εἴ σοι πάρεστι σωφροσύνη, ἔχεις τι περὶ αὐτῆς δοξάζειν. Ἀνάγκη γάρ που p. 159. a. ἐνοῦσαν αὐτὴν, εἴπερ ἔνεστιν, αἴσθησίν τινα παρέχειν, ἐξ ἧς δόξα ἄν τίς σοι περὶ αὐτῆς εἴη, ὅ,τι ἐστὶ καὶ ὁποῖόν τι ἡ σωφροσύνη. Ἦ οὐκ οἴει; Ἔγωγε, ἔφη, οἶμαι. Οὐκοῦν τοῦτό γε, ἔφην, ὃ οἴει, ἐπειδήπερ ἑλληνίζειν ἐπίστασαι, κἂν εἴποις δήπου αὐτὸ ὅ,τι σοι φαίνεται; Ἴσως, ἔφη. Ἵνα τοίνυν τοπάσωμεν, εἴτε σοι ἔνεστιν εἴτε μὴ, εἰπέ, ἦν δ' ἐγὼ, τί φῂς εἶναι σωφροσύνην κατὰ τὴν σὴν δόξαν. Καὶ ὃς τὸ 15. μὲν πρῶτον ὤκνει τε καὶ οὐ πάνυ ἤθελεν ἀποκρίνασθαι· b. ἔπειτα μέντοι εἶπεν, ὅτι οἱ δοκοῦ σωφροσύνη εἶναι τὸ κοσμίως πάντα πράττειν, καὶ ἡσυχῇ ἔν τε ταῖς ὁδοῖς βαδίζειν καὶ διαλέγεσθαι, καὶ τἆλλα πάντα ὡσαύτως ποιεῖν. Καί μοι δοκεῖ, ἔφη, συλλήβδην ἡσυχιότης τις εἶναι ὃ ἐρωτᾷς. Ἆρ' οὖν, ἦν δ' ἐγὼ,

---

optimum quemque scriptorem pervulgatum, Valcken. ad Herodot. VI, 63. Statim post malim *βέλτιον* quam *βελτίω*.

14. *Οὐκοῦν τοῦτό γε ὃ οἴει* — Verborum paullulum traiectorum hic est ordo: *οὐκοῦν κἂν εἴποις δήπου ὅ,τι σοι φαίνεται τοῦτο ὃ οἴει* etc. *Ergo quod opinare, id, quoniam Graece loqui scis, etiam dicere possis quale tibi appareat.* Monuit hoc etiam Stephanus. Nam *αὐτὸ* illud, ob interruptam structuram abundanter illatum, ne tirones quidem offenderit; adeo a quovis fere scriptore frequentatur.

§. 15. *ὅτι οἱ δοκοῦ*. [Ita pro vulg. *δοκεῖ* Heind. olim: quam correctionem quamvis ipse postea ad Protag. 30. improbarit, retinuimus tamen cum Be., addicentibus codd. Cl. et Vat.]

15. *Ἆρ' οὖν — εὖ λέγεις*. [Vulgo *Ἆρ' οὖν*, quod Heindorfius olim pluribus hic tuebatur, cum Valckenario (ad

εὖ λέγεις. Φασί γέ τοι, ὦ Χαρμίδη, τοὺς ἡσυχίους
c. σώφρονας εἶναι. Ἴδωμεν δὴ εἴ τι λέγουσιν. Εἰπὲ
γάρ μοι, οὐ τῶν καλῶν μέντοι ἡ σωφροσύνη ἐστί;
Πάνυ γε, ἔφη. Πότερον οὖν κάλλιστον ἐν γραμ-
ματιστοῦ τὰ ὅμοια γράμματα γράφειν ταχὺ ἢ
ἡσυχῇ; Ταχύ. Τί δ' ἀναγιγνώσκειν; ταχέως ἢ βρα-
δέως; Ταχέως. Καὶ μὲν δὴ καὶ τὸ κιθαρίζειν τα-
χέως καὶ τὸ παλαίειν ὀξέως πολὺ κάλλιον τοῦ ἡσυχῇ

Hippol. p. 306.) ratus, *ἄρα, igitur*, a prosariis quoque scriptoribus interdum initio poni. Verum retractavit hoc idem in nota ad Protag. 27. monens ibi de interrogativo ἆρα vel ἆρ' οὖν etiam sensu citra interrogationem affirmativo saepe usurpato, quod docuerat jam ad Cratyl. 12. Videbat itaque scribendum esse nostro loco Ἆρ' οὖν, neque aliter Gorg. 10. et Euthyphr. p. 5. a. (ubi vid. Engelhardt.), item Xenoph. Cyrop. 4, 3, 8. (correctum hodie a Schneid.), quos locos cum vulgata scriptura Ἄρ' οὖν hic olim apposuerat Hdf. Unum adhuc moneo, differre tamen inter se Ἆρα et Ἆρ' οὐ in tali etiam qualis est in locis allatis contextu: quippe affirmativus utique est utriusque formulae sensus, sed ita ut simplex ἆρα aliquid sive verae sive fictae dubitationis admisceat. *Buttm.*] Ἴδωμεν δή, *sed videamus.* Ficin. Ac praestat sane δέ. Deinde in his οὐ τῶν καλῶν μέντοι, ne cui placeat μέν τι, supplendum ἔν τι: v. Wolf. ad Demosth. Lept. 2, 2. [Be. tamen contra libros μέν τι edidit. Mihi sanum si quidquam videtur illud οὐ—μέντοι. Affirmationem quae est in interrogatione negativa roborat particula μέντοι, plane ut in Phaedr. 96. οὐκ ἀντιλέγουσι μέντοι; ἢ τί φήσομεν; Τοῦτ' αὐτό. *Buttm.*]

15. Πότερον οὖν κάλλιστον ἐν γραμματιστοῦ — Ex sequentibus verbis reponendum κάλλιον Stephanus censuit. Melius utique hoc: quanquam κάλλιστον ferri posse videtur ex rariore illa Graecorum consuetudine, de qua monuit Wesseling. ad Herodot. VII, 16. p. 577. Mox τὰ ὅμοια γράμματα de litteris dictum accipio, *quae similes sint exemplaribus a grammatista traditis.* κάλλιον τοῦ ἡσυχῇ. [Be. ex opti-

τε καὶ βραδέως; Ναί. Τί δαί; πυκτεύειν τε καὶ παγκρατιάζειν οὐχ ὡσαύτως; Πάνυ γε. Θεῖν δὲ καὶ ἄλλεσθαι καὶ τὰ τοῦ σώματος ἅπαντα ἔργα, οὐ τὰ μὲν ὀξέως καὶ ταχὺ γιγνόμενα τὰ τοῦ καλοῦ ἐστι, d.
τὰ δὲ βραδέως μόγις τε καὶ ἡσυχῇ τὰ τοῦ αἰσχροῦ; Φαίνεται. Φαίνεται ἄρα ἡμῖν, ἔφην ἐγώ, κατά γε 16.
τὸ σῶμα, οὐ τὸ ἡσύχιον ἀλλὰ τὸ τάχιστον καὶ ὀξύτατον κάλλιστον ὄν· ἢ γάρ; Πάνυ γε. Ἡ δέ γε σωφροσύνη καλόν τι ἦν; Ναί. Οὐ τοίνυν κατά γε τὸ σῶμα ἡ ἡσυχιότης ἂν ἀλλ' ἡ ταχυτὴς σωφρονέστερον εἴη, ἐπειδὴ καλὸν ἡ σωφροσύνη. Ἔοικεν, ἔφη. Τί δαί; ἦν δ' ἐγώ, εὐμαθία κάλλιον ἢ δυσμαθία; Εὐμαθία. Ἔστι δέ γ', ἔφην, ἡ μὲν εὐμαθία e.
ταχέως μανθάνειν, ἡ δὲ δυσμαθία ἡσυχῇ καὶ βραδέως; Ναί. Διδάσκειν δὲ ἄλλον οὐ ταχέως κάλλιον καὶ σφόδρα μᾶλλον ἢ ἡσυχῇ τε καὶ βραδέως; Ναί. Τί δαί; ἀναμιμνήσκεσθαι καὶ μεμνῆσθαι ἡσυχῇ τε καὶ βραδέως κάλλιον ἢ σφόδρα καὶ ταχέως; Σφόδρ',

---

mis *κ. που ἢ ἡσυχῇ.*] *τὰ δὲ βραδέως μόγις τε καὶ ἡσυχῇ.* In his vellem abesset alterutrum, aut *βραδέως* aut *μόγις*, ut concinnior fieret oratio, neque video, cur h. l. verba adeo cumulaverit. Ita paullo ante *ἡσυχῇ τε καὶ βραδέως*, idque ter usurpatum §. seq., unde fortasse olim *βραδέως* glossematis loco *τῷ μόγις* adscriptum in textum irrepsit.

§. 16. *Διδάσκειν δὲ — ταχέως καὶ κάλλιον.* Aegre abstinui, quin textu exturbarem importunum illud *καὶ* ante *κάλλιον*, natum sine dubio ex proxima syllaba: quo ejecto, haec erit verborum structura: *Οὐ κάλλιον μᾶλλον διδάσκειν ἄλλον ταχέως καὶ σφόδρα ἢ ἡσυχῇ τε καὶ βραδέως*; quibus accurate respondent illa statim sequentia *Τί δαί; ἀναμιμνήσκεσθαι καὶ μεμνῆσθαι — ταχέως*; Nam *μᾶλλον* comparativo ita post verba

p. 160. a. ἔφη, καὶ ταχέως. Ἡ δ' ἀγχίνοια οὐχὶ ὀξύτης τίς ἐστι τῆς ψυχῆς, ἀλλ' οὐχὶ ἡσυχία; Ἀληθῆ. Οὐκοῦν καὶ τὸ ξυνιέναι τὰ λεγόμενα, καὶ ἐν γραμματιστοῦ καὶ κιθαριστοῦ καὶ ἄλλοθι πανταχοῦ, οὐχ ὡς ἡσυχαίτατα ἀλλ' ὡς τάχιστά ἐστι καὶ κάλλιστα; Ναί. Ἀλλὰ μὴν ἔν γε ταῖς ζητήσεσι τῆς ψυχῆς καὶ τῷ βουλεύεσθαι οὐχ ὁ ἡσυχώτατος, ὡς ἐγὼ οἶμαι, καὶ μόλις βουλευόμενός τε καὶ ἀνευρίσκων ἐπαίνου δοκεῖ ἄξιος εἶναι, ἀλλ' ὁ ῥᾷστά τε καὶ τάχιστα τοῦτο δρῶν.

b. 17. Ἔστι ταῦτα, ἔφη. Οὐκοῦν πάντα, ἦν δ' ἐγὼ, ὦ Χαρμίδη, ἡμῖν καὶ τὰ περὶ τὴν ψυχὴν καὶ τὰ περὶ τὸ σῶμα, τὰ τοῦ τάχους τε καὶ τῆς ὀξύτητος καλλίω φαίνεται ἢ τὰ τῆς βραδυτῆτός τε καὶ ἡσυχιότητος. Κινδυνεύει, ἔφη. Οὐκ ἄρα ἡσυχιότης τις ἡ σωφροσύνη ἂν εἴη, οὐδ' ἡσύχιος ὁ σώφρων βίος, ἔκ γε τούτου τοῦ λόγου, ἐπειδὴ καλὸν αὐτὸν δεῖ εἶναι, c. σώφρονα ὄντα. Δυοῖν γὰρ δὴ τὰ ἕτερα, ἢ οὐδαμοῦ

---

aliquot additum occurrit ubivis. Conf. Bergl. ad Alciphr. p. 228. [Cum similitudo syllabarum ad intrudendas eas et ad omittendas aeque valeat, nos hic, ubi res clara, καὶ cum Be. delevimus; paullo post autem in his ἐστὶ καὶ κάλλιστα ut in re dubia eandem voculam intactam reliquimus, quamquam exigua utrumque codd. auctoritate.]

16. ἀλλ' ὁ ῥᾷστά τε καὶ τάχιστα τοῦτο δρῶν. Verba τοῦτο δρῶν, quae sensu integro abesse possint, sunt illa ex communi utriusque linguae usu addita. De rep. IV. p. 436. d. Οὐκοῦν καὶ εἰ ἔτι μᾶλλον χαριεντίζοιτο ὁ ταῦτα λέγων, κομψευόμενος, ὡς οἵγε στρόβιλοι ὅλοι ἑστᾶσί τε ἅμα καὶ κινοῦνται — ἢ καὶ ἄλλο τι κύκλῳ περιὸν ἐν τῇ αὐτῇ ἕδρᾳ τοῦτο δρᾷ, οὐκ ἂν ἀποδεχοίμεθα —. Xenoph. Cyrop. II, 2, 6. οὕτω δὴ καὶ ἐγὼ ὥσπερ καὶ οἱ ἄλλοι ἐποίουν, ἐλθὼν ἐδίδασκον ἕνα λόγον. De Latinis vid. Heusing. ad Cic. de Off. I, 1.

ἡμῖν ἢ πάνυ που ὀλιγαχοῦ αἱ ἡσύχιοι πράξεις ἐν τῷ βίῳ καλλίους ἐφάνησαν ἢ αἱ ταχεῖαί τε καὶ ἰσχυραί. Εἰ δ' οὖν, ὦ φίλε, ὁτιμάλιστα μηδὲν ἐλάττους αἱ ἡσύχιοι τῶν σφοδρῶν τε καὶ ταχειῶν πράξεων τυγχάνουσι καλλίους οὖσαι, οὐδὲ ταύτῃ σωφροσύνη ἂν εἴη μᾶλλόν τι τὸ ἡσυχῇ πράττειν ἢ τὸ σφόδρα τε καὶ ταχέως, οὔτε ἐν βαδισμῷ οὔτε ἐν λέξει, οὐδὲ ἄλλοθι οὐδαμοῦ οὐδὲν ὁ ἡσύχιος βίος κόσμιος τοῦ μὴ ἡσυχίου σωφρονέστερος ἂν εἴη, ἐπειδὴ ἐν τῷ λόγῳ τῶν καλῶν τι ἡμῖν ἡ σωφροσύνη ὑπετέθη, καλὰ δὲ οὐχ ἧττον τὰ ταχέα τῶν ἡσυχίων πέ- d.
φανται. Ὀρθῶς μοι δοκεῖς, ἔφη, ὦ Σώκρατες, εἰρηκέναι. Πάλιν τοίνυν, ἦν δ' ἐγώ, ὦ Χαρμίδη, 18.
μᾶλλον προσέχων τὸν νοῦν καὶ εἰς σεαυτὸν ἀποβλέψας, ἐννοήσας ὁποῖόν τινά σε ποιεῖ ἡ σωφροσύνη παροῦσα καὶ ποία τις οὖσα τοιοῦτον ἀπεργάζοιτο ἄν,

---

§. 17. *Εἰ δ' οὖν, ὦ φίλε* — [Schaefero (in Indice ad Gregor. Cor. p. 1003) pro *καλλίους οἶσαι* legendum videtur *κάλλει οἶσαι*, ut jungatur *μηδὲν ἐλάττους κάλλει nihilo inferiores pulchritudine.*] *οὔτε ἐν βαδ.* — Vulgo *οὐ τὸ ἐν βαδισμῷ, οὐ τὸ ἐν λέξει*: sed asyndeton hoc vereor ut sit ex usu Platonis, neque satisfacit hac de re Locellae nota ad Xen. Eph. p. 129. Rescribendum itaque putavi ex Prisciano L. XVIII. p. 1194. ed. Putsch. ubi haec verba laudat, *οὔτε ἐν βαδισμῷ οὔτε ἐν λέξει*. Tum *οὐδὲ ἄλλοθι* scripsi cum Schleierm. pro vulg. *οὔτε ἄ*. In proximis autem *ὁ ἡσύχιος βίος κόσμιος* saltem *καὶ* post *βίος* addi debebat: quamquam ne hoc quidem placet ob verba subsequentia *τοῦ μὴ ἡσυχίου σωφρονέστερος ἂν εἴη*, ubi orationis concinnitas duplex itidem requireret adiectivum v. c. *τοῦ μὴ ἡσυχίου καὶ ἀκολάστου*. Mihi quidem istud *κόσμιος* in margine olim appositum, post in textum illatum videtur. [Assentitur Schaefer l. c., cui tamen *κόσμιος* natum potius videtur e proximis syllabis *—ιος βίος*.]

πάντα ταῦτα συλλογισάμενος εἰπὲ εὖ καὶ ἀνδρείως,
e. τί σοι φαίνεται εἶναι. Καὶ ὃς ἐπισχὼν καὶ πάνυ ἀνδρικῶς πρὸς ἑαυτὸν διασκεψάμενος, Δοκεῖ τοίνυν μοι, ἔφη, αἰσχύνεσθαι ποιεῖν ἡ σωφροσύνη καὶ αἰσχυντηλὸν τὸν ἄνθρωπον, καὶ εἶναι ὅπερ αἰδὼς ἡ σωφροσύνη. Εἶεν, ἦν δ' ἐγώ. Οὐ καλὸν ἄρτι ὡμολόγεις τὴν σωφροσύνην εἶναι; Πάνυ γ', ἔφη. Οὐκοῦν καὶ ἀγαθοὶ ἄνδρες οἱ σώφρονες; Ναί. Ἆρ' οὖν ἂν εἴη ἀγαθὸν, ὃ μὴ ἀγαθοὺς ἀπεργάζεται; Οὐ δῆτα. Οὐ μόνον οὖν ἄρα καλὸν, ἀλλὰ καὶ ἀγαθόν ἐστιν.
p. 161. a. Ἔμοιγε δοκεῖ. Τί οὖν, ἦν δ' ἐγὼ, Ὁμήρῳ οὐ πιστεύεις καλῶς λέγειν, λέγοντι ὅτι Αἰδὼς ὃ οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι. Ἔγωγ', ἔφη. Ἔστιν ἄρα, ὡς ἔοικεν, αἰδὼς οὐκ ἀγαθὸν καὶ ἀγαθόν. Φαίνεται. Σωφροσύνη δέ γε ἀγαθὸν, εἴπερ ἀγαθοὺς ποιεῖ οἷς ἂν παρῇ, κακοὺς δὲ μή. Ἀλλὰ μὴν οὕτω γε δοκεῖ μοι ἔχειν, ὡς σὺ λέγεις. Οὐκ ἄρα σωφροσύνη ἂν εἴη αἰδὼς, εἴπερ τὸ μὲν ἀγαθὸν τυγχάνει
19. b. ὂν, αἰδὼς δὲ μηδὲν μᾶλλον ἀγαθὸν ἢ καὶ κακόν. Ἀλλ' ἔμοιγε δοκεῖ, ἔφη, ὦ Σώκρατες, τοῦτο μὲν

---

§. 18. Ὁμήρῳ οὐ πιστεύεις — Odyss. ρ, 347. Conf. Plat. Lach. p. 201. b. εἴπερ τὸ μὲν ἀγαθὸν τυγχάνει ὄν· αἰδὼς δὲ — Pro τὸ μὲν — τὸ δὲ, ut saepius, in altero propositionis membro infert nomen ipsum. De rep. II. p. 366. e. ὡς τὸ μὲν (ἡ ἀδικία) μέγιστον κακῶν, ὅσα ἴσχει ψυχὴ ἐν αὑτῇ, δικαιοσύνη δὲ μέγιστον ἀγαθόν. Theaet. p. 167. e. Ἀδικεῖν δ' ἐστὶν ἐν τῷ τοιούτῳ, ὅταν τις μὴ χωρὶς μὲν ὡς ἀγωνιζόμενος τὰς διατριβὰς ποιῆται, χωρὶς δὲ διαλεγόμενος, καὶ ἐν μὲν τῷ παίζῃ — ἐν δὲ τῷ διαλέγεσθαι σπουδάζῃ. [Pro μηδὲν μᾶλλον Be. e Clark. et Vat. μὴ οἰδὲν μ.]

ὀρθῶς λέγεσθαι· τόδε δὲ σκέψαι τί σοι δοκεῖ εἶναι περὶ σωφροσύνης. Ἄρτι γὰρ ἀνεμνήσθην ὃ ἤδη του ἤκουσα λέγοντος, ὅτι σωφροσύνη ἂν εἴη τὸ τὰ ἑαυτοῦ πράττειν. Σκόπει οὖν τοῦτο εἰ ὀρθῶς σοι δοκεῖ λέγειν ὁ λέγων. Καὶ ἐγώ, Ὦ μιαρέ, ἔφην, Κριτίου τοῦδε ἀκήκοας αὐτὸ ἢ ἄλλου του τῶν σοφῶν. Ἔοικεν, ἔφη ὁ Κριτίας, ἄλλου, οὐ γὰρ δὴ c.
ἐμοῦγε. Ἀλλὰ τί διαφέρει, ἦ δ' ὃς ὁ Χαρμίδης, ὦ Σώκρατες, ὅτου ἤκουσα; Οὐδέν, ἦν δ' ἐγώ, πάντως γὰρ οὐ τοῦτο σκεπτέον, ὅστις αὐτὸ εἶπεν, ἀλλὰ πότερον ἀληθὲς λέγεται ἢ οὔ. Νῦν ὀρθῶς λέγεις, ἦ δ' ὅς. Νὴ Δία, ἦν δ' ἐγώ, ἀλλ' εἰ καὶ εὑρήσομεν αὐτὸ ὅπη γ' ἔχει, θαυμάζοιμ' ἄν· αἰνίγματι γάρ τινι ἔοικεν. Ὅτι δὴ τί γε; ἔφη. Ὅτι οὐ δήπου, d.
ἦν δ' ἐγώ, ἃ τὰ ῥήματα ἐφθέγξατο, ταύτῃ καὶ ἐνόει

---

§. 19. ἢ ἄλλου του τῶν σοφῶν. A sophistis ergo vulgata haec σωφροσύνης definitio ad *iustitiam* quoque ab iisdem, ut videtur, translata. De rep. IV. p. 433. a. *Καὶ μὴν ὅτι γε τὸ τὰ αὑτοῦ πράττειν καὶ μὴ πολυπραγμονεῖν δικαιοσύνη ἐστί, καὶ τοῦτο ἄλλων τε πολλῶν ἀκηκόαμεν, καὶ αὐτοὶ πολλάκις εἰρήκαμεν.* Quo pertinent illa Ciceronis de Off. I, 8, 2. Item ad *prudentiam*. Aristot. Eth. Nicom. VI, 8. *δοκεῖ ὁ τὰ περὶ αὑτὸν εἰδὼς καὶ διατρίβων φρόνιμος εἶναι· οἱ δὲ πολιτικοὶ πολυπράγμονες κ. τ. α.* Philosopho vero hoc tribuit Socrates in Gorg. p. 526. c. *ἐνίοτε δ' ἄλλην (ψυχὴν) εἰσιδὼν ὁσίως βεβιωκυῖαν καὶ μετ' ἀληθείας ἀνδρὸς ἰδιώτου ἢ ἄλλου τινός, μάλιστα μὲν, ἔγωγέ φημι, φιλοσόφου τὰ αὑτοῦ πράξαντος καὶ οὐ πολυπραγμονήσαντος ἐν τῷ βίῳ, ἠγάσθη* etc.

19. ἦ δ' ὃς ὁ Χαρμίδης. Ita saepe dicentis additur nomen. Phaedo p. 70. b. ἦ δ' ὃς ὁ Σωκράτης. Conf. ibid. p. 95. a. 107. a. et Koen. ad Gregor. Corinth. p. 61. ὅστις αὐτὸ εἶπεν. Vulgo vitiose editum εἰπεῖν. Paullo inferius in illis *ταύτῃ καὶ ἐνόει λέγων* malim *ὁ λέγων*, ut §. 21. init. [Ita dedimus cum Be. e Par. G et corr. Coisl.]

ὁ λέγων σωφροσύνην εἶναι τὸ τὰ αὑτοῦ πράττειν. Ἦ σὺ οὐδὲν ἡγεῖ πράττειν τὸν γραμματιστὴν, ὅταν γράφῃ ἢ ἀναγιγνώσκῃ; Ἔγωγε ἡγοῦμαι μὲν οὖν, 20. ἔφη. Δοκεῖ οὖν σοι τὸ αὑτοῦ ὄνομα μόνον γράφειν ὁ γραμματιστὴς καὶ ἀναγιγνώσκειν ἢ ὑμᾶς τοὺς παῖδας διδάσκειν, ἢ οὐδὲν ἧττον τὰ τῶν ἐχθρῶν ἐγράφετε ἢ τὰ ὑμέτερα καὶ τὰ τῶν φίλων ὀνόματα; Οὐδὲν ἧττον. Ἦ οὖν ἐπολυπραγμονεῖτε καὶ οὐκ ἐσω- e. φρονεῖτε τοῦτο δρῶντες; Οὐδαμῶς. Καὶ μὴν οὐ τὰ ὑμέτερά γε αὐτῶν ἐπράττετε, εἴπερ τὸ γράφειν πράττειν τί ἐστι καὶ τὸ ἀναγιγνώσκειν. Ἀλλὰ μὴν ἔστι. Καὶ γὰρ τὸ ἰᾶσθαι, ὦ ἑταῖρε, καὶ τὸ οἰκοδομεῖν καὶ τὸ ὑφαίνειν καὶ τὸ ἠτινιοῦν τέχνῃ ὁτιοῦν τῶν τέχνης ἔργων ἀπεργάζεσθαι, πράττειν δήπου τί ἐστι; Πάνυ γε. Τί οὖν, ἦν δ' ἐγὼ, δοκεῖ ἄν σοι πόλις εὖ οἰκεῖσθαι ὑπὸ τούτου τοῦ νόμου τοῦ κελεύοντος τὸ ἑαυτοῦ ἱμάτιον ἕκαστον ὑφαίνειν καὶ πλύνειν, καὶ ὑποδήματα σκυτοτομεῖν, καὶ λήκυθον καὶ στλεγγίδα καὶ τἆλλα πάντα κατὰ τὸν αὐτὸν λόγον; p.162. a. τῶν μὲν ἀλλοτρίων μὴ ἅπτεσθαι, τὰ δὲ ἑαυτοῦ ἕκα-

---

§. 20. ἢ ὑμᾶς — διδάσκειν. Supple τὰ ὑμέτερα ὀνόματα μόνον γράφειν καὶ ἀναγιγνώσκειν. Infra pro vulgato δοκῇ ἄν σοι — scripsi δοκεῖ: vid. ad Lysid. 7.

20. καὶ ὑποδήματα — Hipp. Min. p. 368. c. ὑποδήματα, ἃ εἶχες, ἔφησθα αὐτὸς σκυτοτομῆσαι, ut locutio haec offendere non debeat. Illud offendit, quod ad λήκυθον ceteraque ex σκυτοτομεῖν repetendum est ποιεῖν, dure, ut mihi quidem videtur, omissum. [Immo verbis κατὰ τὸν αὐτὸν λόγον inest significatio verbi cujusque quod aptum sit rei cuique. *Buttm.*] στλεγγίδα καὶ λήκυθον in suppellectile itidem iunxit Hipp. Min. l. l., de quibus vid. ibi Schol. Plat. p. 136.

στον ἐργάζεσθαί τε καὶ πράττειν; Οὐκ ἔμοιγε δοκεῖ, ἦ δ' ὅς. Ἀλλὰ μέντοι, ἔφην ἐγώ, σωφρόνως γε οἰκοῦσα εὖ ἂν οἰκοῖτο. Πῶς δ' οὔκ; ἔφη. Οὐκ ἄρα, ἦν δ' ἐγώ, τὸ τὰ τοιαῦτά τε καὶ οὕτω τὰ αὑτοῦ πράττειν σωφροσύνη ἂν εἴη. Οὐ φαίνεται. Ἡνίτετο ἄρα, ὡς ἔοικεν, ὅπερ ἄρτι ἐγὼ ἔλεγον, ὁ λέγων τὸ τὰ αὑτοῦ πράττειν σωφροσύνην εἶναι. Οὐ γάρ που οὕτω γε ἦν εὐήθης, ἤ τινος ἠλιθίου ἤκουσας τουτὶ λέγοντος, ὦ Χαρμίδη; Ἥκιστά γε, ἔφη, ἐπεί τοι καὶ πάνυ ἐδόκει σοφὸς εἶναι. Παντὸς τοίνυν μᾶλλον, ὡς ἐμοὶ δοκεῖ, αἴνιγμα αὐτὸ προὔβαλεν, ὡς ὂν χαλεπὸν τὸ τὰ αὑτοῦ πράττειν γνῶναι ὅ,τι ποτέ ἐστιν. Ἴσως, ἔφη. Τί οὖν ἂν εἴη ποτὲ τὸ τὰ αὑτοῦ πράττειν; ἔχεις εἰπεῖν; Οὐκ οἶδα μὰ Δία ἔγωγε, ἦ δ' ὅς· ἀλλ' ἴσως οὐδὲν κωλύει μηδὲ τὸν λέγοντα μηδὲν εἰδέναι ὅ,τι ἐνόει. Καὶ ἅμα ταῦτα λέγων ὑπεγέλα τε καὶ εἰς τὸν Κριτίαν ἀπέβλεπε. Καὶ ὁ Κριτίας δῆλος μὲν ἦν καὶ πάλαι ἀγωνιῶν καὶ φιλοτίμως πρός τε τὸν Χαρμίδην καὶ πρὸς τοὺς παρόντας ἔχων, μόγις δὲ ἑαυτὸν ἐν τῷ πρόσθεν κατέχων

21. b. c.

---

§. 21. *Οὐ γὰρ — εὐήθης.* Intelligendum ex §. 19. *ὥστε, ἦ τὰ ῥήματα ἐφθέγξατο, ταύτῃ καὶ νοεῖν*, quod supplementum, commode in sermone concitato omissum, de suo haud dubie addidit Ficinus, quum vertit: *neque enim usque adeo fatuus fuisse putandus est, ut idem eius fuerit sensus, qui et verborum sonus.* *Τί οὖν ἂν εἴη ποτὲ — εἰπεῖν;* In his post *πράττειν* interrogandi notam apposui, quemadmodum distinguendum puto in Sympos. p. 206. b. *Τί τοῦτο τυγχάνει ὂν τὸ ἔργον; ἔχεις εἰπεῖν;* et plurimis aliis locis. [In seqq. *ὑπεγέλα τε* pro vulg. *ὑπεγέλασέ τε* dedimus cum Be. e

τότε οὐχ οἵόστε ἐγένετο. Δοκεῖ γάρ μοι παντὸς μᾶλλον ἀληθὲς εἶναι, ὃ ἐγὼ ὑπέλαβον, τοῦ Κριτίου ἀκηκοέναι τὸν Χαρμίδην ταύτην τὴν ἀπόκρισιν περὶ
22. d. τῆς σωφροσύνης. Ὁ μὲν οὖν Χαρμίδης βουλόμενος μὴ αὐτὸς ὑπέχειν λόγον ἀλλ' ἐκεῖνον τῆς ἀποκρίσεως, ὑπεκίνει αὐτὸν ἐκεῖνον, καὶ ἐνεδείκνυτο ὡς ἐξελεγμένος εἴη. Ὁ δ' οὐκ ἠνέσχετο, ἀλλά μοι ἔδοξεν ὀργισθῆναι αὐτῷ, ὥσπερ ποιητὴς ὑποκριτῇ κακῶς διατιθέντι τὰ ἑαυτοῦ ποιήματα· ὥστ' ἐμβλέψας αὐτῷ εἶπεν, Οὕτως οἴει, ὦ Χαρμίδη, εἰ σὺ μὴ οἶσθα, ὅτι ποτ' ἐνόει, ὃς ἔφη σωφροσύνην εἶναι τὸ τὰ ἑαυτοῦ πράττειν, οὐδὲ δὴ ἐκεῖνον εἰδέναι; Ἀλλ', ὦ βέλτιστε, ἔφην ἐγώ, Κριτία, τοῦτον μὲν οὐδὲν θαυμαστὸν ἀγνοεῖν τηλικοῦτον ὄντα, σὲ δέ που εἰκὸς
e. εἰδέναι καὶ ἡλικίας ἕνεκα καὶ ἐπιμελείας. Εἰ οὖν ξυγχωρεῖς τοῦτ' εἶναι σωφροσύνην, ὅπερ οὗτοσὶ λέ-

---

codd. fere omnibus.] *Δοκεῖ γάρ μοι* — Cornar. *videbatur enim mihi prae omnibus verum esse, quod ego suspicatus eram*, ut videatur cum Ficino, *visumque est* vertente, legisse ἐδόκει. Sed pari modo Protag. p. 314. c. *δοκεῖ οὖν μοι, ὁ Θρωμὸς, εὐνοῦχός τις, κατήκουεν ἡμῶν· κινδυνεύει δὲ διὰ τὸ πλῆθος τῶν σοφιστῶν ἄχθεσθαι τοῖς φοιτῶσιν εἰς τὴν οἰκίαν.*

§. 22. *ὑπεκίνει αὐτὸν ἐκεῖνον, ipsum illum ad dicendum excitabat.* Vid. ad Lysid. §. 43. Bene autem habet hoc *αὐτὸν* neque redundat. Nimirum ante oblique Critiam significaverat Charmides verbis illis *ἀλλ' ἴσως οὐδὲν — — εἰς τὸν Κριτ. ἀπέβλεπε.* Nunc dicendi cupiditate aestuantem quasi eum animadvertens, risu illo obtutuque ipsum illum excitat, ut suam tueatur sententiam. — *ἐνεδείκνυτο.* [Sic Be. ex opt. et pl. pro vulgato *ἀνεδ.* Idem mendosam formam *ἐξηλεγμένος* correxit e codd. longe plurimis.] *ὥσπερ ποιητὴς — ποιήματα, ut poeta succenset actori male poemata sua*

γει, καὶ παραδέχει τὸν λόγον, ἔγωγε πολὺ ἂν ἥδιον μετὰ σοῦ σκοποίμην, εἴτ' ἀληθὲς εἴτε μὴ τὸ λεχθέν. Ἀλλὰ πάνυ ξυγχωρῶ, ἔφη, καὶ παραδέχομαι. Καλῶς γε σὺ τοίνυν, ἦν δ' ἐγώ, ποιῶν. Καί μοι λέγε, ἦ καὶ ἃ νῦν δὴ ἠρώτων ἐγὼ ξυγχωρεῖς, τοὺς δημιουργοὺς πάντας ποιεῖν τι; Ἔγωγε. Ἦ οὖν δοκοῦσί σοι τὰ ἑαυτῶν μόνον ποιεῖν, ἢ καὶ τὰ τῶν ἄλλων; p. 163. a. Καὶ τὰ τῶν ἄλλων. Σωφρονοῦσιν οὖν οἱ μὴ τὰ 23. ἑαυτῶν μόνον ποιοῦντες. Τί γὰρ κωλύει; ἔφη. Οὐδὲν ἔμεγε, ἦν δ' ἐγώ, ἀλλ' ὅρα μὴ ἐκεῖνον κωλύει, ὃς ὑποθέμενος σωφροσύνην εἶναι τὸ τὰ ἑαυτοῦ πράττειν, ἔπειτα οὐδέν φησι κωλύειν καὶ τοὺς τὰ τῶν ἄλλων πράττοντας σωφρονεῖν. Ἐγὼ γάρ που, ἦ δ' ὅς, τοῦθ' ὡμολόγηκα, ὡς οἱ τὰ τῶν ἄλλων πράττοντες σωφρονοῦσιν· ἢ τοὺς ποιοῦντας ὡμολόγησα; Εἰπέ μοι, ἦν δ' ἐγώ, οὐ ταὐτὸν καλεῖς τὸ ποιεῖν καὶ b.

(in scena) recitanti. Ita haec intelligenda docuit Hemsterhus. ad Lucian. Nigrin. §. 38. vocis *διατιθέναι* usum ibi illustrans. Conf. id. ibid. §. 8. Infra in his *Καί μοι λέγε, ἦ καὶ ἃ νῦν δὴ — sic scriptum malim ἦ καὶ, ὃ νῦν δὴ ἠρώτων ἐγὼ, ξυγχωρεῖς, τοὺς δ. π. ποιεῖν τι;*

§. 23. *Σωφρονοῦσιν οὖν οἱ μὴ — ποιοῦντες.* Particula *μὴ*, quae deerat in textu, recepta est iam a Stephano ex verissima Cornarii emendatione. [Eadem reperta est in Ven. Ξ, Ambr., aliis. Be. tamen e Clark. et Vat. praetulit *οὖν οὐ τὰ — ποιοῦντες.*] Mox eadem loquendi forma in Euthyphr. p. 9. d. *Τί γὰρ κωλύει, ὦ Σώκρ.; Οὐδὲν ἔμεγε, ὦ Εὐθύφρον, ἀλλὰ σὺ δὴ τὸ σὸν σκόπει —. ἀλλ' ὅρα μὴ ε. κωλύει.* [Sic Be. e pl. et opt. pro vulgato *κωλύῃ*. Vid. ad Alcib. II. 3. not. 7.]

23. *Ἐγὼ γάρ που — τοῦθ' ὡμολόγηκα — Ego sane, inquit ille, hoc concessi, quod temperantes sunt, qui aliena*

τὸ πράττειν; Οὐ μέντοι, ἔφη, οὐδέ γε τὸ ἐργάζεσθαι καὶ τὸ ποιεῖν. Ἐμαθον γὰρ παρ' Ἡσιόδου, ὃς ἔφη, ἔργον δ' οὐδὲν εἶναι ὄνειδος. Οἴει οὖν αὐτὸν, εἰ τὰ τοιαῦτα ἔργα ἐκάλει καὶ ἐργάζεσθαι καὶ πράττειν, οἷα νῦν δὴ σὺ ἔλεγες, οὐδενὶ ἂν ὄνειδος

---

agunt. Num etiam qui faciunt, concessi? Ita Cornarius, eodemque modo Ficinus. Et est haec sane vulgatae huius scripturae sententia, perversa illa quidem et argumentationi plane contraria. Nimirum concesserat Critias, σωφρονεῖν καὶ τοὺς τὰ τῶν ἄλλων ποιοῦντας. Quod quum repugnare dicit Socrates ei finitioni, qua σωφροσύνην esse τὸ τὰ αὑτοῦ πράττειν posuerit ipse Critias, non igitur σωφρονεῖν illos τὰ τῶν ἄλλων πράττοντας; respondebit sine dubio Critias, aliud esse τὸ τὰ ἑαυτοῦ πράττειν, aliud τὸ τὰ ἑαυτοῦ ποιεῖν; hoc se munus τῇ σωφροσύνῃ tribuisse, illud non item: ut talem hic potius scripturam desideres, ἐγὼ γάρ που — τοῦθ' ὡμολόγηκα, ὡς οἱ τὰ τῶν ἄλλων ποιοῦντες σωφρονοῦσιν· ἢ τοὺς πράττοντας ὡμολόγησα; Hic igitur sensus ut hinc exeat qualitercunque, legenda saltem sunt priora quoque haec ἐγὼ γάρ που — σωφρονοῦσι sono interrogatorio, hac mente: *Egone hoc dedi, qui aliena agant temperantes esse, an qui faciant aliena?* quamquam nullum hic est neque interrogationis indicium, neque ironiae, si quis forte illa per ironiam a Critia dicta accipere malit; ut admodum dubitem de verborum integritate. Ne illud quidem ὡμολόγησα post ὡμολόγηκα placet. Vide, an ita sit legendum: Ἐγὼ γάρ που, ἢ δ' ὅς, οὐχ ὡμολόγηκα, ὡς οἱ τὰ τῶν ἄλλων πράττοντες σωφρονοῦσιν, εἰ τοὺς ποιοῦντας ὡμολόγηκα. De discrimine inter πράττειν et ποιεῖν accurate disseruit Gataker. Diss. de Nov. Instr. Stilo. c. 27. Opp. Crit. p. 135.

23. παρ' Ἡσιόδου. Ἔργ. κ. Ἡμ. 311., in quo versu οὐδὲν non ad ἔργον pertinet, sed ad ὄνειδος, ἔργον autem de *opere* potissimum *rustico* accipi debet prima significandi dote. Graeci autem ipsi quam mire sint interdum poetas suos interpretati, luculento exemplo et hic est et in eodem hoc versu Xenophontis locus Mem. I, 2, 56. Ceterum aut particulam δὲ post ἔργον, aut εἶναι expungi iubebat Stephanus, ut esset ipsum Hesiodi hemistichium. Prius verum puto.

φάναι εἶναι σκυτοτομοῦντι ἢ ταριχοπωλοῦντι ἢ ἐπ᾽ οἰκήματος καθημένῳ; Οὐκ οἴεσθαί γε χρὴ, ὦ Σώκρατες, ἀλλὰ καὶ ἐκεῖνος, οἶμαι, ποίησιν πράξεως c. καὶ ἐργασίας ἄλλο ἐνόμιζε, καὶ ποίημα μὲν γίγνεσθαι ὄνειδος ἐνίοτε, ὅταν μὴ μετὰ τοῦ καλοῦ γίγνηται, ἔργον δὲ οὐδέποτε οὐδὲν ὄνειδος. Τὰ γὰρ καλῶς τε καὶ ὠφελίμως ποιούμενα ἔργα ἐκάλει, καὶ ἐργασίας τε καὶ πράξεις τὰς τοιαύτας ποιήσεις. Φάναι δέ γε 24. χρὴ καὶ οἰκεῖα μόνα τὰ τοιαῦτα ἡγεῖσθαι αὐτὸν, τὰ δὲ βλαβερὰ πάντα ἀλλότρια. Ὥστε καὶ Ἡσίοδον χρὴ οἴεσθαι καὶ ἄλλον, ὅστις φρόνιμος, τὸν τὰ αὑτοῦ πράττοντα τοῦτον σώφρονα καλεῖν. Ὦ Κρι- d. τία, ἦν δ᾽ ἐγὼ, καὶ εὐθὺς ἀρχομένου σου σχεδὸν ἐμάνθανον τὸν λόγον, ὅτι τὰ οἰκεῖά τε καὶ τὰ αὑτοῦ ἀγαθὰ καλοίης, καὶ τὰς τῶν ἀγαθῶν ποιήσεις πράξεις. Καὶ γὰρ Προδίκου μυρία τινὰ ἀκήκοα περὶ

---

23. σκυτοτομοῦντι ἢ ταριχοπωλοῦντι. Nam σκυτοτόμοι vilissimum prope βαναύσων genus, adeo ut in proverbium abierint. De rep. V. p. 456. d. Ἐν οὖν τῇ πόλει, ἣν ᾠκίζομεν, πότερον οἴει ἡμῖν ἀμείνους ἄνδρας ἐξεργάσθαι τοὺς φύλακας τυγχόντας ἧς διήλθομεν παιδείας, ἢ τοὺς σκυτοτόμους τῇ σκυτικῇ παιδευθέντας; Γελοῖον, ἔφη, ἐρωτᾷς. Theaetet. p. 180. d. ἵνα καὶ οἱ σκυτοτόμοι αὐτῶν τὴν σοφίαν μάθωσιν ἀκούσαντες. Ταριχοπῶλαι autem, cetarii, itidem vilissimum hominum genus Athenis, ut salsamenta pauperum apud eos et servorum cibus fuit. Vid. Casaub. ad Theophr. Char. VI. p. 89. et IV. p. 61. ed. Fisch. — ἐπ᾽ οἰκήματος καθημένῳ, *in lupanari prostanti*. Aeschin. adv. Timarch. Steph. II, 3. ὁρᾶτε τουτονὶ τοὺς ἐπὶ τῶν οἰκημάτων καθεζομένους. Conf. Ernesti ad Xenoph. Mem. II, 2, 4.

§. 24. Καὶ γὰρ Προδίκου — Conf. Cratyl. p. 384. b. Protag. p. 337. a. 341 a. Euthyd. p. 277. e. Lach. p. 197. d.

ὀνομάτων διαιροῦντος. Ἀλλ' ἐγώ σοι τίθεσθαι μὲν τῶν ὀνομάτων δίδωμι ὅπῃ ἂν βούλῃ ἕκαστον, δήλου δὲ μόνον, ἐφ' ὅτι ἂν φέροις τοὔνομα ὅτι ἂν λέγῃς.
e. Νῦν οὖν πάλιν ἐξ ἀρχῆς σαφέστερον ὅρισαι, ἆρα τὴν τῶν ἀγαθῶν πρᾶξιν ἢ ποίησιν, ἢ ὅπως σὺ βούλει ὀνομάζειν, ταύτην λέγεις σὺ σωφροσύνην εἶναι; Ἔγωγε, ἔφη. Οὐκ ἄρα σωφρονεῖ ὁ τὰ κακὰ πράττων, ἀλλ' ὁ τὰ ἀγαθά; Σοὶ δέ, ἦ δ' ὅς, ὦ βέλτιστε, οὐχ οὕτω δοκεῖ; Ἔα, ἦν δ' ἐγώ· μὴ γάρ πω
25. τὸ ἐμοὶ δοκοῦν σκοπῶμεν, ἀλλ' ὃ σὺ λέγεις νῦν. Ἀλλὰ μέντοι ἔγωγε, ἔφη, τὸν μὴ ἀγαθὰ ἀλλὰ κακὰ ποιοῦντα οὐ φημι σωφρονεῖν, τὸν δὲ ἀγαθὰ, ἀλλὰ μὴ κακὰ, σωφρονεῖν. Τὴν γὰρ τῶν ἀγαθῶν πρᾶξιν σωφροσύνην εἶναι, σαφῶς σοι διορίζομαι. Καὶ
p. 164. a. οὐδέν γε ἴσως κωλύει σε ἀληθῆ λέγειν, τόδε γε μέντοι, ἦν δ' ἐγὼ, θαυμάζω, εἰ σωφρονοῦντας ἀνθρώπους ἡγεῖ σὺ ἀγνοεῖν ὅτι σωφρονοῦσιν. Ἀλλ' οὐχ ἡγοῦμαι, ἔφη. Οὐκ ὀλίγον πρότερον, ἔφην ἐγὼ, ἐλέγετο ὑπὸ σοῦ, ὅτι τοὺς δημιουργοὺς οὐδὲν κωλύει καὶ αὖ τὰ τῶν ἄλλων ποιοῦντας σωφρονεῖν; Ἐλέγετο γὰρ, ἔφη· ἀλλὰ τί τοῦτο; Οὐδὲν, ἀλλὰ λέγε, εἰ δοκεῖ τί σοι ἰατρὸς, ὑγιᾶ τινα ποιῶν, ὠφέλιμα καὶ

Meno. p. 75. e. quibus locis non sine cavillatione quadam Prodici hoc studium memorat, eundem, opinor, tangens Politic. p. 261. e. ἂν διαφυλάξῃς τὸ μὴ σπουδάζειν ἐπὶ τοῖς ὀνόμασι, πλουσιώτερος εἰς τὸ γῆρας ἀναφανήσει φρονήσεως.

§. 25. Οὐκ ὀλίγον πρότερον, ἔφην ἐγώ — Particulam αὖ post verba οὐδὲν κωλύει καὶ natam suspicor ex antecedente καί. Mox ἀλλὰ τί τοῦτο; frequens Platoni est formu-

ἑαυτῷ ποιεῖν καὶ ἐκείνῳ ὃν ἰῷτο. Ἔμοιγε. Οὐ- b.
κοῦν τὰ δέοντα πράττει ὅγε ταῦτα πράττων; Ναί.
Ὃ τὰ δέοντα πράττων οὐ σωφρονεῖ; Σωφρονεῖ μὲν
οὖν. Ἦ οὖν καὶ γιγνώσκειν ἀνάγκη τῷ ἰατρῷ, ὅταν
τε ὠφελίμως ἰᾶται καὶ ὅταν μή, καὶ ἑκάστῳ τῶν
δημιουργῶν, ὅταν τε μέλλῃ ὀνήσεσθαι ἀπὸ τοῦ ἔρ-
γου, οὗ ἂν πράττῃ, καὶ ὅταν μή; Ἴσως οὔ. Ἐνίοτε 26.
ἄρα, ἦν δ' ἐγώ, ὠφελίμως πράξας ἢ βλαβερῶς ὁ ἰα- c.
τρὸς οὐ γιγνώσκει ἑαυτὸν ὡς ἔπραξε· καίτοι ὠφελί-
μως πράξας, ὡς ὁ σὸς λόγος, σωφρόνως ἔπραξεν.
Ἦ οὐχ οὕτως ἔλεγες; Ἔγωγε. Οὐκοῦν, ὡς ἔοικεν,
ἐνίοτε ὠφελίμως πράξας πράττει μὲν σωφρόνως καὶ
σωφρονεῖ, ἀγνοεῖ δ' ἑαυτὸν ὅτι σωφρονεῖ; Ἀλλὰ
τοῦτο μέν, ἔφη, ὦ Σώκρατες, οὐκ ἄν ποτε γένοιτο,
ἀλλ' εἴ τι σὺ οἴει ἐκ τῶν ἔμπροσθεν ὑπ' ἐμοῦ ὡμολο-
γημένων εἰς τοῦτο ἀναγκαῖον εἶναι συμβαίνειν, ἐκεί-
νων ἄν τι ἔγωγε μᾶλλον ἀναθείμην, καὶ οὐκ ἂν αἰ- d.
σχυνθείην ὅτι μὴ οὐχὶ ὀρθῶς φάναι εἰρηκέναι μᾶλ-
λον ἢ ποτε συγχωρήσαιμ' ἂν ἀγνοοῦντα αὐτὸν ἑαυτὸν

---

la, *quid tum?* v. Gorg. p. 448. b. p. 497. e. de rep. V. p. 472. b. et alias passim. Plena dictio est de rep. I. p. 349. a. *Τί δέ σοι τοῦτο διαφέρει, εἴτε μοι δοκεῖ εἴτε μή, ἀλλ' οὐ τὸν λόγον ἐλέγχεις; Οὐδέν, ἦν δ' ἐγώ.*

§. 26. *ἀλλ' εἴ τι σὺ οἴει* — [Be. ex longe plurimis *σοί* pro *σύ*; ut jungatur *συμβαίνειν σοι.*]

26. *καὶ οὐκ ἂν αἰσχυνθείην* — Verborum horum structuram recte ita explanavit Stephanus: *καὶ οὐκ ἂν αἰσχυνθείην μᾶλλον φάναι ὅτι μὴ οὐχὶ ὀρθῶς εἰρηκέναι*, ut vocula *ὅτι* redundet, usu antiquioribus etiam scriptoribus non ita raro. Vid. Valcken. post Oratt. Hemst. et Valck. p. 390. et nos ad Protag. §. 19. — Mox Stob. Serm. XXI. p. 184. *ἀγνοοῦντα*

ἄνθρωπον σωφρονεῖν. Σχεδὸν γάρ τι ἔγωγε αὐτὸ τοῦτό φημι εἶναι σωφροσύνην, τὸ γιγνώσκειν ἑαυτόν, καὶ ξυμφέρομαι τῷ ἐν Δελφοῖς ἀναθέντι τὸ τοιοῦτον γράμμα. Καὶ γὰρ τοῦτο οὕτω μοι δοκεῖ τὸ γράμμα ἀνακεῖσθαι, ὡς δὴ πρόσρησις οὖσα τοῦ θεοῦ τῶν εἰσιόντων, ἀντὶ τοῦ χαῖρε, ὡς τούτου μὲν
e. οὐκ ὀρθοῦ ὄντος τοῦ προσρήματος, τοῦ χαίρειν, οὐδὲ δεῖν τοῦτο παρακελεύεσθαι ἀλλήλους, ἀλλὰ σω-
27. φρονεῖν. Οὕτω μὲν δὴ ὁ θεὸς προσαγορεύει τοὺς εἰσιόντας εἰς τὸ ἱερὸν διαφέρον τι ἢ οἱ ἄνθρωποι, ὡς διανοούμενος ἀνέθηκεν ὁ ἀναθείς, ὥς μοι δοκεῖ, καὶ λέγει πρὸς τὸν ἀεὶ εἰσιόντα οὐκ ἄλλο τι ἢ σωφρόνει,

---

ἀνθρ. αὐτὸν ἑαυτόν. αὐτὸ τοῖτό φημι — Videtur enim hoc *nosse se ipsum* σωφροσύνῃ adscripsisse vulgaris tum opinio. Amator. p. 138. a. *Τὸ ἑαυτὸν ἄρα γιγνώσκειν ἐστὶ σωφρονεῖν.* — *Τοῦτ' ἄρα, ὡς ἔοικε, καὶ τὸ ἐν Δελφοῖς γράμμα παρακελεύεται, σωφροσύνην ἀσκεῖν καὶ δικαιοσύνην.* Alcib. I. p. 133. c. *Τὸ γιγνώσκειν αὐτὸν ὁμολογοῦμεν σωφροσύνην εἶναι.* Conf. p. 129. a. p. 131. b. Paullo post Stob. *καὶ γὰρ τούτῳ*, scil. *τῷ ἀναθέντι*, non male.

26. *ὡς τούτου — τὸ χαίρειν.* In his ut grammatica ratio constet, saltem corrigendum *τοῦ χαίρειν* [quod fecimus nunc praeeunte Be. et optimis ejus codd.]. Sed mihi *τὸ χαίρειν* loco suo deturbatum videtur et post *ἀλλήλους* reponendum: *ὡς τούτου μὲν οὐκ ὀρθοῦ ὄντος τοῦ προσρήματος, οὐδὲ δεῖν τοῦτο παρακελεύεσθαι ἀλλήλοις τὸ χαίρειν, ἀλλὰ σωφρονεῖν.* Structurae autem huic *ὡς τούτου οὐκ ὀρθοῦ ὄντος, οὐδὲ δεῖν* gemina est illa de legg. I. p. 626. a. *κατὰ ταῦτα οὕτω φυλάττειν παρέδωκε τοὺς νόμους, ὡς τῶν ἄλλων οὐδενὸς οὐδὲν ὄφελος ὄν —, πάντα δὲ τὰ τῶν νικωμένων ἀγαθὰ τῶν νικώντων γίγνεσθαι.*

§. 27. *Οὕτω μὲν δὴ ὁ θεὸς* — Perperam vulgo post *ἱερὸν* est *τελείᾳ στιγμῇ* intercisum, quum *διαφέρον τι* accusativus sit ad *προσαγορεύει* trahendus. *καὶ λέγει — φησίν.* Ita

φησίν. Αἰνιγματωδέστερον δὲ δή, ὡς μάντις, λέγει. Τὸ γὰρ Γνῶθι σαυτὸν καὶ τὸ σωφρόνει ἔστι μὲν ταὐτὸν, ὡς τὰ γράμματά φησι καὶ ἐγὼ, τάχα δ' ἄν τις οἰηθείη ἄλλο εἶναι, ὃ δή μοι δοκοῦσι παθεῖν καὶ οἱ τὰ ὕστερον γράμματα ἀναθέντες, τό τε p. 165. a. Μηδὲν ἄγαν, καὶ τὸ Ἐγγύα, πάρα δ' ἄτα. Καὶ γὰρ οὗτοι ξυμβουλὴν ᾠήθησαν εἶναι τὸ Γνῶθι σαυτὸν, ἀλλ' οὐ τῶν εἰσιόντων ἕνεκεν ὑπὸ τοῦ θεοῦ

---

solet φησὶ post λέγει saepe inferri abundanter. De legg. VI. p. 776. e. ὁ δὲ σοφώτατος ἡμῖν τῶν ποιητῶν καὶ ἀπεφήνατο, ὑπὲρ τοῦ Διὸς ἀγορεύων, ὡς ἥμισυ γάρ τε νόου, φησὶν, ἁπαμείρεται εὐρύοπα Ζεύς. Cratyl. p. 408. a. Τὸ δὲ οἷον καὶ Ὅμηρος πολλαχοῦ λέγει, ἐμήσατο, φησὶ, τοῦτο δὲ μηχανήσασθαί ἐστιν. Aeschin. in Ctesiph. p. 412. Εὐθέως ἀρχόμενος τῶν νόμων λέγει, ἀρχὴν ὑπεύθυνον, φησὶ, μὴ ἀποδημεῖν.

27. ὡς τὰ γράμματά φησι — Ex ipsis ergo litteris intelligi dicit, idem esse τὸ γνῶθι σαυτὸν et τὸ σωφρόνει; quod commentum miror cur non apertius declaraverit, alias tantopere sibi placens in hoc lusu. Nimirum fallor aut neglecto vocis σωφρονεῖν etymo, syllabam σω τῷ σέ, φρονεῖν autem τῷ γνῶναι comparat Critias, id quod non abhorret a Platonis more, vocabulorum origines ex levissimis vestigiis extorquendi magis, quam grammatica ratione investigandi. Aliter neque tamen hodie probabiliter de hac voce Aristot. Eth. VI. 5. ἐνθεν καὶ τὴν σωφροσύνην τούτῳ προσαγορεύομεν τῷ ὀνόματι, ὡς σώζουσαν τὴν φρόνησιν.

27. οἱ τὰ ὕστερον γράμματα — Stob. et Schol. Plat. p. 91. τὰ ὕστερα. Illud ἀττικώτερον. Conf. Dorvill. ad Charit. p. 206. Intelligendi autem septem illi sapientes, quibus haec apophthegmata tribuit auctoribus. Protag p. 343. a. Οὗτοι (οἱ ἑπτὰ σοφοὶ) καὶ κοινῇ ξυνελθόντες ἀπαρχὴν τῆς σοφίας ἀνέθεσαν τῷ Ἀπόλλωνι εἰς τὸν νεὼν τὸν ἐν Δελφοῖς, γράψαντες ταῦτα, ἃ δὴ πάντες ὑμνοῦσι, Γνῶθι σαυτὸν καὶ Μηδὲν ἄγαν. Nam singulorum dictorum auctores incerti: v. Menag. ad Diog. Laert. I, 41. [In altero horum dictorum Be. ἐγγύη et ἄτη ex optimis, prius etiam e plurimis: quae si vera est scriptura, ut

πρόσρησιν· εἶθ' ἵνα δὴ καὶ σφεῖς μηδὲν ἧττον ξυμβουλὰς χρησίμους ἀναθεῖεν, ταῦτα γράψαντες ἀνέθεσαν. Οὗ δὴ οὖν ἕνεκα λέγω, ὦ Σώκρατες, ταῦτα πάντα, τόδ' ἐστί. Τὰ μὲν ἔμπροσθέν σοι πάντα ἀφίημι. Ἴσως μὲν γάρ τι σὺ ἔλεγες περὶ αὐτῶν
b. ὀρθότερον, ἴσως δ' ἐγώ, σαφὲς δ' οὐδὲν πάνυ ἦν ὧν ἐλέγομεν. Νῦν δ' ἐθέλω τούτου σοι διδόναι λόγον, εἰ μὴ ὁμολογεῖς σωφροσύνην εἶναι τὸ γιγνώσκειν αὐ-
28. τὸν ἑαυτόν. Ἀλλ', ἦν δ' ἐγώ, ὦ Κριτία, σὺ μὲν ὡς φάσκοντος ἐμοῦ εἰδέναι, περὶ ὧν ἐρωτῶ, προσφέρει πρός με, καὶ ἐὰν δὴ βούλωμαι, ὁμολογήσαντός σου. Τὸ δ' οὐχ οὕτως ἔχει, ἀλλὰ ζητῶ γὰρ μετὰ σοῦ ἀεὶ τὸ προτιθέμενον, διὰ τὸ μὴ αὐτὸς εἰδέναι. Σκεψάμενος οὖν ἐθέλω εἰπεῖν, εἴτε ὁμολογῶ εἴτε μή. Ἀλλ' ἐπίσχες, ἕως ἂν σκέψωμαι. Σκόπει δή, ἦ δ' ὅς. Καὶ γάρ, ἦν δ' ἐγώ, σκοπῶ. Εἰ γὰρ δὴ γιγνώσκειν

---

mihi quidem esse videtur, eo certius est, priorem vocem nomen esse, non verbum: vid. Menag. ad Diog. 1, 73. *Buttm.*] — In proximis his *ἀλλ' οὐ τῶν εἰσιόντων ἕνεκεν ὑπὸ τοῦ θεοῦ πρόσρησιν* illud *ἕνεκεν* an bene se haberet, semper addubitavi. *εἶθ' ἵνα δὴ καὶ σφεῖς* — Stob. *καὶ αὐτοὶ.* — *δὴ* h. l. ironiae est particula. Vid. Valck. ad Herodot. V, 20.

§. 28. *Ἀλλ', ἦν δ' ἐγώ, ὦ Κριτία* — *Tu mecum agis, quasi ego scire me dicerem ea, de quibus interrogo, meaeque certus sententiae possem, modo vellem, eam tibi probare teque ad eam amplectendam adducere.* Nam integra prorsus sunt haec, quibus simillima illa in Cratyl. p. 383. b. *εἰρωνεύεται πρός με, προσποιούμενός τι αὐτὸς ἐν ἑαυτῷ διανοεῖσθαι ὡς εἰδὼς περὶ αὐτοῦ, ὃ εἰ βούλοιτο σαφῶς εἰπεῖν, ποιήσειεν ἂν καὶ ἐμὲ ὁμολογεῖν καὶ λέγειν, ἅπερ αὐτὸς λέγει.* [Probabilis sane ratio, cui illa Bekkeri sine codd. *ὁμολογήσαντός σου* refingentis praeferenda non videtur.]

γέ τι ἔστιν ἡ σωφροσύνη, δῆλον ὅτι ἐπιστήμη τὶς ἂν εἴη καὶ τινός. Ἢ οὔ; Ἔστιν, ἔφη, ἑαυτοῦ γε. Οὐκοῦν καὶ ἰατρικὴ, ἔφην, ἐπιστήμη ἐστὶ τοῦ ὑγιεινοῦ; Πάνυ γε. Εἰ τοίνυν με, ἔφην, ἔροιο σὺ, ἰατρικὴ, ὑγιεινοῦ ἐπιστήμη οὖσα, τί ἡμῖν χρησίμη ἐστὶ καὶ τί ἀπεργάζεται, εἴποιμ' ἂν ὅτι οὐ σμικρὰν ὠφέλειαν· τὴν γὰρ ὑγίειαν καλὸν ἡμῖν ἔργον ἀπεργάζεται, d.
εἰ ἀποδέχει τοῦτο. Ἀποδέχομαι. Καὶ εἰ τοίνυν με ἔροιο τὴν οἰκοδομικὴν, ἐπιστήμην οὖσαν τοῦ οἰκοδομεῖν, τί φημι ἔργον ἀπεργάζεσθαι, εἴποιμ' ἄν, ὅτι οἰκήσεις. Ὡσαύτως δὲ καὶ τῶν ἄλλων τεχνῶν. Χρὴ οὖν καὶ σὲ ὑπὲρ τῆς σωφροσύνης, ἐπειδὴ φὴς 29.
αὐτὴν ἑαυτοῦ ἐπιστήμην εἶναι, ἔχειν εἰπεῖν ἐρωτη-

---

28. Ἔστιν, ἔφη — [Vulgo Ἔστιν, ὡς ἔφη, unde acute Heindorfius fecerat Ἔστιν, ὦ Σώκρατες, ἔφη. Nunc ὡς illud in unico Par. *E* inventum cum Be. ejecimus.]

28. εἰ ἀποδέχει τοῦτο. Cornar.: *num concedis hoc?* Legit igitur ἢ ἀποδέχει, suffragante Ficino: *accipis hoc?* Equidem hoc εἰ abesse olim malebam, v. ad §. 29. fin., nunc tueor. De rep. III. p. 394. c. ἡ δ' αὖ (ποίησις) δι' ἀμφοτέρων (ἐστὶν) ἔν τε τῇ τῶν ἐπῶν ποιήσει, πολλαχοῦ δὲ καὶ ἄλλοθι, εἴ μοι (μου?) μανθάνεις. Ἀλλὰ ξυνίημι, ἔφη. Conf. Hipp. Mai. §. 50. fin.

28. Ὡσαύτως δὲ καὶ τῶν ἄλλων τεχνῶν. In his aut supplendum ex prioribus εἴποιμ' ἂν σοι τὸ ἔργον, aut, quod malim, vertendum hoc: *ac similiter in ceteris quoque artibus;* quae genitivum adhibendi ratio non caret exemplis. De rep. V. p. 470. a. Τί δέ; γῆς τε τμήσεως τῆς Ἑλληνικῆς καὶ οἰκιῶν ἐμπρήσεως, ποῖόν τί σοι δράσουσιν οἱ στρατιῶται πρὸς τοὺς πολεμίους; Phaedo p. 78. d. Τί δέ; τῶν πολλῶν καλῶν, οἷον ἀνθρώπων ἢ ἵππων — ἆρα κατὰ τὰ αὐτὰ ἔχει etc.; in quo genere vulgo περὶ subaudiendum dicunt interpretes.

§. 29. Χρὴ οὖν καὶ σὲ ὑπὲρ τῆς σωφροσύνης — [In ed. min. Heindorfius corrigendum suadebat περὶ τῆς σ. Vide

θέντα, Ὦ Κριτία, σωφροσύνη, ἐπιστήμη οὖσα ἑαυτοῦ, τί καλὸν ἡμῖν ἔργον ἀπεργάζεται καὶ ἄξιον τοῦ
e. ὀνόματος; Ἴθι οὖν εἰπέ. Ἀλλ', ὦ Σώκρατες, ἔφη, οὐκ ὀρθῶς ζητεῖς. Οὐ γὰρ ὁμοία αὕτη πέφυκε ταῖς ἄλλαις ἐπιστήμαις, οὐδέ γε αἱ ἄλλαι ἀλλήλαις, σὺ δ' ὡς ὁμοίων οὐσῶν ποιεῖ τὴν ζήτησιν. Ἐπεὶ λέγε μοι, ἔφη, τῆς λογιστικῆς τέχνης ἢ τῆς γεωμετρικῆς τί ἐστι τοιοῦτον ἔργον, οἷον οἰκία οἰκοδομικῆς, ἢ ἱμάτιον ὑφαντικῆς, ἢ ἄλλα τοιαῦτα ἔργα, ἃ πολλὰ ἄν
p. 166. a. τις ἔχοι πολλῶν τεχνῶν δεῖξαι. Ἔχεις οὖν μοι καὶ σὺ τούτων τοιοῦτόν τι ἔργον δεῖξαι; Ἀλλ' οὐχ ἕξεις. Καὶ ἐγὼ εἶπον, ὅτι Ἀληθῆ λέγεις, ἀλλὰ τόδε σοι ἔχω δεῖξαι, τίνος ἐστὶν ἐπιστήμη ἑκάστη τούτων τῶν ἐπιστημῶν, ὃ τυγχάνει ὂν ἄλλο αὐτῆς τῆς ἐπιστήμης. Οἷον ἡ λογιστικὴ ἐστί που τοῦ ἀρτίου καὶ τοῦ περιττοῦ, πλήθους ὅπως ἔχει πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα· ἢ γάρ; Πανύ γε, ἔφη. Οὐκοῦν ἑτέρου ὄντος τοῦ περιττοῦ καὶ ἀρτίου αὐτῆς τῆς λογιστικῆς;

---

tamen Ind. ad Demosth. Midianam v. ὑπέρ.] οὐδέ γε αἱ ἄλλαι ἀλλήλαις — ἀλλήλαις reposui pro vitioso ἄλλαις.

29. ἀλλὰ τόδε σοι ἔχω δεῖξαι — *Sed hoc tibi possum monstrare, quidnam sibi harum unaquaeque artium subiectum habeat, velut materiam, quam tractet, quod sit ab ipsa arte diversum.* In claro hoc usu miror Stephanum, cum Ficinum parum intelligeret, de loco ita mutando cogitasse: οὑτινός ἐστιν ἐπιστήμη — ὅτι τυγχάνει —. Οἷον ἡ λογιστικὴ — Gorg. p. 451. c. Τὰ μὲν ἄλλα καθάπερ ἡ ἀριθμητικὴ καὶ ἡ λογιστικὴ ἔχει· περὶ τὸ αὐτὸ γάρ ἐστι, τό τε ἄρτιον καὶ τὸ περιττόν· διαφέρει δὲ τοσοῦτον, ὅτι καὶ πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα πῶς ἔχει πλήθους ἐπισκοπεῖ τὸ περιττὸν καὶ τὸ ἄρτιον ἡ λογιστική. Nam αὑτὰ pro αὐτὰ et ibi scribendum, et hic

Πῶς δ' οὔ; Καὶ μὴν αὖ ἡ στατικὴ τοῦ βαρυτέρου τε b.
καὶ κουφοτέρου σταθμοῦ ἐστι στατική, ἕτερον δέ
ἐστι τὸ βαρύ τε καὶ τὸ κοῦφον τῆς στατικῆς αὐτῆς.
Ξυγχωρεῖς; Ἔγωγε. Λέγε δή, καὶ ἡ σωφροσύνη 30.
τίνος ἐστὶν ἐπιστήμη ὃ τυγχάνει ἕτερον ὂν αὐτῆς
τῆς σωφροσύνης; Τοῦτό ἐστιν ἐκεῖνο, ἔφη, ὦ Σώ-
κρατες· ἐπ' αὐτὸ ἥκεις ἐρευνῶν, ὅτῳ διαφέρει πασῶν
τῶν ἐπιστημῶν ἡ σωφροσύνη· σὺ δὲ ὁμοιότητά τινα
ζητεῖς αὐτῆς ταῖς ἄλλαις· τὸ δ' οὐκ ἔστιν οὕτως, ἀλλ' c.
αἱ μὲν ἄλλαι πᾶσαι ἄλλου εἰσὶν ἐπιστῆμαι, ἑαυτῶν
δ' οὔ· ἡ δὲ μόνη τῶν τε ἄλλων ἐπιστημῶν ἐπιστήμη
ἐστὶ καὶ αὐτὴ ἑαυτῆς. Καὶ ταῦτά σε πολλοῦ δεῖ
λελῆθέναι. Ἀλλὰ γάρ, οἶμαι, ὃ ἄρτι οὐκ ἔφησθα
ποιεῖν, τοῦτο ποιεῖς· ἐμὲ γὰρ ἐπιχειρεῖς ἐλέγχειν,
ἐάσας περὶ οὗ ὁ λόγος ἐστίν. Οἷον, ἦν δ' ἐγώ, ποι-
εῖς ἡγούμενος, εἰ ἐτιμάλιστα σὲ ἐλέγχω, ἄλλου τινὸς

---

reposui. Mox in verbis, *Καὶ μὴν αὖ ἡ στατικὴ — στατικὴ*, vereor ne posterius *στατικὴ* librario sit tribuendum. Porro istud *ξυγχωρεῖς* recte cum Ficino Stephanus a praegressis seiunxit. Ita Lysid. §. 26. *ὁ δὲ κακὸς οὔτε ἀγαθῷ οὔτε κακῷ — εἰς φιλίαν ἔρχεται. Συνδοκεῖ σοι;* Hipp. Mai. §. 43. *δῆλον ὅτι οὐκ ἂν καλὸν εἴη. Ὁμολογήσομεν;* atque saepius alibi.

§. 30. *Τοῦτό ἐστιν ἐκεῖνο — Hoc ipsum est, inquit, o Socrates. Ad id ipsum sciscitando pervenisti, quanam re ab omnibus artibus temperantia differat.* De formula *τοῦτ' ἔστιν ἐκεῖνο* vid. Dorvill ad Charit. p. 180. et cf. infr. ad Phaedr. 40. *ἐπ' αὐτὸ*, *ad ipsum illud* (vid. ad Lysid. §. 2.), quod Cornarius h. l. permutabat cum illo *εἰς ταὐτόν*. [*ὅτῳ διαφέρει*, Sic Be. e Clark. et Vat. Vulgo *τῷ*.]

30. *Οἷον, ἦν δ' ἐγώ, ποιεῖς ἡγούμενος* — Inepte vulgo post *ποιεῖς* distinguitur. Lenior haec mirandi et reprehendendi

ἕνεκα ἐλέγχειν ἢ οὗπερ ἕνεκα κἂν ἐμαυτὸν διερευνῶ-
μην τί λέγω, φοβούμενος μήποτε λάθω οἰόμενος μέν
d. τι εἰδέναι, εἰδὼς δὲ μή. Καὶ νῦν δὴ οὖν ἔγωγέ
φημι τοῦτο ποιεῖν, τὸν λόγον σκοπεῖν, μάλιστα
μὲν ἐμαυτοῦ ἕνεκα, ἴσως δὲ δὴ καὶ τῶν ἄλλων ἐπι-
τηδείων. Ἦ οὐ κοινὸν οἴει ἀγαθὸν εἶναι σχεδόν τι
πᾶσιν ἀνθρώποις, γίγνεσθαι καταφανὲς ἕκαστον τῶν
31. ὄντων ὅπη ἔχει; Καὶ μάλα, ἦ δ' ὅς, ἔγωγε, ὦ Σω-
κρατες. Θαῤῥῶν τοίνυν, ἦν δ' ἐγώ, ὦ μακάριε,
ἀποκρινόμενος τὸ ἐρωτώμενον ὅπη σοι φαίνεται,
e. ἔα χαίρειν, εἴτε Κριτίας ἐστὶν εἴτε Σωκράτης ὁ ἐλεγ-
χόμενος· ἀλλ' αὐτῷ προσέχων τὸν νοῦν τῷ λόγῳ σκο-
πεῖν, ὅπη ποτὲ ἐκβήσεται ἐλεγχόμενος. Ἀλλὰ, ἔφη,
ποιήσω οὕτω. Δοκεῖς γάρ μοι μέτρια λέγειν. Λέγε
τοίνυν, ἦν δ' ἐγώ, περὶ τῆς σωφροσύνης πῶς λέγεις.
Λέγω τοίνυν, ἦ δ' ὅς, ὅτι μόνη τῶν ἄλλων ἐπιστη-
μῶν αὐτή τε αὑτῆς ἐστι καὶ τῶν ἄλλων ἐπιστημῶν
ἐπιστήμη. Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ ἀνεπιστημοσύ-
νης ἐπιστήμη ἂν εἴη, εἴπερ καὶ ἐπιστήμης; Πάνυ γε,
p. 167. a. ἔφη. Ὁ ἄρα σώφρων μόνος αὐτός τε ἑαυτὸν γνώ-
σεται καὶ οἷός τε ἔσται ἐξετάσαι τί τε τυγχάνει εἰ-

---

formula quam illa *τί μαθὼν ἡγεῖ* —: de rep. V. p. 450. a. *Οἷον — εἰργάσασθε ἐπιλαβόμενοί μου.* Ac similiter, quanquam paullulum mutata structura, Alcib. I. 21. *Οἷον τοῦτο ποιεῖς· εἶτι μὴ ὀρθῶς λέγεις — οἴει δὴ* etc. [Mox pro *διερευνῴην* medium reposui e Clark. Vat. Par. G. *Buttm.*]

§. 31. *ἀλλ' αὐτῷ προσέχων — σκοπεῖν.* Imperativum *σκόπει* h. l. utique praetulerim, quanquam ferri potest infinitivus: v. ad Lysid. §. 18.

δῶς καὶ τί μὴ, καὶ τοὺς ἄλλους ὡσαύτως δυνατὸς ἔσται ἐπισκοπεῖν τί τις οἶδε καὶ οἴεται, εἴπερ οἶδε, καὶ τί αὖ τις οἴεται μὲν εἰδέναι, οἶδε δ' οὔ· τῶν δὲ ἄλλων οὐδείς. Καὶ ἔστι δὴ τοῦτο τὸ σωφρονεῖν τε καὶ σωφροσύνη καὶ τὸ ἑαυτὸν αὐτὸν γιγνώσκειν, τὸ εἰδέναι ἅ τε οἶδε καὶ ἃ μὴ οἶδεν. Ἆρα ταῦτά ἐστιν ἃ λέγεις; Ἔγωγ', ἔφη. Πάλιν τοίνυν, ἦν δ' ἐγὼ, 32.
τὸ τρίτον τῷ Σωτῆρι ὥσπερ ἐξ ἀρχῆς ἐπισκεψώμεθα, πρῶτον μὲν, εἰ δυνατόν ἐστι τοῦτο εἶναι ἢ οὔ, τὸ b.
ἃ οἶδε καὶ ἃ μὴ οἶδεν εἰδέναι ὅτι οἶδε καὶ ὅτι οὐκ οἶδεν· ἔπειτα, εἰ ὁτιμάλιστα δυνατὸν, τίς ἂν εἴη ἡμῖν ὠφέλεια εἰδόσιν αὐτό. Ἀλλὰ χρὴ, ἔφη, σκοπεῖν. Ἴθι δὴ, ἔφην ἐγὼ, ὦ Κριτία, σκέψαι, ἐάν

---

31. *καὶ τί αὖ τις οἴεται* — [Hanc meam vulgati *αὐτὸς οἴεται* emendationem, jam olim Heindorfio probatam, nunc textui eo confidentius immitto, quod voculam *αὖ* saltem, cuius sane ratio est certissima, Be. adoptavit sine voce *τις*. In proxime superioribus autem inter *οἴεται* et *εἴπερ* inserendum esse *εἰδέναι*, hanc quoque conjecturam probabilem quidem Heindorfius sed non perinde necessariam arbitrabatur. *Buttm.*] — *καὶ τὸ ἑαυτὸν αὐτὸν γιγνώσκειν*. Reposui *αὐτὸν* pro vulgato *αὐτὸ* ex necessaria Stephani emendatione [quam codd. aliquot confirmant]. Nisi forte hoc omnino est eiiciendum. Ita *τὸ γιγνώσκειν ἑαυτὸν* adhibuerat absque *αὐτὸν* §. 26.

§. 32. *Πάλιν τοίνυν, ἦν δ' ἐγὼ, τὸ τρίτον τῷ Σωτῆρι* — Schol. ad Pindar. Isthm. IV. 10. *Τὸν τρίτον κρατῆρα Διὸς Σωτῆρος ἔλεγον.* — *Τὸν μὲν γὰρ πρῶτον Διὸς Ὀλυμπίου ἐκίρνασαν· τὸν δὲ δεύτερον Ἡρώων· τὸν δὲ τρίτον Διὸς Σωτῆρος κ. τ. α.* Conf. Hesych. v. *Τρίτος κρατὴρ* ibiq. intpp. atque Schol. Plat. ad Phileb. p. 43. Piers. ad Moer. p. 72. Ipsam proverbii huius vim, de qua nugatur Erasmus Adag. p. 564., ita declarat Schol. ad h. l. p. 92. *τὸ τρίτον τῷ Σωτῆρι ἐπὶ τῶν τελείως τι πραττόντων. τὰς γὰρ τρίτας σπονδὰς καὶ τὸν*

τι περὶ αὐτῶν εὐπορώτερος φανῇς ἐμοῦ. Ἐγὼ μὲν γὰρ ἀπορῶ. Τί δὲ ἀπορῶ, φράσω σοι; Πάνυ γ', ἔφη. Ἄλλο τι οὖν, ἦν δ' ἐγώ, πάντα ταῦτα ἂν εἴη, εἰ ἔστιν, ὅπερ σὺ νῦν δὴ ἔλεγες, μία τις ἐπι-
c. στήμη, ἢ οὐκ ἄλλου τινός ἐστιν ἢ ἑαυτῆς τε καὶ τῶν ἄλλων ἐπιστημῶν ἐπιστήμη, καὶ δὴ καὶ ἀνεπιστημοσύνης ἡ αὐτὴ αὕτη; Πάνυ γε. Ἴδε δή, ὡς ἄτοπον ἐπιχειροῦμεν, ὦ ἑταῖρε, λέγειν. Ἐν ἄλλοις γάρ που τὸ αὐτὸ τοῦτο ἐὰν σκοπῇς, δόξει σοι, ὡς ἐγῷμαι, ἀδύνατον εἶναι. Πῶς δὴ καὶ ποῦ; Ἐν τοῖσδε.

τρίτον κρατῆρα ἐκίρνων τῷ Διὶ τῷ Σωτῆρι. τέλειος γὰρ ὁ τρίτος ἀριθμός, ἐπειδὴ καὶ ἀρχὴν καὶ μέσην καὶ τέλος ἔχει etc. Mihi illam declarare videtur vel unus Platonis locus in Phileb. p. 66. d. Σ. Ἴθι δή, τὸ τρίτον τῷ Σωτῆρι τὸν αὐτὸν διαμαρτυράμενοι λόγον ἐπεξέλθωμεν. Πρ. Ποῖον δή; Σ. Φίληβος ταγαθὸν ἐτίθετο ἡμῖν ἡδονὴν εἶναι πᾶσαν καὶ παντελῆ. Πρ. Τὸ τρίτον, ὦ Σώκρ., ὡς ἔοικας, ἔλεγες ἀρτίως τὸν ἐξ ἀρχῆς ἐπαναλαβεῖν δεῖν λόγον. His si conferas illa Epist. VII. p. 340. a. Ἐλθὼν οὖν τὸ τρίτον, τῷ Σωτῆρι τοῦτόγε οὖν ἔπραξα ὄντως, et de rep. IX. p. 583. a. Ταῦτα μὲν τοίνυν οὕτω δὴ ἐφεξῆς ἂν εἴη καὶ δὶς νενικηκὼς ὁ δίκαιος τὸν ἄδικον· τὸ δὲ τρίτον ὀλυμπικῶς τῷ Σωτῆρί τε καὶ τῷ Ὀλυμπίῳ Διὶ ἄθρει, ὅτι οὐδὲ παναληθής ἐστιν ἡ τῶν ἄλλων ἡδονὴ πλὴν τῆς τοῦ φρονίμου· proverbium hoc usurpari apparet pro simplici τὸ τρίτον, ut nostro sermone explanem: *zum dritten male, da aller guten Dinge drei sind,* Instituitur autem h. l. tertia quaedam Socratis cum Critia disputatio. Quippe prima fuerat de eo, an ἡ σωφροσύνη sit τὸ τὰ ἑαυτοῦ πράττειν· mox alia virtutis huius finitione a Critia proposita, ut illa esset cognitio sui, altera orsa erat disputatio. Nunc igitur, ut tertio rem velut a principio consideret, Critiam hortatur Socrates. Ἄλλο τι οὖν, ἦν δ' ἐγώ — εἰ ἔστιν i. e. *si sunt, nisi vana sunt commenta.* Nam ἀδύνατα esse illa πάντα, mox demonstrabitur.

Ἐννόει γὰρ, εἴ σοι δοκεῖ ὄψις τις εἶναι, ἢ, ὧν μὲν 33.
αἱ ἄλλαι ὄψεις εἰσὶν, οὐκ ἔστι τούτων ὄψις, ἑαυτῆς
δὲ καὶ τῶν ἄλλων ὄψεων ὄψις ἐστὶ, καὶ μὴ ὄψεων
ὡσαύτως, καὶ χρῶμα μὲν ὁρᾷ οὐδὲν, ὄψις οὖσα,
αὑτὴν δὲ καὶ τὰς ἄλλας ὄψεις. Δοκεῖ τίς σοι εἶναι d.
τοιαύτη; Μὰ Δί' οὐκ ἔμοιγε. Τί δὲ ἀκοὴν, ἢ φω-
νῆς μὲν οὐδεμιᾶς ἀκούει, αὑτῆς δὲ καὶ τῶν ἄλλων
ἀκοῶν ἀκούει καὶ τῶν μὴ ἀκοῶν; Οὐδὲ τοῦτο. Ξυλ-
λήβδην δὴ σκόπει περὶ πασῶν τῶν αἰσθήσεων, εἴ τίς
σοι δοκεῖ εἶναι αἰσθήσεων μὲν αἴσθησις καὶ αὑτῆς,
ὧν δὲ δὴ αἱ ἄλλαι αἰσθήσεις αἰσθάνονται μηδενὸς
αἰσθανομένη. Οὐκ ἔμοιγε. Ἀλλ' ἐπιθυμία δοκεῖ e.
τίς σοι εἶναι, ἥτις ἡδονῆς μὲν οὐδεμιᾶς ἐστὶν ἐπιθυ-
μία, αὑτῆς δὲ καὶ τῶν ἄλλων ἐπιθυμιῶν; Οὐ δῆτα.

---

§. 33. Ἐννόει γὰρ — — ὡσαύτως. [In his μὴ ὄψεων Be. ex optimis: vulgo μὴ ὄψεως.] Inepte in vulgatis ὡσαύτως iunctum verbis seqq., ad quae si esset trahendum, scriptum legeremus potius καὶ ὡσαύτως χρῶμα —. Ita autem in fine propositionis positum ὡσαύτως obvium est ubivis. Mox venuste et dialogi stilo convenienter per interrogationem iteratur structurae initium: Ἐννόει γὰρ εἴ σοι δοκεῖ ὄψις τις εἶναι — Δοκεῖ τίς σοι εἶναι τοιαύτη; Meno §. 2. ἢ δοκεῖ σοι οἷόντε εἶναι, ὅστις Μένωνα μὴ γιγνώσκῃ τοπαράπαν ὅστις ἐστὶ, τοῦτο εἰδέναι, εἴτε καλὸς, εἴτε πλούσιος, εἴτε καὶ γενναῖός ἐστιν, εἴτε καὶ τἀναντία τούτων; Δοκεῖ σοι οἷόντε εἶναι; Ibid. §. 27. Οὐκοῦν καὶ περὶ αὐλήσεως καὶ τῶν ἄλλων τὰ αὐτὰ ταῦτα πολλῆ ἄνοιά ἐστι — Οὐ πολλή σοι δοκεῖ ἀλογία εἶναι;

33. Τί δὲ ἀκοὴν — Exspectabas potius ἀκοῆς, subaudiendo ex proxime antecedentibus δοκεῖ σοι εἶναι; sed mente supplendum τί δεῖ λέγειν vel tale quid. Tim. p. 18. a. Τί δαὶ τροφήν; ἆρ' οὐ γυμναστικῇ καὶ μουσικῇ μαθήμασί τε ὅσοις προσήκει, τούτοις ἐν ἅπασι τεθράφθαι; de legg. I. p. 639. b. Τί δὲ ἄρχων στρατοπέδων; — — ac deinde Τί δὲ ἐπαινέτην ἢ

Οὐδὲ μὴν βούλησις, ὡς ἐγῷμαι, ἢ ἀγαθὸν μὲν οὐδὲν βούλεται, αὐτὴν δὲ καὶ τὰς ἄλλας βουλήσεις βούλεται. Οὐ γὰρ οὖν. Ἔρωτα δὲ φαίης ἄν τινα εἶναι τοιοῦτον, ὃς τυγχάνει ὢν ἔρως καλοῦ μὲν οὐδενὸς, αὐτοῦ δὲ καὶ τῶν ἄλλων ἐρώτων; Οὐκ, ἔφη,
p. 168. a. ἔγωγε. Φόβον δὲ ἤδη τινὰ κατανενόηκας, ὃς ἑαυτὸν μὲν καὶ τοὺς ἄλλους φόβους φοβεῖται, τῶν δεινῶν δ' οὐδὲ ἓν φοβεῖται; Οὐ κατανενόηκα, ἔφη.
34. Δόξαν δὲ, δοξῶν δόξαν καὶ αὐτῆς, ὧν δὲ αἱ ἄλλαι δοξάζουσι, μηδὲν δοξάζουσαν; Οὐδαμῶς. Ἀλλ' ἐπιστήμην, ὡς ἔοικε, φαμέν τινα εἶναι τοιαύτην, ἥτις μαθήματος μὲν οὐδενός ἐστιν ἐπιστήμη, αὐτῆς δὲ καὶ τῶν ἄλλων ἐπιστημῶν ἐπιστήμη. Φαμὲν γάρ. Οὐκοῦν ἄτοπον, εἰ ἄρα καὶ ἔστι; Μηδὲν γάρ πω διισχυριζώμεθα, ὡς οὐκ ἔστιν, ἀλλ' εἰ ἔστιν ἐπισκο-
b. πῶμεν. Ὀρθῶς λέγεις. Φέρε δὴ, ἔστι μὲν αὕτη ἡ ἐπιστήμη τινὸς ἐπιστήμη, καὶ ἔχει τινὰ τοιαύτην δύναμιν ὥστε τινὸς εἶναι· ἦ γάρ; Πάνυ γε. Καὶ γὰρ τὸ μεῖζον φαμὲν τοιαύτην τινὰ ἔχειν δύναμιν, ὥστε τινὸς εἶναι μεῖζον; Ἔχει γάρ. Οὐκοῦν ἐλάττονός τινος, εἴπερ ἔσται μεῖζον; Ἀνάγκη. Εἰ οὖν τι εὕροιμεν μεῖζον, ὃ τῶν μὲν μειζόνων ἐστὶ μεῖζον καὶ ἑαυτοῦ, ὧν δε τἆλλα μείζω ἐστὶ, μηδενὸς μεῖζον, πάντως δὴ ἄν που ἐκεῖνό γ' αὐτῷ ὑπάρχοι, εἰ-

---

ψέκτην κοινωνίας ἡστινοσοῦν; Xenoph. Mem. III, 1, 20. Τί δὲ τοὺς κινδυνεύειν μέλλοντας; ἆρα τοὺς φιλοτιμοτάτους προτακτέον; Plenius Plat. Phaedr. §. 118. Τί δὲ τὸν μελίγηρυν Ἄδραστον οἰόμεθα ἢ καὶ Περικλέα — — πότερον καλεπῶς ἂν αὐτοὺς — ῥῆμά τι εἰπεῖν etc.

περ ἑαυτοῦ μεῖζον εἴη, καὶ ἔλαττον ἑαυτοῦ εἶναι. Ἦ c.
οὔ; Πολλὴ ἀναγκη, ἔφη, ὦ Σώκρατες. Οὐκοῦν 35.
καὶ εἴ τι διπλάσιόν ἐστι τῶν τε ἄλλων διπλασίων καὶ
ἑαυτοῦ, ἡμίσεος δήπου ὄντος ἑαυτοῦ τε καὶ τῶν ἄλ-
λων διπλάσιον ἂν εἴη. Οὐ γάρ ἐστί που ἄλλου δι-
πλάσιον ἢ ἡμίσεος. Ἀληθῆ. Πλεῖον δὲ αὐτοῦ ὂν
οὐ καὶ ἔλαττον ἔσται, καὶ βαρύτερον ὂν κουφότερον, d.
καὶ πρεσβύτερον ὂν νεώτερον, καὶ τἆλλα πάντα ὡσαύ-
τως, ὅ,τι περ ἂν τὴν ἑαυτοῦ δύναμιν πρὸς ἑαυτὸ
ἔχῃ, οὐ καὶ ἐκείνην ἕξει τὴν οὐσίαν, πρὸς ἣν ἡ δύνα-
μις αὐτοῦ ἦν; Λέγω δὲ τὸ τοιόνδε· οἷον ἡ ἀκοὴ,
φαμέν, οὐκ ἄλλου τινὸς ἦν ἀκοὴ ἢ φωνῆς· ἦ γάρ;
Ναί. Οὐκοῦν εἴπερ αὐτὴ αὑτῆς ἀκούσεται, φωνὴν
ἐχούσης ἑαυτῆς ἀκούσεται· Οὐ γὰρ ἂν ἄλλως ἀκού-
σειε. Πολλὴ ἀνάγκη. Καὶ ἡ ὄψις γέ που, ὦ ἄρι-
στε, εἴπερ ὄψεται αὐτὴ ἑαυτὴν, χρῶμά τι αὐτὴν e.
ἀνάγκη ἔχειν. Ἄχρων γὰρ ὄψις οὐδέν ἂν μήποτε
ἴδῃ. Οὐ γὰρ οὖν. Ὁρᾷς οὖν, ὦ Κριτία, ὅτι, ὅσα
διειλήλύθαμεν, τὰ μὲν αὐτῶν ἀδύνατα παντάπασι
φαίνεται ἡμῖν, τὰ δ' ἀπιστεῖται σφόδρα μήποτ' ἂν
τὴν ἑαυτῶν δύναμιν πρὸς ἑαυτὰ σχεῖν. Μεγέθη μὲν
γὰρ καὶ πλήθη καὶ τὰ τοιαῦτα παντάπασιν ἀδύνα-
τον· ἢ οὐχί; Πάνυ γε. Ἀκοὴ δ' αὖ καὶ ὄψις καὶ 36.
ἔτι γε κίνησις αὐτὴ ἑαυτὴν κινεῖν καὶ θερμότης καί-

---

§. 36. Ἀκοὴ δ' αὖ — Hic additamenta illa αὐτὴ ἑαυτὴν κινεῖν et καίειν ne offendant, puta, τοῖς μὲν ἀπιστίαν παράσχοι αὐτὴ ἑαυτὴν κινεῖν idem esse quod ἀπιστοῖτο κινεῖν. Etiam hoc αὖ in verbis πάντα αὖ τὰ τοιαῦτα superfluum videri po-

εἰν καὶ πάντα αὖ τὰ τοιαῦτα τοῖς μὲν ἀπιστίαν ἂν
p. 169. a. παράσχοι, ἴσως δέ τισιν οὔ. Μεγάλου δή τινος, ὦ
φίλε, ἀνδρὸς δεῖ, ὅστις τοῦτο κατὰ πάντων ἱκανῶς
διαιρήσεται, πότερον οὐδὲν τῶν ὄντων τὴν αὑτοῖ
δύναμιν αὐτὸ πρὸς ἑαυτὸ πέφυκεν ἔχειν, πλὴν ἐπι-
στήμης, ἀλλὰ πρὸς ἄλλο, ἢ τὰ μέν, τὰ δ' οὔ· καὶ
εἰ ἔστιν αὖ ἄτινα αὐτὰ πρὸς ἑαυτὰ ἔχει, ἆρ' ἐν τού-
τοις ἐστὶν ἐπιστήμη, ἣν δὴ ἡμεῖς σωφροσύνην φαμὲν
εἶναι. Ἐγὼ μὲν οὐ πιστεύω ἐμαυτῷ ἱκανὸς εἶναι
ταῦτα διελέσθαι, διὸ καὶ, οὔτ' εἰ δυνατόν ἐστι τοῦτο
b. γενέσθαι, ἐπιστήμης ἐπιστήμην εἶναι, ἔχω διισχυρί-
σασθαι, οὔτ' εἰ ὁτιμάλιστά ἐστι, σωφροσύνην ἀπο-
δέχομαι αὐτὸ εἶναι, πρὶν ἂν ἐπισκέψωμαι, εἴτε τι
ἂν ἡμᾶς ὠφελοῖ, τοιοῦτον ὄν, εἴτε μή. Τὴν γὰρ
οὖν δὴ σωφροσύνην ὠφέλιμόν τι καὶ ἀγαθὸν μαν-
τεύομαι εἶναι. Σὺ οὖν, ὦ παῖ Καλλαίσχρου, τί-
θεσαι γὰρ σωφροσύνην τοῦτ' εἶναι, ἐπιστήμην ἐπι-
στήμης καὶ δὴ καὶ ἀνεπιστημοσύνης, πρῶτον μὲν

---

test; quod non incommode tamen repetitum est e superiori illo Ἀκοὴ δ' αὖ —. Mox ante παράσχοι voculam ἄν inserui.

36. ἆρ' ἐν τούτοις ἐστὶν ἐπιστήμη, ἣν δὴ — Accuratius ἡ ἐπιστήμη. In illis Ἐγὼ μὲν οὐ πιστεύω malebat amicus ἐγὼ μὲν οὖν οὔ. Sed sic Lysid. §. 43. ἐγὼ μὲν οὐκέτι ἔχω τί λέγω. Amator. p. 134. a. Ἐγὼ μέν, ὦ Σώκρατες, ἔφη, ᾤμην, — Xenoph. Cyrop. II, 2, 10. Ἐγὼ μὲν οὐκ οἶδα —, quibus locis, uti aliis quoque quamplurimis, part. δὲ in seqq. non infertur.

36. Σὺ οὖν, ὦ παῖ Καλλαίσχρου — In his verba ἀποδεῖξαί σε unde huc sint illata, nescio. Hoc video, esse ea importune prorsus inculcata et eiicienda utique. Videlicet hoc dici a Platone: *primum ostende, esse posse* (ὅτι δυνατὸν) *quod modo dicebam; deinde praeterquam quod δυνατὸν sit,*

τοῦτο ἔνδειξαι, ὅτι δυνατὸν ἀποδεῖξαί σε ὃ νῦν δὴ ἔλεγον, ἔπειτα πρὸς τῷ δυνατῷ, ὅτι καὶ ὠφέλι- c.
μον, κἀμὲ τάχ' ἂν ἀποπληρώσαις, ὡς ὀρθῶς λέγεις περὶ σωφροσύνης, ὅ ἐστι. Καὶ ὁ Κριτίας ἀκού- 37.
σας ταῦτα καὶ ἰδών με ἀποροῦντα, ὥσπερ οἱ τοὺς χασμωμένους καταντικρὺ ὁρῶντες ταὐτὸν τοῦτο ξυμπάσχουσι, κἀκεῖνος ἔδοξέ μοι ὑπ' ἐμοῦ ἀπορούμενος ἀναγκασθῆναι καὶ αὐτὸς ἁλῶναι ὑπὸ ἀπορίας. Ἅτε οὖν εὐδοκιμῶν ἑκάστοτε ᾐσχύνετο τοὺς παρόντας, καὶ οὔτε ξυγχωρῆσαί μοι ἤθελεν ἀδύνατος εἶναι διελέσθαι ἃ προὐκαλούμην αὐτὸν, ἔλεγέ τε οὐδὲν σαφὲς, d.
ἐπικαλύπτων τὴν ἀπορίαν. Κἀγὼ, ἡμῖν ἵνα ὁ λόγος προΐοι, εἶπον, Ἀλλ' εἰ δοκεῖ, ὦ Κριτία, νῦν μὲν τοῦτο ξυγχωρήσωμεν, δυνατὸν εἶναι γενέσθαι ἐπιστήμην ἐπιστήμης, αὖθις δὲ ἐπισκεψόμεθα εἴτε οὕτως ἔχει εἴτε μή. Ἴθι δὴ οὖν, εἰ ὁτιμάλιστα δυνατὸν

---

utile esse: hanc mentem eius esse, vincit ipsa argumentatio: quippe recurrat hic necesse est superior illa sententia διὸ καὶ οὔτ' εἰ δυνατόν ἐστι τοῦτο γενέσθαι, ἐπιστήμης ἐπιστήμην εἶναι, ἔχω διισχυρίσασθαι, οὔτ' εἰ ὁτιμάλιστά ἐστι, σωφροσύνην αὐτὸ ἀποδέχομαι εἶναι, πρὶν ἂν ἐπισκέψωμαι, εἴτε τι ἂν ἡμᾶς ὠφελοῖ, τοιοῦτον ὄν, εἴτε μή: vincit Ficini auctoritas ita vertentis: *ostende primum, possibile hoc esse quod supra dicebam: postea praeter id quod possibile, esse et conferens:* vincit denique ipse loquendi usus: Sympos. p. 195. c. Νέος μὲν οὖν ἐστι· πρὸς δὲ τῷ νέῳ ἁπαλός. Theaetet. p. 185. e. ὁ γὰρ καλῶς λέγων καλός τε κἀγαθός· πρὸς δὲ τῷ καλῷ εὐ ἐποίησάς με — de rep. X. p. 610. e. τὸν δ' ἔχοντα καὶ μάλα ζωτικὸν παρέχουσαν, καὶ πρός γε τῷ ζωτικῷ ἄγρυπνον· sic enim lego: vulgo πρός γέ τι τῷ ζωτ. vid. Lectt. Var.

§. 37. ἡμῖν ἵνα — Eadem metathesi Phileb. p. 43. d. καλλίοσιν ἵνα ὀνόμασι χρώμεθα. de rep. IV. p. 425 c. ἕκαστοι ἃ πρὸς ἀλλήλους συμβάλλουσιν.

τοῦτο, τί μᾶλλον οἷόν τέ ἐστιν εἰδέναι ἅ τέ τις οἶδε καὶ ἃ μή; Τοῦτο γὰρ δήπου ἔφαμεν εἶναι τὸ γιγνώσ-
38. κειν αὐτὸν καὶ σωφρονεῖν· ἦ γάρ; Πάνυ γε, ἦ
e. δ' ὅς, καὶ ξυμβαίνει γέ που, ὦ Σώκρατες. Εἰ γάρ τις ἔχει ἐπιστήμην, ἣ αὐτὴ αὑτὴν γιγνώσκει, τοιοῦτος ἂν αὐτὸς εἴη, οἷόν πέρ ἐστιν ὃ ἔχει· ὥσπερ ὅταν τάχος τις ἔχῃ, ταχὺς, καὶ ὅταν κάλλος, καλὸς, καὶ ὅταν γνῶσιν, γιγνώσκων· ὅταν δὲ δὴ γνῶσιν αὐτὴν αὑτῆς τις ἔχῃ, γιγνώσκων που αὐτὸς ἑαυτὸν τότε ἔσται. Οὐ τοῦτο, ἦν δ' ἐγὼ, ἀμφισβητῶ, ὡς οὐχ, ὅταν τὸ αὐτὸ γιγνῶσκόν τις ἔχῃ, αὐτὸς αὑτὸν γνώ-
σεται· ἀλλ' ἔχοντι τοῦτο τίς ἀνάγκη εἰδέναι ἅ τε οἶδε
p. 170. a. καὶ ἃ μὴ οἶδεν; Ὅτι, ὦ Σώκρατες, ταὐτόν ἐστι, τὸ αὐτὸ ἐκείνῳ. Ἴσως, ἔφην, ἀλλ' ἐγὼ κινδυνεύω ἀεὶ ὅμοιος εἶναι. Οὐ γὰρ αὖ μανθάνω, ὡς ἔστι τὸ αὐτὸ, ἃ οἶδεν εἰδέναι καὶ ἅ τις μὴ οἶδεν εἰδέναι.

---

§. 38. Ὅτι, ὦ Σώκρατες, ταὐτόν ἐστι, τὸ αὐτὸ ἐκείνῳ. Distinxi post ἐστὶ, ut in verbis τὸ αὐτὸ ἐκείνῳ epexegesis praegressi ταὐτὸν esset, locusque ab inepta tautologia liberaretur. Quanquam mihi dubium non est, quin Plato sic scripserit: ὅτι, ὦ Σώκρ., ταὐτόν ἐστι τοῦτο ἐκείνῳ, id quod Cornarius in versione expressit: *quia idem est hoc cum illo, o Socrates.* τοῦτο i. e. τὸ εἰδέναι ἅ τε οἶδε καὶ ἃ μὴ οἶδε, *scire, quid sit id, quod sciat ignoretve.* ἐκείνῳ int. τῷ γνῶναι ἑαυτὸν s. τῷ εἰδέναι ὅτι οἶδε καὶ ὅτι οὐκ οἶδε. — Mox ὅμοιος sc. αὐτὸς ἐμαυτῷ ad illam eius ἀπορίαν spectat. Sympos. p. 173. d. Ἀεὶ ὅμοιος εἶ, ὦ Ἀπολλόδωρε. Ἀεὶ γὰρ σαυτόν τε κακηγορεῖς καὶ τοὺς ἄλλους.

38. Οὐ γὰρ αὖ μανθάνω — τὸ αὐτὸ, int. ἐκείνῳ, quod repetendum ex proxime antecedentibus, ne quis hoc Socratem dicere putet, se non videre, qui sit τὸ ἃ οἶδεν εἰδέναι idem τῷ ἅ τις μὴ οἶδεν εἰδέναι. Quippe concedit ille, idem

Πῶς λέγεις, ἔφη; Ὧδε, ἦν δ' ἐγώ. Ἐπιστήμη που ἐπιστήμης οὖσα ἆρα πλεῖόν τι οἵα τ' ἔσται διαιρεῖν, ἢ ὅτι τούτων τόδε μὲν ἐπιστήμη, τόδε δ' οὐκ ἐπιστήμη; Οὐκ, ἀλλὰ τοσοῦτον. Ταὐτὸν οὖν ἐστιν ἐπιστήμη τε καὶ ἀνεπιστημοσύνη ὑγιεινοῦ καὶ ἐπιστήμη τε καὶ ἀνεπιστημοσύνη δικαίου; Οὐδαμῶς. Ἀλλὰ b.
τὸ μέν, οἶμαι, ἰατρική, τὸ δὲ πολιτική, τὸ δὲ οὐδὲν ἄλλο ἢ ἐπιστήμη. Πῶς γὰρ οὔ; Οὐκοῦν ἐὰν 39.
μὴ προσεπίστηταί τις τὸ ὑγιεινὸν καὶ τὸ δίκαιον, ἀλ-

---

esse τὸ γιγνώσκειν ἑαυτὸν atque τὸ εἰδέναι, ὅτι οἶδε καὶ ὅτι μὴ οἶδε· illud negat, qui se ipse norit, eundem scire, ἃ οἶδε καὶ ἃ μὴ οἶδεν. Ex quo post §. 39. illa infertur argumentationis huius conclusio: οὐκ ἄρα σωφρονεῖν τοῦτ' ἂν εἴη — — — οὐκ οἶδε μόνον. Ita quae haec primum intuenti inesse videtur ambiguitas, facile argumentationis tenore tollitur. In ipsis autem verbis vide an accurata ratio postulet τὸ αὐτὸ τὸ ἃ οἶδεν etc. — τόδε δ' οὐκ ἐπιστήμη. [Sic Be. e bonis aliquot: vulgo τὸ δ' οὐκ ἐ.]

38. Ταὐτὸν οὖν ἐστιν ἐπιστήμη — In his quoque maior etiam est ambiguitas. Nimirum si quis haec in hanc accipiat sententiam: *idemne igitur est scientia et inscientia sani, quod est scientia et inscientia iusti?* manca est oratio, neque duobus his membris respondent tria illa mox illata: ἀλλὰ τὸ μέν, οἶμαι, ἰατρική, τὸ δὲ πολιτική, τὸ δὲ οὐδὲν ἄλλο ἢ ἐπιστήμη: ex quo facile suboriatur suspicio, excidisse post δικαίου tertium hoc membrum καὶ ἐπιστήμη τε καὶ ἀνεπιστημοσύνη ἐπιστήμης. Veruntamen eadem in his est ratio, quae in prioribus: ταὐτὸν hic quoque referendum ad praegressum illud τὸ αὐτὸ γιγνῶσκον, vel potius ad proxime praecedens ἐπιστήμη ἐπιστήμης οὖσα. Verba autem Ἀλλὰ τὸ μέν, οἶμαι — ἐπιστήμη Socratis sunt, Πῶς γὰρ οὔ; Critiae. [In Ed. min. Heind. post ταὐτὸν οὖν de conjectura inseruit ταὐτῃ sic omnem loci difficultatem tolli censens.]

§. 39. Οὐκοῦν ἐὰν μὴ προσεπίστηταί — Haec ἅτε τοίτου μόνον ἔχων ἐπιστήμην pertinent ad sequentia, hoc sensu: *is, quatenus huius tantum scientiam habet, non est mirum, si,*

λὰ ἐπιστήμην μόνον γιγνώσκῃ, ἅτε τούτου μόνον ἔχων ἐπιστήμην, ὅτι μέν τι ἐπίσταται, καὶ ὅτι ἐπιστήμην τινὰ ἔχει, εἰκότως ἂν γιγνώσκοι καὶ περὶ αὐτοῦ καὶ περὶ τῶν ἄλλων· ἦ γάρ; Ναί. Ὅ,τι δὲ
c. γιγνώσκει, ταύτῃ τῇ ἐπιστήμῃ ὅπως εἴσεται; Γιγνώσκει γὰρ δὴ τὸ μὲν ὑγιεινὸν τῇ ἰατρικῇ, ἀλλ' οὐ σωφροσύνῃ, τὸ δ' ἁρμονικὸν μουσικῇ, ἀλλ' οὐ σωφροσύνῃ, τὸ δ' οἰκοδομικὸν οἰκοδομικῇ, ἀλλ' οὐ σωφροσύνῃ, καὶ οὕτω πάντα. Ἦ οὔ; Φαίνεται. Σωφροσύνη δὲ, εἴπερ μόνον ἐστὶν ἐπιστημιῶν ἐπιστήμη, πῶς εἴσεται, ὅτι τὸ ὑγιεινὸν γιγνώσκει ἢ ὅτι τὸ οἰκοδομικόν; Οὐδαμῶς. Οὐκ ἄρα εἴσεται, ὃ οἶδεν, ὁ τοῦτο ἀγνοῶν, ἀλλ' ὅτι οἶδε μόνον. Ἔοικεν. Οὐκ
d. ἄρα σωφρονεῖν τοῦτ' ἂν εἴη οὐδὲ σωφροσύνη, εἰδέναι ἅ τε οἶδε καὶ ἃ μὴ οἶδεν, ἀλλ', ὡς ἔοικεν, ὅτι οἶδε καὶ ὅτι οὐκ οἶδε μόνον. Κινδυνεύει. Οὐδὲ ἄλλον ἄρα οἷός τε ἔσται οὗτος ἐξετάσαι, φάσκοντά τι ἐπίστασθαι, πότερον ἐπίσταται ὃ φησιν ἐπίστασθαι ἢ οὐκ ἐπίσταται, ἀλλὰ τοσοῦτο μόνον, ὡς ἔοικε, γνώσεται, ὅτι ἔχει τινὰ ἐπιστήμην· ὅτου δέ γε, ἢ σω-

---

scire se et scientiam aliquam habere, norit et de se et de ceteris. ὅτι μέν τι ἐπίσταται. Vulgo μέντοι. [Confirmata emendatio e Clark. et plurimis aliis.] Mox in his Ὅ,τι δὲ γιγνώσκει, ταύτῃ τῇ ἐπιστήμῃ ὅπως εἴσεται; vulgo vitiose distinctum: ὅτι δὲ γιγνώσκει ταύτῃ τῇ ἐπιστήμῃ, ὅπως εἴσεται; quo perturbatur prorsus sententia. Hoc enim dicit: *quid autem sit id, quod cognoscat, illa scientia quomodo sciet?* In quibus ὅπως pro πῶς adhibitum. Conf. ad Lysid. §. 21. [Be. tamen hic reposuit πῶς e Par. G.]

39. Σωφροσύνη δὲ, εἴπερ — Vulgo σωφροσύνη casu recto, quo retento in verbis πῶς εἴσεται deest dativus ταύτῃ.

φροσύνη οὐ ποιήσει αὐτὸν γιγνώσκειν. Οὐ φαίνεται. Οὔτε ἄρα τὸν προσποιούμενον ἰατρὸν εἶναι, ὄντα δὲ μὴ, καὶ τὸν ὡς ἀληθῶς ὄντα οἷός τε ἔσται διακρίνειν, οὔτε ἄλλον οὐδένα τῶν ἐπιστημόνων καὶ μή. Σκεψώμεθα δὲ ἐκ τῶνδε· εἰ μέλλει ὁ σώφρων ἢ ὁστισοῦν ἄλλος τὸν ὡς ἀληθῶς ἰατρὸν διαγνώσεσθαι καὶ τὸν μὴ, ἆρ' οὐχ ὧδε ποιήσει· περὶ μὲν ἰατρικῆς δήπου αὐτῷ οὐ διαλέξεται. Οὐδὲν γὰρ ἐπαΐει, ὡς ἔφαμεν, ὁ ἰατρὸς ἀλλ' ἢ τὸ ὑγιεινὸν καὶ τὸ νοσῶδες. Ἦ οὔ; Ναὶ, οὕτω. Περὶ δέ γε ἐπιστήμης οὐδὲν οἶδεν, ἀλλὰ τοῦτο δὴ τῇ σωφροσύνῃ μόνῃ ἀπέδομεν. Ναί. Οὐδὲ περὶ ἰατρικῆς ἄρα οἶδεν ὁ ἰατρικὸς, ἐπειδήπερ ἡ ἰατρικὴ ἐπιστήμη οὖσα τυγχάνει. Ἀληθῆ. Ὅτι μὲν δὴ ἐπιστήμην τινὰ ἔχει, γνώσεται ὁ σώφρων τὸν ἰατρόν· ἐπιχειρῶν δὲ δὴ πεῖραν λαβεῖν ἥτις ἐστὶν, ἄλλο τι σκέψεται ὧντινων; Ἦ οὐ τούτῳ ὥρισται

40. e.

p. 171. a.

---

§. 40. Ὅτι μὲν δὴ — — ὧντινων. [Ad vulgatam huius loci scripturam, Ὅτι μὲν δὴ — γνώσεται ὁ σώφρων· τὸν ἰατρὸν δὲ δεῖ πεῖραν λαβεῖν ἥτις ἐστίν· ἀλλ' ὅτι σκέψεται ὧντινων. Heindorfius in Ed. priori Cornarii emendationem primam apposuit, quam vide in huius Eclog. V. p. 63. Fisch. Tum suam ipsius protulit, quam postea in edit. min. ita refictam in textum recepit: Ὅτι μὲν δὴ ἐπιστήμην τινὰ ἔχει, γνώσεται ὁ σώφρων τὸν ἰατρόν· εἰ δὲ δεῖ πεῖραν λαβεῖν ἥτις ἐστὶν, ἄλλος τις σκέψεται, ὧντινων. In quibus quod accusativum τὸν ἰατρὸν superioribus junxit (quod fecit etiam Be.), satis notam loquendi rationem astruebat tamen ille loco e Sophist. p. 234. b. Οἰκοῦν τόνγ' ὑπισχνούμενον δυνατὸν εἶναι μιᾷ τέχνῃ πάντα ποιεῖν γιγνώσκομέν που τοῦτο, ὅτι — δυνατὸς ἔσται —. Scripturam autem ἄλλος τις Ficini auctoritate firmabat qui habet: *alius quispiam medici peritiam considerabit.* Nos quae reposuimus e codd. hausit Be. omnia. Verbum

ἑκάστη ἐπιστήμη, μὴ μόνον ἐπιστήμη εἶναι, ἀλλὰ καὶ τίς, τῷ τινῶν εἶναι; Τούτῳ μὲν οὖν. Καὶ ἡ ἰατρικὴ δὴ ἑτέρα εἶναι τῶν ἄλλων ἐπιστημῶν ὡρίσθη τῷ τοῦ ὑγιεινοῦ εἶναι καὶ νοσώδους ἐπιστήμη.

41. Ναί. Οὐκοῦν ἐν τούτοις ἀναγκαῖον σκοπεῖν τὸν βουλόμενον ἰατρικὴν σκοπεῖν, ἐν οἷς ποτ' ἐστίν; Οὐ γὰρ

b. δήπου ἔν γε τοῖς ἔξω, ἐν οἷς οὐκ ἔστιν. Οὐ δῆτα. Ἐν τοῖς ὑγιεινοῖς ἄρα καὶ νοσώδεσιν ἐπισκέψεται τὸν ἰατρὸν, ᾗ ἰατρικός ἐστιν, ὁ ὀρθῶς σκοπούμενος. Ἔοικεν. Οὐκοῦν ἐν τοῖς οὕτως ἢ λεγομένοις ἢ πραττομένοις τὰ μὲν λεγόμενα, εἰ ἀληθῆ λέγεται, σκοπούμενος, τὰ δὲ πραττόμενα, εἰ ὀρθῶς πράττεται; Ἀνάγκη. Ἦ οὖν ἄνευ ἰατρικῆς δύναιτ' ἄν τις τούτων ποτέροις ἐπακολουθῆσαι; Οὐ δῆτα. Οὐδέ γε

c. ἄλλος οὐδείς, ὡς ἔοικε, πλὴν ἰατρὸς, οὔτε δὴ ὁ σώφρων. Ἰατρὸς γὰρ ἂν εἴη πρὸς τῇ σωφροσύνῃ. Ἔστι ταῦτα. Παντὸς ἄρα μᾶλλον, εἰ ἡ σωφροσύνη ἐπι-

---

enim ἐπιχειρῶν prodiit e cod. Par. G et margine Coisl.; δὲ δὴ pro δὲ δεῖ habent prope omnes; et scripturam ἄλλο τι pro ἀλλ' ὅτι praestantes octo. Ad ὧντινων mente repetendum ἐπιστήμην ἔχει. — Mox praeeunte eodem codice Par. G verba Τούτῳ μὲν οὖν a sequentibus separavit Be. ut Critiae responsionem faciant, quae antea desiderabatur, non incommode ab Heindorfio in ed. min. suppleta inserendo Ναί post verbum Εἶναι.]

§. 41. Οὐκοῦν ἐν τοῖς οὕτως — i. e. *ratione τῶν ὑγιεινῶν et νοσώδων habita*. Sed fallor aut exspectatur hic potius τοιούτοις vel τούτοις quam τοῖς οὕτως, quod mihi quidem fluctuat nimis. Ἦ οὖν ἄνευ ἰατρικῆς — ποτέροις, *utrisque*. Theaetet. p. 145. a. Τί δή; εἰ ποτέρου τὴν ψυχὴν ἐπαινοῖ πρὸς ἀρετήν τε καὶ σοφίαν etc. de rep. VI. p. 499. c. Τού-

στήμης ἐπιστήμη μόνον ἐστὶ καὶ ἀνεπιστημοσύνης, οὔτε ἰατρὸν διακρῖναι οἵατε ἔσται ἐπιστάμενον τὰ τῆς τέχνης ἢ μὴ ἐπιστάμενον, προσποιούμενον δὲ ἢ οἰόμενον, οὔτε ἄλλον οὐδένα τῶν ἐπισταμένων καὶ ὁτιοῦν, πλήν γε τὸν αὐτοῦ ὁμότεχνον, ὥσπερ οἱ ἄλλοι δημιουργοί. Φαίνεται, ἔφη. Τίς οὖν, 42. d.
ἦν δ' ἐγὼ, ὦ Κριτία, ὠφέλεια ἡμῖν ἔτι ἂν εἴη ἀπὸ τῆς σωφροσύνης, τοιαύτης οὔσης; Εἰ μὲν γὰρ, ὃ ἐξ ἀρχῆς ὑπετιθέμεθα, ᾔδει ὁ σώφρων ἃ τε ᾔδει καὶ ἃ μὴ ᾔδει, τὰ μὲν ὅτι οἶδε, τὰ δ' ὅτι οὐκ οἶδε, καὶ ἄλλον ταυτὸν τοῦτο πεπονθότα ἐπισκέψασθαι οἵόστε ἦν, μεγάλως τι ἂν ἡμῖν, φαμὲν, ὠφέλιμον ἦν σώφροσιν εἶναι. Ἀναμάρτητοι γὰρ ἂν τὸν βίον

τῶν δὲ ὁπότερα γενέσθαι, ἢ ἀμφότερα, ὡς ἄρα ἐστὶν ἀδύνατον, ἐγὼ μὲν οὐδένα φημὶ ἔχειν λόγον. Ex quo in Phileb. p. 20. e. μήτε ἐν τῷ (βίῳ) τῆς ἡδονῆς ἐνέστω φρόνησις, μήτε ἐν τῷ τῆς φρονήσεως ἡδονή. Δεῖ γὰρ, εἴπερ πρότερον αὐτῶν ἐστ' ἀγαθὸν, μηδενὸς μηδὲν ἔτι προσδεῖσθαι· δεόμενον δ' ἂν φανῇ ὁπότερον, οὐκ ἔστι που τοῦτ' ἔτι τὸ ὄντως ἡμῖν ἀγαθόν., illud πρότερον sine dubio mutandum in πότερον.

41. ἀνεπιστημοσύνης. [Post hanc vocem vulgo legitur ἐπιστήμη, quod omisimus cum Be. et codd. Clark. Vat. Par. G.] πλήν γε τὸν αὐτοῦ ὁμότεχνον — αὐτοῦ ad sensum, ut aiunt, positum, quoniam in illo ἡ σωφροσύνη notio τοῦ σώφρονος latebat. — ὥσπερ οἱ ἄλλοι δημιουργοί. int. οἷοί τέ εἰσι τοὺς αὐτῶν ὁμοτέχνους διακρῖναι, ἄλλους δὲ οὔ.

§. 42. Εἰ μὲν γὰρ — ᾔδει ὁ σώφρων, ἃ τε ᾔδει καὶ ἃ μὴ ᾔδει — Optime habet duplex hoc ᾔδει. Nam ut paullo post in verbis ἀναμάρτητοι γὰρ — ἤρχοντο hoc ἤρχοντο accommodatum est praegresso διεξῶμεν, neque scribi debebat ἄρχονται, ita hoc loco propter prius ᾔδει idem tempus bis subiungitur loco praesentis οἶδε. Nam dispar est ratio in seqq. τὰ μὲν ὅτι οἶδε κ. τ. λ. Mox μεγαλωστὶ iunctim malebat Stephanus. Suid. μεγαλωστί. πάνυ: tum Arriani locum lau-

διεξῶμεν αὐτοί τε οἱ τὴν σωφροσύνην ἔχοντες, καὶ
e. οἱ ἄλλοι πάντες ὅσοι ὑφ' ἡμῶν ἤρχοντο. Οὔτε γὰρ
ἂν αὐτοὶ ἐπεχειροῦμεν πράττειν ἃ μὴ ἠπιστάμεθα,
ἀλλ' ἐξευρίσκοντες τοὺς ἐπισταμένους ἐκείνοις ἂν πα-
ρεδίδομεν, οὔτε τοῖς ἄλλοις ἐπετρέπομεν, ὧν ἤρχο-
μεν, ἄλλο τι πράττειν ἢ ὅ,τι πράττοντες ὀρθῶς ἔμελ-
λον πράξειν· τοῦτο δ' ἦν ἂν, οὗ ἐπιστήμην εἶχον.
Καὶ οὕτω δὴ ὑπὸ σωφροσύνης οἰκία τε οἰκουμένη
ἔμελλε καλῶς οἰκεῖσθαι, πόλις τε πολιτευομένη, καὶ
p. 172. a. ἄλλο πᾶν οὗ σωφροσύνη ἄρχοι. Ἁμαρτίας γὰρ ἐξῃ-
ρημένης, ὀρθότητος δὲ ἡγουμένης ἐν πάσῃ πράξει
ἀναγκαῖον καλῶς καὶ εὖ πράττειν τοὺς οὕτω διακει-
μένους, τοὺς δὲ εὖ πράττοντας εὐδαίμονας εἶναι.

---

dat Expedit. Alexandr. IV, 21. — In seqq. vulgo *αὐτοί τε καὶ οἱ τὴν σωφροσύνην ἔχοντες*, in quibus voculam *καὶ* vitiose intrusam audacter expunxi. — [*ἠπιστάμεθα*. Sic Be. ex opt. et plur. Vulgo *ἐπιστ.* Conf. superius illud *ᾔδει*.]

42. *Ἁμαρτίας γὰρ ἐξῃρημένης — εὐδαίμονας εἶναι.* Argumenti huius vim positam apparet in duplici dictionis *εὖ πράττειν* significatu, quum vulgo sit *felicem esse*, non *recte facere*. Hoc aliaque eiusdem generis saepius sic ansam praebuerunt sophismatis magis, quam iusti syllogismi. Eodem prorsus modo Gorg. p. 507. c. *πολλὴ ἀνάγκη, τὸν σώφρονα, δίκαιον ὄντα καὶ ἀνδρεῖον καὶ ὅσιον, ἀγαθὸν ἄνδρα εἶναι τελέως· τὸν δὲ ἀγαθὸν εὖ τε καὶ καλῶς πράττειν, ἃ ἂν πράττοι· τὸν δὲ εὖ πράττοντα μακάριόν τε καὶ εὐδαίμονα εἶναι· τὸν δὲ πονηρὸν καὶ κακῶς πράττοντα ἄθλιον.* Conf. de rep. I. p. 354. a. ubi eandem duxit argumentationem ex duplici *τοῦ εὖ ζῆν* potestate. Alcib. I. 59. *Ὁ δὲ μὴ εἰδὼς οὐχ ἁμαρτήσεται; Πάνυ γε. Ἐξαμαρτάνων δὲ οὐ κακῶς πράξει ἰδίᾳ τε καὶ δημοσίᾳ; Πῶς δ' οὔ; Κακῶς δὲ πράττων οὐκ ἄθλιος; Σφόδρα γε.* et ibid. §. 26. *ὅστις καλῶς πράττει, οὐχὶ καὶ εὖ πράττει; Ναί. Οἱ δ' εὖ πράττοντες οὐκ εὐδαίμονες;*

Ἆρ᾽ οὐχ οὕτως, ἦν δ᾽ ἐγὼ, ὦ Κριτία, ἐλέγομεν 43.
περὶ σωφροσύνης, λέγοντες ὅσον ἀγαθὸν εἴη τὸ εἰ-
δέναι ἅ τε οἶδέ τις καὶ ἃ μὴ οἶδε; Πάνυ μὲν οὖν,
ἔφη, οὕτω. Νῦν δὲ, ἦν δ᾽ ἐγὼ, ὁρᾷς ὅτι οὐδαμοῦ
ἐπιστήμη οὐδεμία τοιαύτη οὖσα πέφανται; Ὁρῶ,
ἔφη. Ἆρ᾽ οὖν, ἦν δ᾽ ἐγὼ, τοῦτ᾽ ἔχει τὸ ἀγαθὸν, b.
ἣν νῦν εὑρίσκομεν σωφροσύνην οὖσαν, τὸ ἐπιστήμην
ἐπίστασθαι καὶ ἀνεπιστημοσύνην, ὅτι ὁ ταύτην
ἔχων, ὅ,τι ἂν ἄλλο μανθάνῃ, ῥᾷόν τε μαθήσεται
καὶ ἐναργέστερα πάντα αὐτῷ φανεῖται, ἅτε πρὸς
ἑκάστῳ ᾧ ἂν μανθάνῃ προσκαθορῶντι τὴν ἐπιστή-
μην, καὶ τοὺς ἄλλους δὴ κάλλιον ἐξετάσει περὶ ὧν
ἂν καὶ αὐτὸς μάθῃ, οἱ δὲ ἄνευ τούτου ἐξετάζοντες
ἀσθενέστερον καὶ φαυλότερον τοῦτο δράσουσιν; Ἆρ᾽,
ὦ φίλε, τοιαῦτα ἄττα ἐστὶν ἃ ἀπολαυσόμεθα τῆς

---

§. 43. Ἆρ᾽ οὐχ οὕτως, ἦν δ᾽ ἐγὼ — Male Ficinus: *annon sic de temperantia dicebamus, dicentes* etc. Sensum vidit Cornarius vertens: *annon sic de temperantia diceremus, si proferremus* etc. Nimirum omissum est ἂν in verbis ἆρ᾽ οὐχ οὕτως ἐλέγομεν, ut paullo ante in illis καὶ οὕτω δὴ ὑπὸ σωφροσύνης — οἰκεῖσθαι, et saepissime alias. Atque mox verbis Νῦν δὲ — πέφανται opposita profertur sententia. Ἆρ᾽ οὖν — τοῦτ᾽ ἔχει τὸ ἀγαθὸν ἣν νῦν εὑρίσκομεν σωφροσύνην οὖσαν —; *an igitur hanc habet utilitatem ea, quam* (qualem) *nunc deprehendimus esse, temperantia* etc. Structura eadem Gorg. p. 503. c. Εἰ ἔστι γε, ὦ Καλλίκλεις, ἣν πρότερον σὺ ἔλεγες ἀρετὴν, ἀληθής. Theaetet. p. 157. e. ἐλέγχεσθαι δοκεῖ ὃν ἄρτι διῆμεν λόγον. Phaedo p. 88. d. ὁ γὰρ σφόδρα πιθανὸς ὢν, ὃν ὁ Σωκράτης ἔλεγε λόγον, νῦν εἰς ἀπιστίαν καταπέπτωκεν. Et conf. ad Hipp. Mai. §. 2.

43. ἀπολαυσόμεθα. [Hanc legitimam futuri formam Be. invenit in omnibus praeter Par. E, qui habet vulgatum ἀπο-

c. σωφροσύνης, ἡμεῖς δὲ μεῖζόν τι βλέπομεν, καὶ ζητοῦμεν αὐτὸ μεῖζόν τι εἶναι ἢ ὅσον ἐστί; Τάχα δ' ἄν, ἔφη, οὕτως ἔχοι. Ἴσως, ἦν δ' ἐγώ· ἴσως δέ γε ἡμεῖς
44. οὐδὲν χρηστὸν ἐζητήσαμεν. Τεκμαίρομαι δὲ, ὅτι μοι ἄτοπ' ἄττα καταφαίνεται περὶ σωφροσύνης, εἰ τοιοῦτόν ἐστιν. Ἴδωμεν γὰρ, εἰ βούλει, συγχωρήσαντες, καὶ ἐπίστασθαι ἐπιστήμην δυνατὸν εἶναι εἰδέναι, καὶ ὅ γε ἐξ ἀρχῆς ἐτιθέμεθα σωφροσύνην εἶναι, τὸ εἰδέναι ἅ τε οἶδε καὶ ἃ μὴ οἶδε, μὴ ἀποστερήσωμεν ἀλλὰ δῶμεν· καὶ πάντα ταῦτα δόντες
d. ἔτι βέλτιον σκεψώμεθα, εἰ ἄρα τι καὶ ἡμᾶς ὀνήσει

λαίσομεν.] — ἡμεῖς δὲ μεῖζόν τι βλέπομεν, *nos autem maius aliquid petimus.* βλέπειν et ὁρᾶν, ut *videre* apud Latinos, saepe esse *affectare, petere, cupere,* adiuncta aliquando praepositione εἰς vel πρὸς, aliquando et omissa, accurate docuit Iensius ad Lucian. Diall. Mort. XI. §. 4. οὐδὲ χρηστόν. Valde arridet, quod Stephanus legendum coniecit οὐδὲν χρηστόν [quod nunc reposuimus cum Be. ex opt. et pl.]. Nam in his manifesto respicit ad superiora illa μεῖζόν τι βλέπομεν, et sic inferius §. 49. δικαίως ἐμαυτὸν ἠτιώμην, ὅτι οὐδὲν χρηστὸν περὶ σωφροσύνης σκοπῶ.

§. 44. Ἴδωμεν γὰρ, εἰ βούλει — — εἰδέναι. Quid hoc est, εἰδέναι ἐπίστασθαι ἐπιστήμην, *scire, se scire scientiam?* Nempe omnes, quicunque scientiam callemus, scimus nos eam callere. Absurdum hoc, neque ullo modo ferri potest istud εἰδέναι, quod originem traxisse patet ex proximo εἶναι. Illud ἐπίστασθαι ἐπιστήμην finitio est σωφροσύνης, velut paullo ante scripserat ἣν νῦν εἰρίσκομεν σωφροσύνην οὖσαν, τὸ ἐπιστήμην ἐπίστασθαι καὶ ἀνεπιστημοσύνην, estque illud idem quod ἐπιστήμη ἐπιστήμης, atque huc referuntur illa inferius §. 50. καὶ γὰρ ἐπιστήμην ἐπιστήμης εἶναι ξυνεχωρήσαμεν, οὐκ ἐῶντος τοῦ λόγου οὐδὲ φάσκοντος εἶναι.

44. ἔτι βέλτιον σκεψώμεθα εἰ ἄρα τι — Memini qui mallet τοιοῦτον quam τοσοῦτον, ut statim post dicit εἰ τοιοῦτον

τοσοῦτον ὄν. Ἃ γὰρ νῦν δὴ ἐλέγομεν, ὡς μέγα ἂν εἴη ἀγαθὸν ἡ σωφροσύνη, εἰ τοιοῦτον εἴη, ἡγουμένη διοικήσεως καὶ οἰκίας καὶ πόλεως, οὔ μοι δοκοῦμεν, ὦ Κριτία, καλῶς ὡμολογηκέναι. Πῶς δή; ἦ δ' ὅς. Ὅτι, ἦν δ' ἐγὼ, ῥᾳδίως ὡμολογήσαμεν, μέγα τι ἀγαθὸν εἶναι τοῖς ἀνθρώποις, εἰ ἕκαστοι ἡμῶν, ἃ μὲν ἴσασι, πράττοιεν ταῦτα, ἃ δὲ μὴ ἐπίσταιντο, ἄλλοις παραδιδοῖεν τοῖς ἐπισταμένοις. Οὐκοῦν, ἔφη, καλῶς ὡμολογήσαμεν; Οὔ μοι δοκοῦμεν, ἦν δ' ἐγώ. e. Ἄτοπα λέγεις ὡς ἀληθῶς, ἔφη, ὦ Σώκρατες. Νὴ τὸν κύνα, ἔφην, καὶ ἐμοί τοι δοκεῖ οὑτωσί. Ἐνταῦθα καὶ ἄρτι ἀποβλέψας ἄτοπά γ' ἔφην μοι προ–

εἴη et mox §. 45. εἰ ὁτιμαλιστα τοιοῖτόν ἐστιν ἡ σωφροσύνη. Nihilominus placet τοσοῦτον, *tam amplum*, cui ne illud quidem εἰδέναι ἃ τε οἶδε καὶ ἃ μὴ οἶδε derogetur. [Sic etiam Schleiermacher: sed Be. ex Clark. Vat. τοιοῦτον.] Sed aliud hic mendum delituerat. Nempe vulgo scriptum est εἰ ἄρτι, in quo ἄρτι cum futuro hoc loco construi contra Phrynichi auctoritatem monet Ruhnkenius ad Lex. Tim. p. 51. Qui unus locus ne legitimae scriptorum omnium consuetudini repugnaret, de coniectura reposui εἰ ἄρα τι. De rep. IX. p. 578. c. σκόπει δὴ εἰ ἄρα τι λέγω, et sic singulis fere in Platone paginis. [Coniecturam per se certissimam firmarunt codd. optimi Clark. et Vat.]

44. Ὅτι, ἦν δ' ἐγὼ, ῥᾳδίως ὡμολογήσαμεν — ῥᾳδίως h. l. *temere, parum caute, ratione rei non satis perpensa.* Apolog. p. 24. c. σπουδῇ χαριεντίζεται ῥᾳδίως (sans façon) εἰς ἀγῶνας καθιστὰς ἀνθρώπους. Phaedo p. 63. a. Τί γὰρ ἂν βουλόμενοι ἄνδρες σοφοὶ ὡς ἀληθῶς δεσπότας ὀμείνους αὑτῶν φεύγοιεν, καὶ ῥᾳδίως ἀπαλλάττοιντο αὐτῶν; de rep. II. p. 378. a. Τὰ δὲ δὴ τοῦ Κρόνου ἔργα καὶ πάθη ἐπὶ τοῦ υἱέος οὐδ' ἂν, εἰ ἦν ἀληθῆ, ὦμην δεῖν ῥᾳδίως οὕτω λέγεσθαι πρὸς ἄφρονάς τε καὶ νέους. Conf. Hipp. Mai. §. 41. Ἐνταῦθα καὶ ἄρτι ἀποβλέψας, *huc etiam paullo ante respiciens.* Spectant haec

φαίνεσθαι, καὶ ὅτι φοβοίμην, μὴ οὐκ ὀρθῶς σκο-
45. ποῖμεν. Ὡς ἀληθῶς γὰρ, εἰ ὁτιμάλιστα τοιοῦτόν
ἐστιν ἡ σωφροσύνη, οὐδέν μοι δῆλον εἶναι δοκεῖ, ὅ,τι
p. 173. a. ἀγαθὸν ἡμᾶς ἀπεργάζεται. Πῶς δή; ἦ δ' ὅς, λέγε,
ἵνα καὶ ἡμεῖς εἰδῶμεν ὅ,τι λέγεις. Οἶμαι μὲν, ἦν
δ' ἐγὼ, ληρεῖν με· ὅμως τόγε προφαινόμενον ἀναγ-
καῖον σκοπεῖν, καὶ μὴ εἰκῇ παριέναι, εἴ τίς γε αὐ-
τοῦ καὶ σμικρὸν κήδεται. Καλῶς γὰρ, ἔφη, λέγεις.
Ἄκουε δὴ, ἔφην, τὸ ἐμὸν ὄναρ, εἴτε διὰ κεράτων
εἴτε δι' ἐλέφαντος ἐλήλυθεν. Εἰ γὰρ ὁτιμάλιστα ἡμῶν
ἄρχοι ἡ σωφροσύνη, οὖσα οἵαν νῦν ὁριζόμεθα, ἄλλο
b. τι κατὰ τὰς ἐπιστήμας ἂν πράττοιτο, καὶ οὔτε τις
κυβερνήτης φάσκων εἶναι, ὢν δὲ οὔ, ἐξαπατῷ ἂν
ἡμᾶς, οὔτε ἰατρὸς οὔτε στρατηγὸς οὔτ' ἄλλος οὐδείς,
προσποιούμενός τι εἰδέναι ὃ μὴ οἶδε, λανθάνοι ἄν.
Ἐκ δὴ τούτων οὕτως ἐχόντων ἄλλο ἂν ἡμῖν τι ξυμ-
βαίνοι, ὑγιέσι τε τὰ σώματα εἶναι μᾶλλον ἢ νῦν,

---

ad superiora illa §. 44. *Τεκμαίρομαι δὲ, ὅτι μοι ἄτοπ' ἄττα καταφαίνεται περὶ σωφροσύνης, εἰ τοιοῦτόν ἐστι.* — [Pro *ἄτοπά γ'* Be. certissime emendavit *ἄτοπά τ'* —.]

§. 45. *Οἶμαι μὲν — ληρεῖν με.* Abundat *με* contra legitimum Graecorum usum, ut Sympos. p. 175. e. *οἶμαι γάρ με παρὰ σοῦ πολλῆς καὶ καλῆς σοφίας πληρωθήσεσθαι.*

45. *Ἄκουε δὴ, ἔφην, τὸ ἐμὸν ὄναρ* — Conf. Hom. Odyss, τ, 562. sqq. Mox in verbis *οὖσα οἵαν νῦν ὁριζόμεθα* inutilis est Stephani correctio *ὡριζόμεθα.* Aliter esset, si scriptum legeremus *νῦν δή.* Illa *ἄλλο τι κατὰ τὰς ἐπιστήμας ἂν πράττοιτο* perperam expressit Cornarius ita: *aliud quid secundum scientias perageretur? Ἄλλο τι* h. l. est *nonne?* sensusque hic est: *nonne ea in artibus exerceatur, nonne munus suum vimque in artibus praestet?* — Paullo post in verbis *Ἐκ δὴ τούτων οὕτως ἐχόντων — μᾶλλον ἢ νῦν,* quum

καὶ ἐν τῇ θαλάττῃ κινδυνεύοντας καὶ ἐν πολέμῳ σώ-
ζεσθαι, καὶ τὰ σκεύη καὶ τὴν ἀμπεχόνην καὶ ὑπό-
δεσιν πᾶσαν καὶ τὰ χρήματα πάντα τεχνικῶς ἡμῖν c.
εἰργασμένα εἶναι, καὶ ἄλλα πολλὰ, διὰ τὸ ἀληθινοῖς
δημιουργοῖς χρῆσθαι; Εἰ δὲ βούλοιό γε, καὶ τὴν 46.
μαντικὴν εἶναι ξυγχωρήσωμεν ἐπιστήμην τοῦ μέλλον-
τος ἔσεσθαι, καὶ τὴν σωφροσύνην αὐτῆς ἐπιστα-
τοῦσαν τοὺς μὲν ἀλαζόνας ἀποτρέπειν, τοὺς δὲ ὡς
ἀληθῶς μάντεις καθιστάναι ἡμῖν προφήτας τῶν μελ-
λόντων. Κατεσκευασμένον δὴ οὕτω τὸ ἀνθρώπινον
γένος ὅτι μὲν ἐπιστημόνως ἂν πράττοι καὶ ζῴη, ἕπο- d.
μαι. Ἡ γὰρ σωφροσύνη φυλάττουσα οὐκ ἂν ἐᾷη
παρεμπίπτουσαν τὴν ἀνεπιστημοσύνην ξυνεργὸν ἡμῖν
εἶναι. Ὅτι δ' ἐπιστημόνως ἂν πράττοντες εὖ ἂν
πράττοιμεν καὶ εὐδαιμονοῖμεν, τοῦτο δὲ οὔπω δυνά-
μεθα μαθεῖν, ὦ φίλε Κριτία. Ἀλλὰ μέντοι, ἦ δ'
ὅς, οὐ ῥᾳδίως εὑρήσεις ἄλλο τι τέλος τοῦ εὖ πράττειν,
ἐὰν τὸ ἐπιστημόνως ἀτιμάσῃς. Σμικρὸν τοίνυν με,

---

non scriptum sit ἄλλο τι ἂν ἡμῖν ξυμβαίνοι, sed τι separatum sit ab ἄλλο, vereor, ne post ξυμβαίνοι exciderit ἤ. — Illud ἀμπεχόνη accipiendum, ut semper, de ἱματίῳ.

§. 46. Εἰ δὲ βούλοιό γε — Usitatius est εἰ δὲ βούλει. Sed sic Lysid. §. 31. Εἰ γοῦν θέλοιμεν ἐννοῆσαι τὸ ὑγιαῖνον σῶμα etc. Mox pro ξυγχωρήσωμεν Stob. Serm. V. p. 76. συγχωρητέον. Minus bene. Idem deinde ἀληθεῖς pro ὡς ἀληθῶς, et ἐγῷμαι pro ἕπομαι. Sed significantius hic opus est vocabulum, quod subsequenti verbo μαθεῖν respondeat. Contrarium λείπεσθαι similiter adhibitum Theaetet. p. 184. a. φοβοῦμαι οὖν μὴ οὔτε τὰ λεγόμενα ξυνίωμεν, τί τε διανοούμενος εἶπε, πολὺ πλέον λειπώμεθα. Tum in his τοῦτο δὲ οὔπω δυναίμεθα μαθεῖν malim δυνάμεθα. [Sic Be. e codd.] — ἄλλο τι τέλος aliam quandam perfectionem et consumma-

e. ἦν δ' ἐγὼ, ἔτι προσδίδαξον, τίνος ἐπιστημόνως λέγεις. Ἢ σκυτῶν τομῆς; Μὰ Δί' οὐκ ἔγωγε. Ἀλλὰ χαλκοῦ ἐργασίας; Οὐδαμῶς. Ἀλλὰ ἐρίων, ἢ
47. ξύλων, ἢ ἄλλου του τῶν τοιούτων; Οὐ δῆτα. Οὐκ ἄρα, ἦν δ' ἐγὼ, ἔτι ἐμμένομεν τῷ λόγῳ τῷ, εὐδαίμονα εἶναι τὸν ἐπιστημόνως ζῶντα. Οὗτοι γὰρ ἐπιστημόνως ζῶντες οὐχ ὁμολογοῦνται παρὰ σοῦ εὐδαίμονες εἶναι, ἀλλὰ περί τινων ἐπιστημόνως ζώντων σὺ δοκεῖς μοι ἀφορίζεσθαι τὸν εὐδαίμονα. Καὶ ἴσως λέγεις, ὃν νῦν δὴ ἐγὼ ἔλεγον, τὸν εἰδότα τὰ μέλ-
p. 174. a. λοντα ἔσεσθαι πάντα, τὸν μάντιν. Τοῦτον ἢ ἄλλον τινὰ λέγεις; Καὶ τοῦτον ἔγωγε, ἔφη, καὶ ἄλλον. Τίνα; ἦν δ' ἐγώ. Ἆρα μὴ τὸν τοιόνδε, εἴ τις πρὸς τοῖς μέλλουσι καὶ τὰ γεγονότα πάντα εἰδείη καὶ τὰ

---

tionem beatae vitae; perfectam enim vitae felicitatem contineri dicit vita scienter prudenterque degenda.

§. 47. *ἀλλὰ περί τινων ε. ζ. εὖ δοκεῖς μοι* — Hic pro *ευ δοκεῖ* ex Bas. 2. recepi *εὖ δοκεῖς*, quod reponi postulant vel ipsa statim sequentia *καὶ ἴσως λέγεις*, ne quid dicam de sensu, qui nullus est in vulgato *δοκεῖ*. Quem enim in versione declaravit Cornarius: *at de aliquibus cum scientia viventibus ut felicem determinemus, aequum esse mihi videtur*, is quomodo e Graecis exeat, non video. Si sana omnino est scriptura, de quo non dubito, Platonem hoc dicere puto: *hos enim, quanquam vivunt scienter, tamen non concedis felices esse, sed de certo quodam scienter viventium genere, non de omnibus, recte mihi videris felicis nomen seorsim usurpare.* Nam *ἀφορίζεσθαι τὸν εὐδαίμονα* breviter dictum explico pro *ἀφορισάμενος χρῆσθαι τῷ τοῦ εὐδαίμονος ὀνόματι*. De legg. I. p. 643. e. *Ταύτην τὴν τροφὴν ἀφορισάμενος ὁ λόγος οὗτος, ἐξ ὧν φαίνεται, νῦν βούλοιτ' ἂν μόνην παιδείαν προσαγορεύειν.* Illud *εὖ* trahendum ad *ἀφορίζεσθαι*. Euthyphr. p, 9. c. *ἐάνπερ εὖ δοκῇς λέγειν*. [Postea Heindorfius et Bekker e conjectura uterque *εὖ* mutarunt in *σύ*.]

νῦν ὄντα, καὶ μηδὲν ἀγνοοῖ; Θῶμεν γάρ τινα εἶναι αὐτόν. Οὐ γὰρ, οἶμαι, τούτου γε ἔτι ἂν εἴποις οὐδένα ἐπιστημονέστερον ζῶντα εἶναι. Οὐ δῆτα. Τόδε δὴ ἔτι προσποθῶ, τίς αὐτὸν τῶν ἐπιστημῶν ποιεῖ εὐδαίμονα· ἢ ἅπασαι ὁμοίως; Οὐδαμῶς ὁμοίως, ἔφη. b. Ἀλλὰ ποία μάλιστα; ἦ τί οἶδε καὶ τῶν ὄντων καὶ τῶν γεγονότων καὶ τῶν μελλόντων ἔσεσθαι; Ἆρά γε, ἦ τὸ πεττευτικόν; Ποῖον, ἦ δ' ὅς, πεττευτικόν; Ἀλλ' ἦ τὸ λογιστικόν; Οὐδαμῶς. Ἀλλ' ἦ τὸ ὑγιεινόν; Μᾶλλον, ἔφη. Ἐκείνην δ' ἣν λέγω μάλιστα, ἣν δ' ἐγὼ, ἦ 48. τί; Ἦι τὸ ἀγαθὸν, ἔφη, καὶ τὸ κακόν. Ὦ μιαρὲ,

---

47. *Ποῖον, ἦ δ' ὅς, πεττευτικόν; quem mihi narras lusum aleatorium?* Habet haec formula negandi, frequentata Platoni, lenem quandam irrisionem. Theaetet. p. 180. b. *Ἀλλ' οἶμαι, τὰ τοιαῦτα τοῖς μαθηταῖς, ἐπὶ σχολῆς φράζουσι — —. Ποίοις μαθηταῖς, ὦ δαιμόνιε; οὐδὲ γίγνεται τῶν τοιούτων ἕτερος ἑτέρου μαθητής.* Conf. Hipp. Mai. §. 12. Euthyd. p. 291. a. p. 304. e. Gorg. p. 490. e. Amator. p. 132. b. Plaut. Trucul. II, 2, 29. As. *Mulieres volo convenire vestras.* St. *Quas tu mulieres mihi narras? ubi musca nulla femina est in aedibus.*

47. *Ἀλλ' ἦ τὸ ὑγιεινόν; Μᾶλλον, ἔφη.* „*Forte οὐ μᾶλλον, ἔφη: vel εἰρωνικῶς, quod puto.*" Salvinius Misc. Obs. V. II. T. II. p. 275. Ironiam hic praeter Salvinium nemo quisquam sentiat, neque *οὐ μᾶλλον* pro *οὐδὲ τοῦτο* ex usu Platonis est. Sed optime habet *μᾶλλον*. Quidni enim affirmet Critias, sanitatis tuendae scientiam ad felicitatem vitae plus conferre, quam ratiocinandi vel aleatoriam? Quin etiam *μᾶλλον* necessarium videtur propter illud in seqq. *μάλιστα*.

§. 48. *Ἐκείνην δ' ἣν λέγω μάλιστα* — Nihil hic monitum a Stephano aut Cornario; quanquam hic quidem quum vertit *illam vero, quam maxime dicis, inquam, qua quid?* pro *λέγω* legendum putavit *λέγεις*, quo magis etiam sententia huius loci obscuratur, quae non video quomodo sine scripturae mu-

ἔφην ἐγώ, πάλαι με περιέλκεις κύκλῳ, ἀποκρυπτόμενος, ὅτι οὐ τὸ ἐπιστημόνως ἦν ζῆν τὸ εὖ πράττειν τε καὶ εὐδαιμονεῖν ποιοῦν, οὐδὲ ξυμπασῶν τῶν ἄλλων
c. ἐπιστημῶν, ἀλλὰ μιᾶς οὔσης ταύτης μόνον τῆς περὶ τὸ ἀγαθόν τε καὶ κακόν. Ἐπεί, ὦ Κριτία, εἰ θέλεις ἐξελεῖν ταύτην τὴν ἐπιστήμην ἐκ τῶν ἄλλων ἐπιστημῶν, ἧττόν τι ἡ μὲν ἰατρικὴ ὑγιαίνειν ποιήσει, ἡ δὲ σκυτικὴ ὑποδεδέσθαι, ἡ δὲ ὑφαντικὴ ἠμφιέσθαι, ἡ δὲ κυβερνητικὴ κωλύσει ἐν τῇ θαλάττῃ ἀποθνήσκειν καὶ ἡ στρατηγικὴ ἐν πολέμῳ; Οὐδέν ἧττον,
d. ἔφη. Ἀλλ', ὦ φίλε Κριτία, τὸ εὖ τε τούτων ἕκαστα γίγνεσθαι καὶ ὠφελίμως ἀπολελοιπὸς ἡμᾶς ἔσται,

---

tatione declarari queat. Videlicet accusativus ἐκείνην quo referatur, nihil habet, quem etiamsi positum putes ex tritissimo illo utriusque sermonis usu pro nominativo (v. ad Lysid. §. 40.), velut transtulit verba Ficinus: *Illa vero quam dico maxime, qua quid norim?*, ne nominativus quidem unde pendeat, quidquam apparet. Totus autem sermonis tenor eo, opinor, ducit, ut Socratem putemus his verbis Critiam corrigere, quod μᾶλλον responderit, idque dicere: *quaerere se eam scientiam, quae non magis felices faciat, sed quae una omnium maxime.* Atque illa ἣν λέγω μάλιστα spectant sine dubio ad superiora ἀλλὰ ποία μάλιστα; subaudiendumque ποιεῖν εὐδαίμονα, ut omnino in his verbis nihil deesse videatur, nisi λέγε vel εἰπὲ, hunc in modum: *illam vero dic, quam dico potissimum (facere felicem), inquam, qua quid sciat?* [Be. ex longe plurimis reposuit ἐκείνη: non, opinor, quo huius facilior sit structura, sed quod exiguam judicavit auctoritatem vulgatae inventae sibi in solis Ven. Σ et Par. *E*.]

48. οὐδὲ ξυμπασῶν τῶν ἄλλων sc. ἐπιστημόνως ζῆν. — [Mox ante Ἐπεί vulgo insertum καὶ, quo in unico Par. *E* invento textum liberavit Be. Idem in seqq. ex optimo Paris. G reposuit τὸ εὖ τε (junge εὖ τε καὶ ὠφελίμως) pro vulg. τὸ

ταύτης ἀπούσης. Ἀληθῆ λέγεις. Οὐχ αὕτη δέ γε, ὡς ἔοικεν, ἐστὶν ἡ σωφροσύνη, ἀλλ' ἧς ἔργον ἐστὶ τὸ ὠφελεῖν ἡμᾶς. Οὐ γὰρ ἐπιστημῶν γε καὶ ἀνεπιστημοσυνῶν ἡ ἐπιστήμη ἐστὶν, ἀλλὰ ἀγαθοῦ τε καὶ κακοῦ· ὥστε εἰ αὕτη ἐστὶν ὠφέλιμος, ἡ σωφροσύνη ἄλλο τι ἂν εἴη ἢ ὠφελίμη ἡμῖν. Τί δ', ἦ δ' ὅς, οὐκ 49.
ἂν αὕτη ὠφελοῖ; Εἰ γὰρ ὀτιμάλιστα τῶν ἐπιστημῶν ἐπιστήμη ἐστὶν ἡ σωφροσύνη, ἐπιστατεῖ δὲ καὶ ταῖς ἄλλαις ἐπιστήμαις, καὶ ταύτης δήπου ἂν ἄρ- e.
χουσα τῆς περὶ τἀγαθὸν ἐπιστήμης ὠφελοῖ ἂν ἡμᾶς. Ἦ καὶ ὑγιαίνειν ποιοῖ, ἣν δ' ἐγὼ, αὕτη, ἀλλ' οὐχ ἡ ἰατρικὴ, καὶ τἆλλα τὰ τῶν τεχνῶν αὕτη ἂν ποιοῖ, καὶ οὐχὶ αἱ ἄλλαι τὸ αὑτῆς ἔργον ἑκάστη; Ἦ οὐ πάλαι διεμαρτυρόμεθα, ὅτι ἐπιστήμης μόνον ἐστὶ καὶ ἀνεπιστημοσύνης ἐπιστήμη, ἄλλου δὲ οὐδενός; Οὐχ οὕτω; Φαίνεταί γε. Οὐκ ἄρα ὑγιείας ἔσται δημιουρ- p.175.
γός. Οὐ δῆτα. Ἄλλης γὰρ ἦν τέχνης ὑγίεια· ἦ οὔ; a.
Ἄλλης. Οὐδ' ἄρα ὠφελείας, ὦ ἑταῖρε. Ἄλλη γὰρ αὖ ἀπέδομεν τοῦτο τὸ ἔργον τέχνη νῦν δή· ἦ γάρ; Πάνυ γε. Πῶς οὖν ὠφέλιμος ἔσται ἡ σωφροσύνη, οὐδεμιᾶς

εὖ γε.] Οὐχ αὕτη δέ γε — ἐστὶν ἡ σωφροσύνη. Αὕτη i. e. ἡ περὶ τὸ ἀγαθόν τε καὶ κακὸν, haec non est σωφροσύνη, sed ea est, cuius munus est nobis prodesse. Neque enim est scientia ἐπιστημῶν τε (sic scripserim) καὶ ἀνεπιστημοσυνῶν, quae erat σωφροσύνη, sed est boni malique scientia. Mox haec ὥστε εἰ αὕτη — e certa Schleiermacheri conjectura ita refinxi e vulgatis ὥστε εἰ αὐτὴ ἐστιν ὠφ. ἡ σωφροσύνη, ἄλλο τι ἂν εἴη ὠφ. ἡμῖν.

§. 49. Ἦ καὶ ὑγ. ποιοῖ. [Sic Be. e pl. et opt.: qui optativus applicat se illi ὠφελοῖ ἄν in Critiae sermone. Vulgo ποιεῖ.]

ὠφελείας οὖσα δημιουργός; Οὐδαμῶς, ὦ Σώκρατες, ἔοικέ γε. Ὁρᾷς οὖν, ὦ Κριτία, ὡς ἐγὼ πάλαι εἰκότως ἐδεδοίκειν καὶ δικαίως ἐμαυτὸν ἠτιώμην, ὅτι οὐδὲν χρηστὸν περὶ σωφροσύνης σκοπῶ; Οὐ γὰρ ἄν που, ὅ γε
b. κάλλιστον πάντων ὁμολογεῖται εἶναι, τοῦτο ἡμῖν ἀνωφελὲς ἐφάνη, εἴ τι ἐμοῦ ὄφελος ἦν πρὸς τὸ καλῶς ζη-
50. τεῖν. Νῦν δὲ, πανταχῇ γὰρ ἡττώμεθα καὶ οὐδαμῇ δυνάμεθα εὑρεῖν, ἐφ' ὅτῳ ποτὲ τῶν ὄντων ὁ ὀνοματοθέτης τοῦτο τοὔνομα ἔθετο, τὴν σωφροσύνην. Καίτοι πολλά γε ξυγκεχωρήκαμεν οὐ ξυμβαίνονθ' ἡμῖν ἐν τῷ λόγῳ. Καὶ γὰρ ἐπιστήμην ἐπιστήμης εἶναι, ξυνεχωρήσαμεν, οὐκ ἐῶντος τοῦ λόγου οὐδὲ φάσκον-
c. τος εἶναι, καὶ ταύτῃ αὖ τῇ ἐπιστήμῃ καὶ τὰ τῶν ἄλλων ἐπιστημῶν ἔργα γιγνώσκειν ξυνεχωρήσαμεν, οὐδὲ τοῦτ' ἐῶντος τοῦ λόγου, ἵνα δὴ ἡμῖν γένοιτο ὁ σώφρων ἐπιστήμων ὧν τε οἶδεν, ὅτι οἶδε, καὶ ὧν μὴ οἶδεν,

---

§. 50. *Νῦν δὲ, πανταχῇ γὰρ ἡττώμεθα* — Nota elegantem hunc usum part. *γὰρ* post *νῦν δέ* ex ellipsi quadam ortum. Hic quasi obscure intellectum ad *νῦν δὲ* subaudias *οὐδὲν ἐμοῦ ὄφελος*. Sympos. p. 180. c. *εἰ μὲν γὰρ εἷς ἦν ὁ Ἔρως, καλῶς ἂν εἶχε· νῦν δὲ, οὐ γάρ ἐστιν εἷς.* Conf. Apolog. p. 38. b. Lach. p. 200. e. de legg. IX. p. 875. d. et alias. Similis, sed alia tamen est ratio illa, de qua monui ad §. 11. [Pro *οὐδαμῇ* quod in solis Coisl. et Par. C inventum est, Be. *οὐ.*] — Mox vulgo *ὁ νομοθέτης*. Sed *legum latori* hic nullus erat locus, quocirca, quod Ficinus expressit *nominum auctor* [et dant quattuor e Be. codd.], *ὀνοματοθέτης* fidenter rescripsi, in quo genere peccatum imprimis in Cratylo, ubi codex Gudianus, liber praestantissimus, ubivis fere habet *ὀνοματοθέτης* pro *νομοθέτης*, v. c. p. 388. e. quater, p. 389. d. bis, et ceteris locis. — *οὐ ξυμβαίνονθ' ἡμῖν, quae nobis ex antecedentibus non efficerentur.*

ὅτι οὐκ οἶδε. Τοῦτο μὲν δὴ καὶ παντάπασι μεγαλοπρεπῶς ξυνεχωρήσαμεν, οὐδ' ἐπισκεψάμενοι τὸ ἀδύνατον εἶναι, ἅ τις μὴ οἶδε μηδαμῶς, ταῦτα εἰδέναι ἀμωσγέπως. Ὅτι γὰρ οὐκ οἶδέ φησιν αὐτὰ εἰδέναι ἡ ἡμετέρα ὁμολογία. Καίτοι, ὡς ἐγῷμαι, οὐδενὸς ὅτου οὐχὶ ἀλογώτερον τοῦτ' ἂν φανείη. Ἀλλ' d.
ὅμως οὕτως ἡμῶν εὐηθικῶν τυχοῦσα ἡ ζήτησις καὶ οὐ σκληρῶν, οὐδέν τι μᾶλλον εὑρεῖν δύναται τὴν ἀλήθειαν, ἀλλὰ τοσοῦτον κατεγέλασεν αὐτῆς, ὥστε, ὃ ἡμεῖς πάλαι ξυνομολογοῦντες καὶ ξυμπλάττοντες ἐτιθέμεθα σωφροσύνην εἶναι, τοῦτο ἡμῖν πάνυ ὑβριστικῶς ἀνωφελὲς ὂν ἀπέφαινε. Τὸ μὲν οὖν ἐμὸν 51.
καὶ ἧττον ἀγανακτῶ· ὑπὲρ δὲ σοῦ, ἢν δ' ἐγὼ, ὦ

---

50. *Τοῦτο μὲν δὴ — μεγαλοπρεπῶς* — i. e. *cum liberalitate quadam et ambitione, grofsmüthig:* v. ad Lysid. §. 28. In seqq. male vulgo distinctum post *ταῦτα*. Immo in his *ἅ τις μὴ οἶδε μηδαμῶς, ταῦτα εἰδέναι ἀμωσγέπως* respondent sibi liquido *μηδαμῶς* et *ἀμωσγέπως* i. e. *hactenus saltem, ut sciat se ea nescire.* Igitur statim addit *ὅτι γὰρ οὐκ οἶδέ φησιν αὐτὰ εἰδέναι ἡ ἡμετέρα ὁμολογία*, quae sic ordinanda: *ἡ ἡμετέρα γὰρ ὁμολογία φησὶν* (*αὐτὸν*) *εἰδέναι αὐτά, ὅτι οὐκ οἶδε, dedimus enim, cum de iis scire, se ea nescire.* Nihili ergo est, quod Stephanus coniecit *αὐτὸ* pro *αὐτὰ* illud *ὅτι* male pro pronomine accipiens. [*ἀμωσγέπως.* Hanc formulam cum cognatis hic et ubique cum aspero scripsit Be. codicibus hic sane non multum adjutus, alibi, ut Phaedr. 4. quam maxime.] Mox *εὐηθικὸς τῷ σκληρῷ* opponitur ea vi, quam saepius *εὐήθης* habet, velut iunguntur *πραότης* et *εὐήθεια, φιλανθρωπία* et *εὐήθεια*: vid. Wesseling. ad Herodot. III, 140. p. 269. — *τοσοῦτον κατεγέλασεν αὐτῆς, τῆς ἀληθείας, ita ludibrio habuit veritatem quaestio nostra;* unde mox egregie infertur illud *ὑβριστικῶς.*

§. 51. *Τὸ μὲν οὖν ἐμὸν*, v. ad §. 4. — *καὶ* ante *ἧττον* abundat, ut saepius. Theag. p. 121. d. *καὶ ἔλαττον.* — Quae se-

Χαρμίδη, πάνυ ἀγανακτῶ, εἰ σὺ τοιοῦτος ὢν τὴν
e. ἰδέαν καὶ πρὸς τούτῳ τὴν ψυχὴν σωφρονέστατος μη-
δὲν ὀνήσει ἀπὸ ταύτης τῆς σωφροσύνης, μηδέ τι σ᾽
ὠφελήσει ἐν τῷ βίῳ παροῦσα. Ἔτι δὲ μᾶλλον
ἀγανακτῶ ὑπὲρ τῆς ἐπῳδῆς, ἣν παρὰ τοῦ Θρᾳκὸς
ἔμαθον, εἰ μηδενὸς ἀξίου πράγματος οὖσαν αὐτὴν
μετὰ πολλῆς σπουδῆς ἐμάνθανον. Ταῦτ᾽ οὖν πάνυ
μὲν οὖν οὐκ οἶομαι οὕτως ἔχειν, ἀλλ᾽ ἐμὲ φαῦλον
εἶναι ζητητήν· ἐπεὶ τήνγε σωφροσύνην μέγα τι ἀγα-
θὸν εἶναι, καὶ εἴπερ γε ἔχεις αὐτὸ, μακάριον εἶναί
p. 176. a. σε. Ἀλλ᾽ ὅρα, εἰ ἔχεις τε καὶ μηδὲν δέει τῆς ἐπῳ-
δῆς. Εἰ γὰρ ἔχεις, μᾶλλον ἂν ἔγωγέ σοι συμβουλεύ-
σαιμι, ἐμὲ μὲν λῆρον ἡγεῖσθαι εἶναι καὶ ἀδύνατον
λόγῳ ὁτιοῦν ζητεῖν, σεαυτὸν δὲ, ὅσῳπερ σωφρονέ-
στερος εἶ, τοσούτῳ εἶναι καὶ εὐδαιμονέστερον. Καὶ
ὁ Χαρμίδης, Ἀλλὰ μὰ Δί᾽, ἦ δ᾽ ὅς, ἔγωγε, ὦ Σώ-
κρατες, οὐκ οἶδα, οὔτ᾽ εἰ ἔχω, οὔτ᾽ εἰ μὴ ἔχω.
Πῶς γὰρ ἂν εἰδείην ὅ γε μηδ᾽ ὑμεῖς οἷοί τέ ἐστε ἐξευ-
b. ρεῖν ὅ,τι ποτ᾽ ἐστὶν, ὡς φῂς σύ; Ἐγὼ μέντοι οὐ
πάνυ σοι πείθομαι, καὶ ἐμαυτὸν, ὦ Σώκρατες, πάνυ

---

quuntur ὑπὲρ δὲ σοῦ — σωφροσύνης, sine ulla mutatione profert Priscian. XVIII. ed. Putsch. p. 1193., ubi ὄνασθαι τοῦδε, καὶ τόδε, καὶ ἀπὸ τοῦδε dici monet. εἰ μηδενὸς ἀξίου πράγματος οὖσαν — i. e. σωφροσύνης. Supra §. 11. οὖ σὺ φῂς τὴν ἐπῳδὴν ἐχειν· φῂς δὲ σωφροσύνης. Ipsam autam σωφροσύνην esse οὐδὲν ἄξιον πράγμα ex istis quidem, quas protulerat Critias, definitionibus, modo demonstratum a Socrate. Ita clarus erit verborum sensus, Ficino Cornarioque non satis perspectus. λῆρον ἡγεῖσθαι εἶναι. Theaet. p. 176. d. οἴονται ἀκούειν ὅτι οὐ λῆροί εἰσι, γῆς ἄλλως ἄχθη, ἀλλ᾽ ἄνδρες κ. τ. λ.

οἶμαι δεῖσθαι τῆς ἐπῳδῆς, καὶ τόγ' ἐμὸν οὐδὲν κω-
λύει ἐπᾴδεσθαι ὑπὸ σοῦ ὅσαι ἡμέραι, ἕως ἂν φῇς σὺ
ἱκανῶς ἔχειν. Εἶεν, ἀλλ', ἔφη ὁ Κριτίας, ὦ Χαρμί- 52.
δη, εἰ δρᾷς τοῦτο, ἐμοιγ' ἔσται τοῦτο τεκμήριον, ὅτι
σωφρονεῖς, ἢν ἐπᾴδειν παρέχῃς Σωκράτει καὶ μὴ
ἀπολίπῃ τούτου μήτε μέγα μήτε σμικρόν. Ὡς ἀκο-
λουθήσοντος, ἔφη, καὶ μὴ ἀπολειψομένου. Δεινὰ
γὰρ ἂν ποιοίην, εἰ μὴ πειθοίμην σοὶ τῷ ἐπιτρόπῳ c.
καὶ μὴ ποιοίην ἃ κελεύεις. Ἀλλὰ μήν, ἔφη, κελεύω
ἔγωγε. Ποιήσω τοίνυν, ἔφη, ἀπὸ ταυτησὶ τῆς ἡμέ-
ρας ἀρξάμενος. Οὗτοι, ἦν δ' ἐγὼ, τί βουλεύεσθον
ποιεῖν; Οὐδὲν, ἔφη ὁ Χαρμίδης, ἀλλὰ βεβουλεύ-

---

§. 52. *Εἶεν, ἀλλ', ἔφη* — In verbis his paullo post vulgo legitur *ἵν' ἐπᾴδειν* — in quo particulae *ἵνα* tuendae rationem non video. Correxi *ἢν quando* [atque sic optimi Clark. Vat.]: neque in negligentiore paullo dialogi stilo offendere debet sententiae iteratio in verbis *εἰ δρᾷς τοῦτο* et *ἢν ἐπᾴδειν παρέχῃς Σωκράτει*. Similiter Hipp. Min. fin. *εἰ δὲ καὶ ὑμεῖς πλανήσεσθε οἱ σοφοὶ, τοῦτο ἤδη καὶ ἡμῖν δεινὸν, εἰ μηδὲ παρ' ὑμᾶς ἀφικόμενοι παυσόμεθα τῆς πλάνης.* Mox de formula illa *μήτε μέγα μήτε σμικρὸν*, Platoni admodum frequentata, vid. Bergl. ad Alciphr. p. 260. *Ὡς ἀκολουθήσοντος — καὶ μὴ ἀπολειψομένου.* Hic, et mox in verbis *ὡς βιασομένου*, subaudiendum *οὕτω διανοοῦ*, ut de rep. I. p. 327. c. *ὡς τοίνυν μὴ ἀκουσομένων, οὕτω διανοεῖσθε*: vel *οὕτως ἔχε τὴν γνώμην*: Xenoph. Cyrop. I, 6, 11. *ὡς οὖν ἐμοῦ, ἔφη, μηδέποτε ἀμελήσοντος τοῦ τὰ ἐπιτήδεια τοῖς στρατιώταις συμμηχανᾶσθαι, μήτε ἐν φιλίᾳ μήτε ἐν πολεμίᾳ, οὕτως ἔχε τὴν γνώμην.* II, 3, 15. *ὡς οὖν ἐμοῦγε καὶ ἀγωνιουμένου, καὶ — κατὰ τὴν ἀξίαν τιμᾶσθαι ἀξιώσοντος, οὕτως γίγνωσκε.*

52. *Οὗτοι — τί βουλεύεσθον ποιεῖν;* Imperite Cornarius cum Ficino: *quid hi facere volunt?* Verte: *Heus, quid facere inter vos agitatis?* Vid. Ruhnken. ad Lex. Tim. p. 279. Ald. *βούλεσθον*: pessime. Alterum illud firmatur verbis seqq. *ἀλλὰ*

μεθα. Βιάσει ἄρα, ἦν δ' ἐγὼ, καὶ οὐδ' ἀνάκρισίν μοι δώσεις. Ὡς βιασομένου, ἔφη, ἐπειδήπερ ὅδε γε ἐπιτάττει. Πρὸς ταῦτα σὺ αὖ βουλεύου, ὅ,τι ποιήσεις. Ἀλλ' οὐδεμία, ἔφην ἐγὼ, λείπεται βουλή.
d. Σοὶ γὰρ ἐπιχειροῦντι πράττειν ὁτιοῦν καὶ βιαζομένῳ οὐδεὶς οἷόστ' ἔσται ἐναντιοῦσθαι ἀνθρώπων. Μὴ τοίνυν, ἦ δ' ὅς, μηδὲ σὺ ἐναντιοῦ. Οὐ τοίνυν, ἦν δ' ἐγὼ, ἐναντιώσομαι.

βεβουλεύμεθα, neque admodum rarum est βουλεύεσθαι infinitivo iunctum. Phileb. p. 35. d. βίου γὰρ εἰδός τί μοι φαίνεται βουλεύεσθαι δηλοῦν ὁ λόγος — ubi iam non praefero βούλεσθαι. p. 50. e. τανῦν δὲ ἐπὶ τὰ λοιπὰ βουλεύομαι στέλλεσθαι. Et conf. Gronov. ad Aelian. Var. H. I. 21. In libris autem alterum cum altero assidue permutatum, de quo vid. Wesseling. ad Herodot. I. 165. et VI. 85.

ΠΛΑΤΩΝΟΣ

ΙΠΠΙΑΣ ΜΕΙΖΩΝ.

ΣΩΚΡΑΤΗΣ, ΙΠΠΙΑΣ.

Ἱππίας ὁ καλός τε καὶ σοφὸς, ὡς διὰ χρόνου ἡμῖν p. 281. a.
κατῆρας εἰς τὰς Ἀθήνας. ΙΠ. Οὐ γὰρ σχολὴ, ὦ Σώκρατες. Ἡ γὰρ Ἦλις, ὅταν τι δέηται διαπράξασθαι πρός τινα τῶν πόλεων, ἀεὶ ἐπὶ πρῶτον ἐμὲ ἔρχεται τῶν πολιτῶν αἱρουμένη πρεσβευτὴν, ἡγουμένη δικαστὴν καὶ ἄγγελον ἱκανώτατον εἶναι τῶν λόγων, οἳ ἂν παρὰ τῶν πόλεων ἑκάστων λέγωνται. Πολλάκις μὲν οὖν καὶ εἰς ἄλλας πόλεις ἐπρέσβευσα, b.

---

§. 1. Ἱππίας ὁ καλὸς —. In plano hoc initio ut paullulum immoremur, facit Sydenhami, Angli illius interpretis, diligentia, qui, mire argutatus in appellatione τοῦ καλοῦ, trahit eam ad *insignem* illum Sophistae *habitum* (conf. §. 25. Hipp. Min. p. 368. b. sq. Aelian. V. H. XII, 32.); neque repugnante sermonis usu, velut Sympos. p. 174. c. Socrates praeter solitum comptus dicitur οὕτω καλὸς γεγενημένος. Sed ita vereor ut ipse Hippias acceperit vulgare illud Atticae urbanitatis blandimentum. Phaedr. §. 145. Ἰσοκράτην τὸν καλόν. Phileb. p. 11. c. Φίληβος ὁ καλός. Protag. fin. Καλλίᾳ τῷ καλῷ. Xenoph. Mem. IV, 2, 1. Εὐθύδημον τὸν καλόν. Hellen. II. p. 470. c. Κριτίᾳ τῷ καλῷ. Conf. Dorv. ad. Charit. p. 23. Appellatio autem σοφοῦ cum omnium Sophistarum, tum Hippiae fuit eximie, hominis plurimarum artium scientiam iactantis: v. Pausan. p. 443. — ὡς διὰ χρόνου, *quam raro*. Cornar. Est potius, *quam longo intervallo;* in quo loquendi genere διὰ significat *post:* vid. intpp. ad Geopon. XIV. fin. Καταίρειν autem, in quo itidem argutatur Sydenh., de

πλεῖστα δὲ καὶ περὶ πλείστων καὶ μεγίστων εἰς τὴν Λακεδαίμονα. Διὸ δή, ὃ σὺ ἐρωτᾷς, οὐ θαμίζω
2. εἰς τούσδε τοὺς τόπους. ΣΩ. Τοιοῦτον μέντοι, ὦ Ἱππία, ἐστὶ τὸ τῇ ἀληθείᾳ σοφόν τε καὶ τέλειον ἄνδρα εἶναι. Σὺ γὰρ καὶ ἰδίᾳ ἱκανὸς εἶ, παρὰ τῶν νέων πολλὰ χρήματα λαμβάνων ἔτι πλείω ὠφελεῖν ὧν λαμβάνεις, καὶ αὖ δημοσίᾳ τὴν σαυτοῦ πό-
c. λιν ἱκανὸς εὐεργετεῖν, ὥσπερ χρὴ τὸν μέλλοντα μὴ καταφρονήσεσθαι, ἀλλ' εὐδοκιμήσειν ἐν τοῖς πολλοῖς. Ἀτὰρ, ὦ Ἱππία, τί ποτε τὸ αἴτιον, ὅτι οἱ παλαιοὶ ἐκεῖνοι, ὧν ὀνόματα μεγάλα λέγεται ἐπὶ σοφίᾳ, Πιτ-

---

iis, *qui et mari et terra iter faciunt*, usurpatum illustravit Ruhnken. ad Lex. Tim. p. 152. Pro illo εἰς τὰς Ἀθήνας Atticis vulgatius est Ἀθήναζε: vid. Thom. Mag. p. 14.

1. πλεῖστα δὲ καὶ περὶ πλ. Sic optime Bas. 2. [et omnes Be. praeter unum Par. E]. Vulgo καὶ deest. De rep. II. p. 377. e. τὸ μέγιστον καὶ περὶ τῶν μεγίστων ψεῦδος. Phaedr. §. 39. πολλὰ καὶ μετὰ πολλῶν ὅρκων. ὃ σὺ ἐρωτᾷς. [Sic Be. e pl. et opt. Vulgo ὃ καὶ σὺ ε.]

§. 2. Τοιοῦτον μέντοι — *Tam praeclarum est tantaeque utilitatis.* — ἔτι πλείω ὠφελεῖν. Bene Cornar., *maiorem, quam pro eorum, quae accipis, ratione utilitatem illis affers.* ὠφελεῖν τινα πλείω, μεγάλα (§. 8.), ut βλάπτειν μείζω Apolog. p. 30. c., tritum est dicendi genus. Mox εὐεργετεῖν cum delectu hic positum, nam proprium id est de *civibus, qui bene de patria merentur.* Xenoph. Mem. II, 1, 19. καὶ τοὺς φίλους εὖ ποιοῦσι καὶ τὴν πατρίδα εὐεργετοῦσι, unde honorifica illa apud Atticos εὐεργέτου appellatio. Illud ἐν τοῖς πολλοῖς callide addit vulgi contemptor.

2. Ἀτὰρ, ὦ Ἱππία — In his primum ὡς post ὅτι illatum, quo interrupta oratio contexatur, non rari est exempli. Plat. Epist. VII. p. 335. E. Δίωνα γὰρ ἐγὼ σαφῶς οἶδα — ὅτι, τὴν ἀρχὴν εἰ κατέσχεν, ὡς οὐκ ἂν ποτε ἐπ' ἄλλο γε σχῆμα ἀρχῆς ἐτράπετο. Isocrat. Amartyr. p. 792. Ὅτι δὲ, εἰ καὶ μηδὲν αὐτὸν ἐκώλυεν, ἀλλὰ καὶ ἐξῆν καὶ ἐβούλετο συνοφαντεῖν,

τακοῦ τε καὶ Βίαντος καὶ τῶν ἀμφὶ τὸν Μιλήσιον Θαλῆν καὶ ἔτι τῶν ὕστερον μέχρι Ἀναξαγόρου, ὡς ἢ πάντες ἢ οἱ πολλοὶ αὐτῶν φαίνονται ἀπεχόμενοι τῶν πολιτικῶν πράξεων; ΙΠ. Τί δ' οἴει, ὦ Σώκρατες, ἄλλο γε ἢ ἀδύνατοι ἦσαν καὶ οὐχ ἱκανοὶ ἐξικνεῖσθαι φρονήσει ἐπ' ἀμφότερα, τά τε κοινὰ καὶ τὰ d. ἴδια; ΣΩ. Ἆρ' οὖν, πρὸς Διός, ὥσπερ αἱ ἄλλαι 3. τέχναι ἐπιδεδώκασι, καὶ εἰσι παρὰ τοὺς νῦν δημιουργοὺς οἱ παλαιοὶ φαῦλοι, οὕτω καὶ τὴν ὑμετέραν τὴν τῶν σοφιστῶν τέχνην ἐπιδεδωκέναι φῶμεν, καὶ εἶναι

ὡς οὐκ ἂν ἐπ' Εὔθυνον ἦλθε, ῥᾴδιον γνῶναι. Atque ita inverso ordine ὡς — ὅτι Xenoph. Cyrop. V, 3, 30. ubi vid. Zeun. Deinde in genitivis his Πιττακοῦ etc. pro nominativis, post genitivum relativi, familiare est illud Graecis neque Latinis incognitum dicendi genus, de quo vid. Wolf ad. Demosth. Lept. p. 236. Illud τῶν ἀμφὶ τὸν Μιλ. Θαλ. de uno capiendum Thale, neque audiendus Sydenhamus. Conf. Graev. Lectt. Hesiod. c. 9. Enimvero de ipsa loci sententia, vulgo inter doctos constat, neque sine veterum testimoniis, illorum qui hic laudantur sapientiam magna ex parte positam fuisse in administratione peritiaque rerum cum publicarum tum privatarum, ut vel maxime a civili prudentia nomen illud Sapientum adepti sint. Cui sententiae plane adversari videtur h. l. Socratis vel potius Platonis auctoritas. Monuit hac de re Meinersius in Hist. Doctrin. ap. Gr. et Rom. T. I. p. 45., cui, quod hic Socrates dicit, magis ad sophistae cavillationem, quam e re et vero dictum videtur, in quo Platonem ait parum caute versatum saepe sibimet ipsum repugnare. Gravis profecto Platonis incusatio, quam nollem silentio transmissam ab acutissimo libri illius censore in Biblioth. Crit. P. VIII. p. 100. Quid? Itane statim in sermonis initio contradicendi ansam Hippiae Socrates dederit, homini antiquitatis perito (§. 12.), neque eam arripuerit sophista? Sed videndum de singulis. *Anaxagoram*, satis constat, otium et quietem secutum ad rerum cognitionem se totum contulisse. Cic. de Orat. III, 15. Tusc. V, 5, 39. et conf.

τῶν ἀρχαίων τοὺς περὶ τὴν σοφίαν φαύλους πρὸς ὑμᾶς; *III.* Πάνυ μὲν οὖν ὀρθῶς λέγεις. *ΣΩ.* Εἰ
p. 282. a. ἄρα νῦν ἡμῖν, ὦ Ἱππία, ὁ Βίας ἀναβιώῃ, γέλωτ' ἂν ὄφλοι πρὸς ὑμᾶς, ὥσπερ καὶ τὸν Δαίδαλόν φασιν οἱ ἀνδριαντοποιοί, νῦν εἰ γενόμενος τοιαῦτ' ἐρ-

---

§. 6. *Thalen*, quanquam rei publicae non defuerit, privatam tamen vitam adamasse, tradit Diog. Laert. I, 1, 25., auctore Heraclide, cuius fidem nobis non elevavit Meiners l. l. p. 44. *Bias* autem etsi in summis illius aetatis oratoribus fuit, afflictorum civium causas sine ullo agens pretio (v. Laert. I, 5, 84. ibiq. Menag.), idem tamen, privatarum causarum patronus, quidni vere dicatur ἀπεχόμενος τῶν πολιτικῶν πράξεων? Unus itaque superest *Pittacus*, quem decem annos Mitylenaeorum principatum tenuisse remque publicam ordinasse ait Laert. 1, 4, 75. At vero eundem sponte se hoc munere abdicasse, idem tradit Laertius, adeoque invitis civibus (vid. Menag. ibid. §. 74. conf. Schol. Plat. in Cratyl. p. 14.), ut certe non illo sophistarum more publica tractarit negotia. Nimirum fallor aut dicit haec sophistarum cavillator, quo statim vani hominis ambitionem provocet, non ex sua ipsius mente, sed ex communi sophistarum opinione, qui sibi solis civilis prudentiae inventionem vindicantes, si quis forte veterum illorum tanquam princeps, non tanquam sapiens, rem publicam aliquando administrasset, id nihili prorsus facerent; quam opinionem respexit, opinor, quodammodo Aristot. Eth. VI, 7. Ἀναξαγόραν καὶ Θαλῆν καὶ τοὺς τοιούτους σοφοὺς μὲν, φρονίμους δ' οὔ φασιν εἶναι, ὅταν ἴδωσιν ἀγνοοῦντας τὰ συμφέροντ' αὐτοῖς, καὶ περιττὰ μὲν καὶ θαυμαστὰ καὶ χαλεπὰ καὶ δαιμόνια εἰδέναι αὐτοὺς φασιν, ἄχρηστα δὲ, ὅτι οὐ τὰ ἀνθρώπινα ἀγαθὰ ζητοῦσιν.

§. 3. Πάνυ μὲν οὖν ὀρθῶς λέγεις. Malebat aliquis distinguere Πάνυ μὲν οὖν. Ὀρθῶς λέγ. Perperam. Protag. p. 312. b. Πάνυ μὲν οὖν μοι δοκεῖ — τοιαύτη εἶναι — ἡ μάθησις, ubi, distinctione post οὖν facta, rescribi deberet δοκεῖ μοι. Charm. §. 51. Ταῦτ' οὖν πάνυ μὲν οὖν οὐκ οἶμαι —. γέλωτ' ἂν ὄφλοι πρὸς ὑμᾶς. Imperite Serranus cum Ficino: *ridiculus vobis videretur*. Immo πρὸς ὑμᾶς, *si vobiscum compararetur*. Statim post in edd. distinctum οἱ ἀνδριαντοποιοὶ

γάζοιτο οἷα ἦν ἀφ' ὧν τοὔνομ' ἔσχε, καταγέλαστον ἂν εἶναι. III. Ἔστι μὲν ταῦτα, ὦ Σώκρατες, οὕτως ὡς σὺ λέγεις, εἴωθα μέντοι ἔγωγε τοὺς παλαιούς τε καὶ προτέρους ἡμῶν προτέρους τε καὶ μᾶλλον ἐγκωμιάζειν ἢ τοὺς νῦν, εὐλαβούμενος μὲν φθόνον τῶν ζώντων, φοβούμενος δὲ μῆνιν τῶν τετελευτηκότων. ΣΩ. Καλῶς γε σὺ, ὦ Ἱππία, νομίζων τε καὶ διανοούμενος, ὡς ἐμοὶ δοκεῖς. Συμμαρτυ- b.
ρῆσαι δέ σοι ἔχω, ὅτι ἀληθῆ λέγεις, καὶ τῷ ὄντι ὑμῶν ἐπιδέδωκεν ἡ τέχνη πρὸς τὸ καὶ τὰ δημόσια πράττειν δύνασθαι μετὰ τῶν ἰδίων. Γοργίας τε γὰρ 4.
οὗτος ὁ Λεοντῖνος σοφιστὴς δεῦρο ἀφίκετο δημοσίᾳ οἴκοθεν πρεσβεύων, ὡς ἱκανώτατος ὢν Λεοντίνων τὰ κοινὰ πράττειν, καὶ ἔν τε τῷ δήμῳ ἔδοξεν ἄριστα εἰπεῖν, καὶ ἰδίᾳ ἐπιδείξεις ποιούμενος καὶ συνὼν τοῖς νέοις χρήματα πολλὰ εἰργάσατο καὶ ἔλαβεν ἐκ τῆσδε τῆς πόλεως. Εἰ δὲ βούλει, ὁ ἡμέτερος ἑταῖ- c.

νῦν, εἰ — ex quo Cornarius: *huius temporis statuarii.* Recte, si legisset *οἱ νῦν ἀνδρ.*, et tum iterum *νῦν* ad *γενόμενος* inserendum esset. Nimirum ut dixerat *εἰ ἄρα νῦν ὁ Βίας ἀναβιώη*, ita hic infert, *νῦν εἰ γεν. nunc si vivens talia fabricaretur.* τοὔνομα, *magnum illud nomen.* Protag. p. 335. a. *οὐδενὸς ἂν βελτίων ἐφαινόμην, οὐδ' ἂν ἐγένετο Πρωταγόρου ὄνομα ἐν τοῖς Ἕλλησι.* Monui, ne cui τοὔνομα trahendum videretur ad ipsum *Daedali* nomen, quod ei *ἀπὸ τῶν δαιδάλων, οὐκ ἐκ γενετῆς*, inditum tradit Pausan. IX, 3.

§. 4. *Γοργίας τε γὰρ οὗτος* — Gorgias Athenas venit publice missus a Leontinis, auxilia adversus Syracusanos petitum: v. Diod. Sic. XII, 53. Pausan. VI, 17. *οὗτος, ille, bene notus.* χρήματα πολλά. a singulis enim discipulis *centum minas* exigebat; vid. Diod. Sic. l. l. et Suid. v. *Γοργίας.* ὁ ἡμέτ. ἑταῖρος. Prodici discipulum appellat se

ρος Πρόδικος οὗτος πολλάκις μὲν καὶ ἄλλοτε δημοσίᾳ ἀφίκετο, ἀτὰρ τατελευταῖα ἔναγχος ἀφικόμενος δημοσίᾳ ἐκ Κέω λέγων τ' ἐν τῇ βουλῇ πάνυ εὐδοκίμησε, καὶ ἰδίᾳ ἐπιδείξεις ποιούμενος καὶ τοῖς νέοις συνὼν χρήματα ἔλαβε θαυμαστὰ ὅσα. Τῶν δὲ παλαιῶν ἐκείνων οὐδεὶς πώποτε ἠξίωσεν ἀργύριον μισθὸν πρά-
d. ξασθαι, οὐδ' ἐπιδείξεις ποιήσασθαι ἐν παντοδαποῖς ἀνθρώποις τῆς ἑαυτοῦ σοφίας· οὕτως ἦσαν εὐήθεις καὶ ἐλελήθει αὐτοὺς ἀργύριον ὡς πολλοῦ ἄξιον εἴη. Τούτων δ' ἑκάτερος πλέον ἀργυρίου ἀπὸ σοφίας εἴργασται, ἢ ἄλλος δημιουργὸς ἀφ' ἥστινος τέχνης· καὶ
5. ἔτι πρότερος τούτων Πρωταγόρας. III. Οὐδὲν γὰρ, ὦ Σώκρατες, οἶσθα τῶν καλῶν περὶ τοῦτο. Εἰ γὰρ εἰδείης, ὅσον ἀργύριον εἴργασμαι ἐγὼ, θαυμάσαις ἄν. Καὶ τὰ μὲν ἄλλα ἐῶ· ἀφικόμενος δέ ποτε εἰς Σικελίαν, Πρωταγόρου αὐτόθι ἐπιδημοῦν-

---

Socrates Protag. p. 341. a. Conf. Cratyl. p. 384. b. Meno p. 96. d. χρήματα θαυμαστὰ ὅσα. Nam erat eius de vocabulorum differentia ἐπίδειξις πεντηκοντάδραχμος. Plat. Cratyl. l. l. Aristot. Rhet. III, 14. Conf. Axioch. §. 6.

4. ἐν παντοδαποῖς ἀνθρ. apud omnis generis et ordinis homines, peritos, imperitos, quos vocat de legg. II. p. 665. e. παντοίους ἀνθρώπους. Ibid. IV. 707. a. παντοδαπῶν καὶ οὐ πάνυ σπουδαίων ἀνθρώπων. ἢ ἄλλος δημιουργ. Meno p. 91. d. Οἶδα γὰρ ἄνδρα ἕνα Πρωταγόραν πλείω χρήματα κτησάμενον ἀπὸ ταύτης τῆς σοφίας, ἢ Φειδίαν γε, ὃς οὕτω περιφανῶς καλὰ ἔργα εἰργάζετο, καὶ ἄλλους δέκα τῶν ἀνδριαντοποιῶν etc. — De Protagora Laert. IX, 52. πρῶτος μισθὸν εἰσεπράξατο μνᾶς ἑκατὸν, ubi vid. Menag.

§. 5. Οὐδὲν γὰρ, ὦ Σώκρ. Non mirum, nullam dum mei a te mentionem factam. Nam etc. Ita fere γὰρ h. l. ex vulgatissimo Graecorum usu ad omissam refertur sententiam. Ipsa autem haec verba habent colorem quendam proverbii. Euthyd.

τος καὶ εὐδοκιμοῦντος καὶ πρεσβυτέρου ὄντος καὶ e.
πολὺ νεώτερος ὢν ἐν ὀλίγῳ χρόνῳ πάνυ πλέον ἢ πεν-
τήκοντα καὶ ἑκατὸν μνᾶς εἰργασάμην, καὶ ἐξ ἑνός γε
χωρίου πάνυ σμικροῦ, Ἰννικοῦ, πλέον ἢ εἴκοσι μνᾶς.
Καὶ τοῦτο ἐλθὼν οἴκαδε φέρων τῷ πατρὶ ἔδωκα,
ὥστε ἐκεῖνον καὶ τοὺς ἄλλους πολίτας θαυμάζειν τε
καὶ ἐκπεπλῆχθαι. Καὶ σχεδόν τι οἶμαι ἐμὲ πλείω
χρήματα εἰργάσθαι ἢ ἄλλους σύνδυο οὕστινας βού-
λει τῶν σοφιστῶν. ΣΩ. Καλόν γε, ὦ Ἱππία, λέ- 6.
γεις καὶ μέγα τεκμήριον σοφίας τῆς τε σεαυτοῦ καὶ p. 283 a.
τῶν νῦν ἀνθρώπων πρὸς τοὺς ἀρχαίους ὅσον διαφέ-
ρουσι. Τῶν γὰρ προτέρων περὶ Ἀναξαγόρου λέγε-
ται πολλὴ ἀμαθία κατὰ τὸν σὸν λόγον. Τοὐναντίον
γὰρ Ἀναξαγόρᾳ φασὶ συμβῆναι ἢ ὑμῖν· καταλει-

---

p. 293. d. τὸ λεγόμενον, καλὰ δὴ πάντα λέγεις. πρεσβυτέρου. Conf. Protag. p. 317. c. [Quod sequitur καὶ ante πολὺ recte, opinor, om. Angel. v. *Buttm.*] — Paullo post in illis ἐν ὀλίγῳ χρόνῳ πάνυ πλέον voculam πάνυ ad ὀλίγῳ traho. Pari traiectione Lysias p. 623. Reisk. ἐμοὶ πολλὴν ἐξὸν πάνυ προῖκα λαβεῖν, ἐλάττω συνεβούλευσεν. Xenoph. Cyrop. I, 6, 39. τὰς μηχανὰς, ἃς καὶ πάνυ ἐπὶ τοῖς μικροῖς θηρίοις ἐμηχανῶ, quam ibi scripturam firmare mihi quidem videntur illa Platonis Euthyphr. p. 14. b. ἢ πολύ μοι διὰ βραχυτέρων εἶπες. de rep. IX. p. 589. e. πολὺ ἐπὶ δεινοτέρῳ ὀλέθρῳ χρυσὸν δωροδοκεῖ. — Mox *Inycus*, Siciliae oppidulum, alias Ἴννξ dicitur: v. Valcken. ad Herodot. VI, 23. — In verbis denique φέρων ἔδωκα notum Graecismum eruditissime explicavit Hemsterh. ad Lucian. Diall. Mort. VI, 3. ἢ ἄλλους σύνδυο. Sic iunctim scribendum, non, ut vulgo, σὺν δύο, monuit iam Stephanus. Eodem modo σύντρεις, σύμπεντε. v. Valcken. ad Herodot. IV, 66.

§. 6. Τῶν γὰρ προτέρων περὶ Ἀναξαγόρου — Verum vidit h. l. Sydenhamus, genitivum hunc Ἀναξαγόρου e margine in textum irrepsisse suspicans. Neque enim ferri potest du-

φθέντων γὰρ αὐτῷ πολλῶν χρημάτων καταμελῆσαι καὶ ἀπολέσαι πάντα· οὕτως αὐτὸν ἀνόητα σοφίζεσθαι. Λέγουσι δὲ καὶ περὶ ἄλλων τῶν παλαιῶν ἕτερα τοιαῦτα. Τοῦτο μὲν οὖν μοι δοκεῖς καλὸν τεκμήριον
b. ἀποφαίνειν περὶ σοφίας τῶν νῦν πρὸς τοὺς προτέρους, καὶ πολλοῖς συνδοκεῖ, ὅτι τὸν σοφὸν αὐτὸν αὑτῷ μάλιστα δεῖ σοφὸν εἶναι. Τούτου δ' ὅρος
7. ἐστὶν ἆρα, ὃς ἂν πλεῖστον ἀργύριον ἐργάσηται. Καὶ ταῦτα μὲν ἱκανῶς ἐχέτω· τόδε δέ μοι εἰπέ, σὺ αὐτὸς πόθεν πλεῖστον ἀργύριον εἰργάσω τῶν πόλεων, εἰς ἃς ἀφικνεῖ; ἢ δῆλον ὅτι ἐκ Λακεδαίμονος, οἵπερ καὶ πλειστάκις ἀφῖξαι; *III.* Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες. *ΣΩ.* Πῶς φῄς; ἀλλ' ἐλάχιστον; *III.*

---

plex genit. τῶν προτ. et Ἀναξαγόρου, et molestissima est mox nominis iteratio Ἀναξαγόρᾳ pro αὐτῷ vel τούτῳ. Inducto autem illo Ἀναξαγόρου, sententia hic in universum prolata (τῶν γὰρ προτέρων πέρι) statim post commode illustratur exemplo aliquo. De ipsa re vid. Laert. II, 6. ibiq. Menag. et Baylii Lex. v. Anaxagoras. Mox verbo ἀνόητα, pro quo lenium coniecturarum amator coniiciebat ἀνόνητα, haud scio an νοῦς ille Anaxagorae significetur, a quo ipse philosophus νοῦς dictus: v. Laert. l. l.

6. περὶ ἄλλων τῶν παλαιῶν, *de ceteris illorum temporum sapientibus* Ficin., quasi legisset περὶ τῶν ἄλλων τῶν παλ.: sed ἄλλοι τῶν παλαιῶν sunt *alii veterum*. Attigi interdum talia, ut a coniectandi libidine Platonem tuerer. Ad seqq. illa καὶ πολλοῖς συνδοκεῖ pertinet Euripidis ille versus Ciceroni Epist. ad Fam. XIII, 15. laudatus, *Μισῶ σοφιστήν, ὅστις οὐχ αὑτῷ σοφός*. Conf. de Offic. III, 15, 9. ibiq. Heusing. et Aristot. Eth. VI, 7. Deinde post ἐργάσηται suppleri potest tacite, τοῦτον εἶναι σοφώτατον.

§. 7. οἵπερ καὶ πλειστάκ. Ita correxi pro οἵπερ, auctoritate Dorvillii ad Charit. p. 119. non deterritus [In

Οὐδὲν μὲν οὖν τοπαράπαν πώποτε. ΣΩ. Τέρας c.
λέγεις καὶ θαυμαστὸν, ὦ Ἱππία. Καί μοι εἰπὲ, πότερον ἡ σοφία ἡ σὴ οὐχ οἵα τοὺς συνόντας αὐτῇ καὶ μανθάνοντας εἰς ἀρετὴν βελτίους ποιεῖν. ΙΠ. Καὶ πολύ γε, ὦ Σώκρατες. ΣΩ. Ἀλλὰ τοὺς μὲν Ἰνυκίνων υἱεῖς οἵόστε ἦσθα ἀμείνους ποιῆσαι, τοὺς δὲ Σπαρτιατῶν ἠδυνάτεις; ΙΠ. Πολλοῦ γε δέω. ΣΩ. Ἀλλὰ δῆτα Σικελιῶται μὲν ἐπιθυμοῦσιν ἀμείνους γίγνεσθαι, Λακεδαιμόνιοι δ' οὔ. ΙΠ. Πάντως που, d.
ὦ Σώκρατες, καὶ Λακεδαιμόνιοι. ΣΩ. Ἆρ' οὖν 8.
χρημάτων ἐνδεία ἔφευγον τὴν σὴν ὁμιλίαν; ΙΠ. Οὐ δῆτα, ἐπεὶ ἱκανὰ αὐτοῖς ἐστι. ΣΩ. Τί δῆτ' ἂν εἴη, ὅτι ἐπιθυμοῦντες καὶ ἔχοντες χρήματα, καὶ σοῦ δυναμένου τὰ μέγιστα αὐτοὺς ὠφελεῖν, οὐ πλήρη σε ἀργυρίου ἀπέπεμψαν; Ἀλλ' ἐκεῖνο μῶν μὴ Λακεδαι-

---

seqq. aut *Ἰννκίνων* scribendum, quod praetulimus cum Be., aut *Ἰνυκηνῶν*, quod est in Vind. et Ven. Σ. Vulgo *-ινῶν*.]

§. 8. *Οὐ δῆτα, ἐπεὶ ἱκανὰ αὐτοῖς* — a Persici potissimum belli temporibus, labante iam tum Spartanorum disciplina: v. Xenoph. Resp. Lac. p. 689. e. Luculentus autem est de magnis, quibus tum Spartani pollebant, opibus locus in Plat. Alcib. I. p. 122. e. *Χρυσίον καὶ ἀργύριον οὐκ ἔστιν ἐν πᾶσιν Ἕλλησιν ὅσον ἐν Λακεδαίμονι ἰδίᾳ. Πολλὰς γὰρ ἤδη γενεὰς εἰσέρχεται μὲν αὐτόσε ἐξ ἁπάντων τῶν Ἑλλήνων, πολλάκις δὲ καὶ βαρβάρων, ἐξέρχεται δὲ οὐδαμόσε* — *ὥστε εὖ χρὴ εἰδέναι, ὅτι καὶ χρυσῷ καὶ ἀργύρῳ οἱ ἐκεῖ πλουσιώτατοί εἰσι τῶν Ἑλλήνων καὶ αὐτῶν ἐκείνων ὁ βασιλεύς.* Conf. Plutarch. Lysand. ed. Bryan. T. III. p. 25. et intpp. ad Aelian. V. H. XIV, 29. Mox ad *ἐπιθυμοῦντες* subaudi *τῆς σῆς ὁμιλίας.* — Deinde ad verba *Ἀλλ' ἐκεῖνο* etc. non opus erat longa illa Stephano annotatione, neque hic *ἀνακολουθίαν* agnoscendam puto. *Ἀλλ' ἐκεῖνο*, uti ap. Latinos *at illud*, saepius ita infertur, a sequenti structura seiunctum. Lucian. Nigrin. §. 8.

μόνιοι σοῦ βέλτιον ἂν παιδεύσειαν τοὺς αὑτῶν παῖδας; ἢ τοῦτο φῶμεν οὕτω, καὶ σὺ συγχωρεῖς; *ΙΠ.*
e. *Οὐδ' ὁπωστιοῦν.* *ΣΩ.* *Πότερον οὖν τοὺς νέους οὐχ οἷόσ' ἦσθα πείθειν ἐν Λακεδαίμονι, ὡς σοὶ συνόντες πλέον ἂν εἰς ἀρετὴν ἐπιδιδοῖεν ἢ τοῖς ἑαυτῶν; ἢ τοὺς ἐκείνων πατέρας ἠδυνάτεις πείθειν, ὅτι σοὶ χρὴ παραδιδόναι μᾶλλον ἢ αὐτοὺς ἐπιμελεῖσθαι, εἴπερ τι τῶν υἱῶν κήδονται; Οὐ γάρ που ἐφθόνουν γε τοῖς ἑαυτῶν παισὶν ὡς βελτίστους γενέσθαι.* *ΙΠ.* *Οὐκ οἶμαι ἔγωγε φθονεῖν.* *ΣΩ.* *Ἀλλὰ μὴν εὐνομός γ'*
p. 284. a. *ἡ Λακεδαίμων.* *ΙΠ.* *Πῶς γὰρ οὔ;* *ΣΩ.* *Ἐν δέ γε*
9. *ταῖς εὐνόμοις πόλεσι τιμιώτατον ἡ ἀρετή.* *ΙΠ.* *Πάνυ γε.* *ΣΩ.* *Σὺ δὲ ταύτην παραδιδόναι ἄλλῳ κάλλιστ' ἀνθρώπων ἐπίστασαι.* *ΙΠ.* *Καὶ πολύ γε, ὦ Σώκρατες.* *ΣΩ.* *Ὁ οὖν κάλλιστ' ἐπιστάμενος ἱππικὴν παραδιδόναι, ἆρ' οὐκ ἂν ἐν Θετταλίᾳ τῆς Ἑλλάδος μάλιστα τιμῷτο καὶ πλεῖστα χρήματα λαμβάνοι, καὶ ἄλλοθι ὅπου τοῦτο σπουδάζοιτο;* *ΙΠ.* *Εἰκός γε.*
b. *ΣΩ.* *Ὁ δὴ δυνάμενος παραδιδόναι τὰ πλείστου ἄξια*

Εὖ λέγεις καὶ οὕτω χρὴ ποιεῖν. Ἀλλ' ἐκεῖνο, ὦ ἑταῖρε, ἤδη τραγικοὶς ἢ καὶ νὴ Δία κωμικοὺς φαύλους ἑώρακας ὑποκριτὰς etc., ubi vid. Hemsterh.

8. *Οὐ γάρ που ἐφθόνουν — ὡς βελτίστους γενέσθαι.* Accuratius *βελτίστοις*: quanquam eiusmodi a dativo ad accusativum transitus non est Graecis infrequens. V. Reitz. ad. Lucian. de Electr. §. 3.

§. 9. *ἆρ' οὐκ ἂν ἐν Θετταλίᾳ* — Thessalia enim, regio campestris et pascua, equos ferebat generosissimos, unde celeberrimus Thessalorum equitatus: v. Valcken. in Oratt. Hemst. et Valck. p. 258. Conf. Plat. Meno init. et intpp. ad Lucan. VI. p. 396.

μαθήματα εἰς ἀρετὴν, οὐκ ἐν Λακεδαίμονι μάλιστα τιμήσεται καὶ πλεῖστα ἐργάσεται χρήματα, ἂν βούληται, καὶ ἐν ἄλλῃ πόλει ἥτις τῶν Ἑλληνίδων εὐνομεῖται, ἀλλ' ἐν Σικελίᾳ, ὦ ἑταῖρε, οἴει, μᾶλλον καὶ ἐν Ἰωνίᾳ; Ταῦτα πειθώμεθα, ὦ Ἱππία; Ἐὰν γὰρ σὺ κελεύῃς, πειστέον. ΙΙΙ. Οὐ γὰρ πάτριον, ὦ Σώκρατες, Λακεδαιμονίοις κινεῖν τοὺς νόμους, οὐδὲ παρὰ τὰ εἰωθότα παιδεύειν τοὺς υἱεῖς. ΣΩ. Πῶς λέγεις; Λακεδαιμονίοις οὐ πάτριον ὀρθῶς πράττειν, ἀλλ' ἐξαμαρτάνειν; ΙΙΙ. Οὐκ ἂν φαίην ἔγωγε, ὦ c. Σώκρατες. ΣΩ. Οὐκοῦν ὀρθῶς ἂν πράττοιεν, βέλτιον ἀλλὰ μὴ χεῖρον παιδεύοντες τοὺς νέους; ΙΙΙ. Ὀρθῶς· ἀλλὰ ξενικὴν παίδευσιν οὐ νόμιμον αὐτοῖς 10. παιδεύειν· ἐπεὶ, εὖ ἴσθι, εἴπερ τις ἄλλος ἐκεῖθεν χρήματα ἔλαβε πώποτε ἐπὶ παιδεύσει, καὶ ἐμὲ ἂν λαβεῖν πολὺ μάλιστα. Χαίρουσι γοῦν ἀκούοντες ἐμοῦ καὶ ἐπαινοῦσιν. Ἀλλ', ὃ λέγω, οὐ νόμος. ΣΩ. Νόμον δὲ λέγεις, ὦ Ἱππία, βλάβην πόλεως εἶναι ἢ ὠφέλειαν; ΙΙΙ. Τίθεται μὲν, οἶμαι, d. ὠφελείας ἕνεκα, ἐνίοτε δὲ καὶ βλάπτει, ἐὰν κακῶς

---

9. ἀλλ' ἐν Σικελίᾳ, luxurie dissolutisque moribus infamata regione. Nota est Συρακουσία illa τράπεζα καὶ Σικελικὴ ποικιλία ὄψων: de rep. III. p. 404. d. Conf. Plat. Epist. VII. p. 326. b. et intpp. ad Horat. Carm. III, 1, 18. Deinde verba Ταῦτα πειθώμεθα recte Stephanus a praecedd. separanda monuit. Nam πείθεσθαί τι tritissimum est loquendi genus. Οὐ γὰρ πάτριον — Inde Lacedaemonem Isocrates dicit τὴν μάλιστα τὰ παλαιὰ διασώζουσαν Hel. Laud. p. 431. Conf. id. de Pac. p. 353. Cic. pro Flacc. c. 26.

§. 10. Τίθεται μὲν, οἶμαι — Cornar. Sancitur quidem utilitatis gratia. Aliquando vero etiam laedit, si male sancita

τεθῇ, ὁ νόμος. ΣΩ. Τί δέ; οὐχ ὡς ἀγαθὸν μέγιστον πόλει τίθενται τὸν νόμον οἱ τιθέμενοι, καὶ ἄνευ τούτου μετὰ εὐνομίας ἀδύνατον οἰκεῖν; ΙΠ. Ἀληθῆ λέγεις. ΣΩ. Ὅταν ἄρα ἀγαθοῦ ἁμάρτωσιν οἱ ἐπιχειροῦντες τοὺς νόμους τιθέναι, νομίμου τε καὶ νόμου ἡμαρτήκασιν. Ἢ πῶς λέγεις; ΙΠ.
e. Τῷ μὲν ἀκριβεῖ λόγῳ, ὦ Σώκρατες, οὕτως ἔχει· οὐ μέντοι εἰώθασιν ἄνθρωποι ὀνομάζειν οὕτω. ΣΩ. Πότερον, ὦ Ἱππία, οἱ εἰδότες ἢ οἱ μὴ εἰδότες; ΙΠ. Οἱ πολλοί. ΣΩ. Εἰσὶ δ' οὗτοι οἱ εἰδότες ταληθές, οἱ πολλοί; ΙΠ. Οὐ δῆτα. ΣΩ. Ἀλλὰ μήν που οἵγ' εἰδότες τὸ ὠφελιμώτερον τοῦ ἀνωφελεστέρου νομιμώτερον ἡγοῦνται τῇ ἀληθείᾳ πᾶσιν ἀνθρώποις. Ἢ οὐ συγχωρεῖς; ΙΠ. Ναὶ, συγχωρῶ, ὅτι γε τῇ ἀληθείᾳ. ΣΩ. Οὐκοῦν ἔστι γε καὶ ἔχει οὕτως, ὡς
11. οἱ εἰδότες ἡγοῦνται; ΙΠ. Πάνυ γε. ΣΩ. Ἔστι
p. 285. a. δέ γε Λακεδαιμονίοις, ὡς σὺ φῂς, ὠφελιμώτερον τὴν ὑπὸ σοῦ παίδευσιν, ξενικὴν οὖσαν, παιδεύεσθαι μᾶλλον ἢ τὴν ἐπιχωρίαν. ΙΠ. Καὶ ἀληθῆ γε λέγω. ΣΩ. Καὶ γὰρ ὅτι τὰ ὠφελιμώτερα νομιμώτερά ἐστι, καὶ τοῦτο λέγεις, ὦ Ἱππία; ΙΠ. Εἶπον γὰρ. ΣΩ. Κατὰ τὸν σὸν ἄρα λόγον τοῖς Λακεδαιμονίων υἱέσιν ὑπὸ Ἱππίου παιδεύεσθαι νομιμώτερόν ἐστιν,

---

lex fuerit. Scilicet vulgo incommode distinguitur — ὠφελείας ἕνεκα· ἐνίοτε —, ἐὰν — τεθῇ ὁ νόμος, in quo illud ὁ νόμος moleste redundabat. Mox οἱ ἐπιχ. τοὺς νόμ. τιθέναι dictum de iis, qui *νόμους γράφουσι*, superius illud οἱ τιθέμενοι de civitatibus rogatam legem iubentibus: v. Wolf. Prolegg. ad Demosth. Lept. p. CXXVII.

ὑπὸ δὲ τῶν πατέρων ἀνομώτερον, εἴπερ τῷ ὄντι ὑπὸ σοῦ πλείω ὠφεληθήσονται. ΙΠ. Ἀλλὰ μὴν ὠφεληθήσονται, ὦ Σώκρατες. ΣΩ. Παρανομοῦσιν ἄρα b. Λακεδαιμόνιοι οὐ διδόντες σοι χρυσίον καὶ ἐπιτρέποντες τοὺς αὑτῶν υἱεῖς. ΙΠ. Συγχωρῶ ταῦτα. Δοκεῖς γάρ μοι τὸν λόγον πρὸς ἐμοῦ λέγειν, καὶ οὐδέν με δεῖ αὐτῷ ἐναντιοῦσθαι. ΣΩ. Παρανόμους μὲν δὴ, ὦ ἑταῖρε, τοὺς Λάκωνας εὑρίσκομεν, καὶ ταῦτ' εἰς τὰ μέγιστα, τοὺς νομιμωτάτους δοκοῦντας εἶναι. Ἐπαινοῦσι δὲ δή σε, πρὸς θεῶν, ὦ Ἱππία, καὶ χαίρουσιν ἀκούοντες ποῖα; ἢ δῆλον δὴ ὅτι ἐκεῖνα, ἃ σὺ κάλλιστα ἐπίστασαι, τὰ περὶ τὰ ἄστρα τε καὶ τὰ οὐράνια πάθη; ΙΠ. Οὐδ' ὁπωστιοῦν ταῦτά γε, c. οὐδ' ἀνέχονται. ΣΩ. Ἀλλὰ περὶ γεωμετρίας τι χαίρουσιν ἀκούοντες; ΙΠ. Οὐδαμῶς, ἐπεὶ οὐδ' ἀριθμεῖν ἐκείνων γε, ὡς ἔπος εἰπεῖν, πολλοὶ ἐπίστανται. ΣΩ. Πολλοῦ ἄρα δέουσι περί γε λογισ- 12.

---

§. 11. *Δοκεῖς γὰρ — πρὸς ἐμοῦ λέγειν, e re mea:* vid. Koen. ad Gregor. p. 44. *τὰ περὶ τὰ ἄστρα* etc. Conf. Protag. p. 315. e. Hipp. Min. p. 368. d. In seqq. formula *ὡς ἔπος εἰπεῖν*, paullulum traiecta, pertinet ad *οὐδ' ἀριθμεῖν*. Hipp. Min. p. 372. b. *οὐδὲν γάρ μοι δοκεῖ τῶν αὐτῶν καὶ ὑμῖν, ὡς ἔπος εἰπεῖν*, in quibus postrema referenda ad *οὐδέν*. Schol. Plat. p. 46. *ὡς ἔπος εἰπεῖν, ὡς φαίνεται, ὡς ἐν λόγῳ εἰπεῖν. Τοῦτο σχηματίζεται παρὰ τοῖς παλαιοῖς, καὶ, ὡς εἰπεῖν ἔπος, καὶ, ὡς ἔπος εἰπεῖν, καὶ, ὡς ἔπος φάναι, καὶ, ὡς φάναι ἔπος. Ἔτι δὲ καὶ διὰ μιᾶς λέξεως ἐκφωνεῖται, οἷον, ὡς φάναι, καὶ, ὡς εἰπεῖν. Σημαίνει δὲ τὸ αὐτό. Οἱ δέ φασιν ἀντὶ τοῦ, ὡς φαίνεται, κεῖσθαι, ἢ ἀντὶ τοῦ, ὡς ἐν λόγῳ εἰπεῖν.* Neutri recte. Formula semper infertur mitigandae orationis causa, ut Latinorum *prope* et *prope dixerim*, additurque vulgo illis *οὐδέν* et *πάντες* quae modeste restringat. Plat. de

μῶν ἀνέχεσθαί σου ἐπιδεικνυμένου. ΙΠ. Πολλοῦ μέντοι, νὴ Δία. ΣΩ. Ἀλλὰ δῆτα ἐκεῖνα ἃ σὺ ἀκριβέ-
d. στατα ἐπίστασαι ἀνθρώπων διαιρεῖν, περί τε γραμμάτων δυνάμεως καὶ συλλαβῶν καὶ ῥυθμῶν καὶ ἁρμονιῶν; ΙΠ. Περὶ ποίων, ὦ γαθὲ, ἁρμονιῶν καὶ γραμμάτων; ΣΩ. Ἀλλὰ τί μήν ἐστιν, ἃ ἡδέως σου ἀκροῶνται καὶ ἐπαινοῦσιν; Αὐτός μοι εἰπὲ, ἐπειδὴ ἐγὼ οὐχ εὑρίσκω. ΙΠ. Περὶ τῶν γενῶν, ὦ Σώκρατες, τῶν τε ἡρώων καὶ τῶν ἀνθρώπων, καὶ τῶν κατοικίσεων, ὡς τὸ ἀρχαῖον ἐκτίσθησαν αἱ πόλεις, καὶ συλλήβδην πάσης τῆς ἀρχαιολογίας ἥδιστα ἀκροῶνται· ὥστ' ἔγωγε δι' αὐτοὺς ἠνάγκασμαι ἐκμε-

---

rep. I. p. 341. b. *διόρισαι, ποτέρως λέγεις τὸν ἄρχοντά τε καὶ τὸν κρείττονα, τὸν ὡς ἔπος εἰπεῖν, ἢ τὸν ἀκριβεῖ λόγῳ.* de legg. II. p. 656. e. *οὐχ ὡς ἔπος εἰπεῖν μυριοστὸν (ἔτος), ἀλλ' ὄντως.* Monui semel, quoniam ne doctis quidem semper hoc fuit exploratum. — Iam de re ipsa, eiusdem inscitiae Spartanos suae aetatis arguit Isocrat. Panath. p. 544. *οὗτοι τοσοῦτον ἀπολελειμμένοι τῆς κοινῆς παιδείας καὶ φιλοσοφίας εἰσὶν, ὥστ' οὐδὲ γράμματα μανθάνουσι.* Sed optime de hoc egit Perizon. ad Aelian. V. H. XII, 50.

§. 12. *περί τε γραμμάτων* — Conf. Hipp. Min. p. 368. d. Nam Philostrat. vit. Soph. I. p. 495. sua hinc sumpsit. — *ῥυθμῶν καὶ ἁρμονιῶν*, de *modis numerisque*. Plat. de legg. II. p. 665. a. *Τῇ τῆς κινήσεως τάξει ῥυθμὸς ὄνομα εἴη· τῇ δ' αὖ τῆς φωνῆς, τοῦ τε ὀξέος ἅμα καὶ βαρέος συγκεραννυμένων, ἁρμονίας ὄνομα προσαγορεύοιτο.* Conf. Quintilian. IX, 4. p. 185. ed. Bip. — *Περὶ ποίων — quas tu mihi, o bone, harmonias et litteras somnias?* vid. ad Charmid. §. 47. *Ἀλλὰ τί μήν* — [*τί* pro vulg. *τίνα* reposuit Be. tantum non ex omnibus. Vid. Heind. ad Gorg. 136.] *καὶ τῶν κατοικίσεων.* Hoc fidenter revocavi ex certa Stephani correctione [quam firmant codd. Be.] pro *κατοικήσεων*, quae vox dubium omnino an sit proba. Vid. Pollux IX, 7. ubi intpp. de veritate emendationis dubitare non sinunt.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-12523/fragment/page=0164

μαθηκέναι τε καὶ μεμελετηκέναι πάντα τὰ τοιαῦτα.
ΣΩ. Ναὶ μὰ Δία, ὦ Ἱππία, εὐτύχηκάς γε ὅτι Λα- e.
κεδαιμόνιοι οὐ χαίρουσιν, ἂν τις αὐτοῖς ἀπὸ Σόλω-
νος τοὺς ἄρχοντας τοὺς ἡμετέρους καταλέγῃ· εἰ δὲ
μή, πράγματ' ἂν εἶχες ἐκμανθάνων. III. Πόθεν,
ὦ Σώκρατες; ἅπαξ ἀκούσας πεντήκοντα ὀνόματα
ἀπομνημονεύσω. ΣΩ. Ἀληθῆ λέγεις, ἀλλ' ἐγὼ οὐκ 13.
ἐνενόησα, ὅτι τὸ μνημονικὸν ἔχεις· ὥστ' ἐννοῶ, ὅτι
εἰκότως σοι χαίρουσιν οἱ Λακεδαιμόνιοι, ἅτε πολλὰ p. 286.
εἰδότι, καὶ χρῶνται ὥσπερ ταῖς πρεσβύτισιν οἱ παῖ- a.
δες πρὸς τὸ ἡδέως μυθολογῆσαι. III. Καὶ ναὶ μὰ
Δία, ὦ Σώκρατες, περί γε ἐπιτηδευμάτων καλῶν
καὶ ἔναγχος αὐτόθι εὐδοκίμησα διεξιών, ἃ χρὴ τὸν

---

12. οὐ χαίρουσιν — εἰ δὲ μή. Mirum videatur hoc εἰ δὲ μή, pro quo ob praegressum οὐ exspectetur potius εἰ δέ. Sed constans est et legitimus hic usus, quem attigit Devar. de Gr. L. Partic. p. 117. Herodot. VI, 56. Τούτου μηδένα εἶναι Σπαρτιητέων διακωλυτήν· εἰ δὲ μή, αὐτὸν ἐν τῷ ἄγει ἐνέχεσθαι. Thucyd. II, 5. τὰ ἔξω ἔλεγον αὐτοῖς μὴ ἀδικεῖν· εἰ δὲ μή, καὶ αὐτοὶ ἔφασαν αὐτῶν τοὺς ἄνδρας ἀποκτενεῖν. Plat. de rep. VII. p. 521. b. Ἀλλὰ μέντοι δεῖ γε μὴ ἐραστὰς τοῦ ἄρχειν ἰέναι ἐπ' αὐτό· εἰ δὲ μή, οἵγε ἀντερασταὶ μαχοῦνται. Conf. Phaedr. §. 40. Crito p. 53. e. Xenoph. Cyrop. III, 1, 35. Πρὸς τῶν θεῶν, μὴ οὕτω λέγε· εἰ δὲ μή, οὐ θαῤῥοῦντά με ἕξεις. Dio Chrysost. VII. p. 103. ed. Morell. Ἡμῖν δὲ ἀργύριον οὐκ ἦν, ἀλλ' ἀπωμοσάμην μὴ ἔχειν· εἰ δὲ μή, δεδωκέναι ἄν. Contra post εἰ μὲν infertur interdum, sed rarius tamen, εἰ δὲ, sin, pro εἰ δὲ μή: v. Plat. Sympos. ed. Wolf. p. 94. ibiq. not.

§. 13. τὸ μνημονικὸν int. τέχνημα, in quo erravit Sydenh. cum Ficino. Hipp. Min. p. 368. d. καίτοι τόγε μνημονικὸν ἐπελαθόμην σου, ὡς ἔοικε, τέχνημα, ἐν ᾧ σὺ οἶσι λαμπρότατος εἶναι. Conf. Xenoph. Symp. IV, 63., et de ipsa hac arte Quintil. XI, 2, 11. Cic. de Orat. II, 86. Phaedr. IV, 24. Plin. Hist. Nat. VII, 24. Muret. Var. Lectt. III, 1.

νέον ἐπιτηδεύειν. Ἔστι γάρ μοι περὶ αὐτῶν πάγκαλος λόγος συγκείμενος, καὶ ἄλλως εὖ διακείμενος καὶ τοῖς ὀνόμασι. Πρόσχημα δέ μοί ἐστι καὶ ἀρχὴ τοιάδε τις τοῦ λόγου· ἐπειδὴ ἡ Τροία ἥλω, λέγει ὁ λόγος, ὅτι Νεοπτόλεμος Νέστορα ἔροιτο, ποῖά ἐστι
b. καλὰ ἐπιτηδεύματα, ἃ ἂν τις ἐπιτηδεύσας νέος ὢν εὐδοκιμώτατος γένοιτο. Μετὰ ταῦτα δὴ λέγων ἐστὶν ὁ Νέστωρ καὶ ὑποτιθέμενος αὐτῷ πάμπολλα νόμιμα
14. καὶ πάγκαλα. Τοῦτον δὴ καὶ ἐκεῖ ἐπεδειξάμην, καὶ ἐνθάδε μέλλω ἐπιδεικνύναι εἰς τρίτην ἡμέραν ἐν τῷ Φειδοστράτου διδασκαλείῳ, καὶ ἄλλα πολλὰ καὶ ἄξια

---

13. Ἔστι γάρ μοι — πάγκαλος λόγος συγκείμενος. Bas. 2. παγκάλως, probante Stephano. Sed bene habet vulgatum, quum alterum illud sic potius poni deberet, λόγος παγκάλως συγκείμενος. Trahendum autem συγκείμενος ad praegressum ἔστι, velut Hipp. Min. p. 368. d. in verbis καταλογάδην πολλοὶ λόγοι καὶ παντοδαποὶ συγκείμενοι hoc συγκείμενοι liquido pertinet ad καταλογάδην. — Τοῖς ὀνόμασιν εὖ διακείμενος. Isocrat. Paneg. I. p. 7. τὰ προσήκοντα περὶ ἑκάστης (πράξεως) ἐνθυμηθῆναι καὶ τοῖς ὀνόμασιν εὖ διαθέσθαι, ubi vid. Morus. Quod statim his subiicitur πρόσχημα, explicat Tim. παράκλυμμα τοῦ ἤθους ἢ πρόφασις, quae potestas, alias trita, hic locum non habet, neque ibi loci huius meminit Ruhnken. Mihi h. l. idem videtur esse, quod περιβολὴν τοῦ λόγου dicit Isocrat. Panath. p. 559. et Or. ad Philipp. p. 168. (die Einkleidung der Rede). Themist. Orat. XII. init. Βασιλεῦ, τὸ μὲν ἐπαινεῖν σε ἐφέντα τῇ προθυμίᾳ, καὶ τὴν παροῦσαν ἑορτὴν σχῆμα τοῦ λόγου προστήσασθαι, ἄλλοις παρίημι. Thom. M. v. πρόσχημα. Εὕρηται δὲ πρόσχημα καὶ ἁπλῶς τὸ σχῆμα. Orationem hanc Hippiae Philostrat. l. l. διάλογον, οὐ λόγον fuisse dicit, ex his Platonis verbis id colligens.

§. 14. εἰς τρίτην ἡμέραν. Moeris: εἰς τρίτην ἡμέραν, Ἀττικῶς· εἰς τρίτην καθ' αὐτὸ μόνον, Ἑλληνικῶς, ubi vid. Pierson. ἐν τῷ Φειδοστράτου διδασκαλείῳ. Observa, τῷ

ἀκοῆς. Ἐδεήθη γάρ μου Εὐδικος ὁ Ἀπημάντου.
Ἀλλ' ὅπως παρέσει καὶ αὐτὸς καὶ ἄλλους ἄξεις, οἵτι- c.
νες ἱκανοὶ ἀκούσαντες κρῖναι τὰ λεγόμενα. ΣΩ.
Ἀλλὰ ταῦτ' ἔσται, ἂν θεὸς ἐθέλῃ, ὦ Ἱππία. Νυνὶ
μέντοι βραχύ τί μοι περὶ αὐτοῦ ἀπόκριναι· καὶ γάρ
με εἰς καλὸν ὑπέμνησας. Ἔναγχος γάρ τις, ὦ ἄρι-
στε, εἰς ἀπορίαν με κατέβαλεν ἐν λόγοις τισὶ τὰ μὲν
ψέγοντα, ὡς αἰσχρὰ, τὰ δ' ἐπαινοῦντα, ὡς καλὰ,
οὕτω πως ἐρόμενος, καὶ μάλα ὑβριστικῶς· Πόθεν
δέ μοι σὺ, ἔφη, ὦ Σώκρατες, οἶσθα, ὁποῖα καλὰ d.
καὶ αἰσχρά; Ἐπεὶ φέρε ἔχοις ἂν εἰπεῖν, τί ἐστι τὸ
καλόν; Καὶ ἐγὼ διὰ τὴν ἐμὴν φαυλότητα ἠπορούμην
τε καὶ οὐκ εἶχον αὐτῷ κατὰ τρόπον ἀποκρίνασθαι.
Ἀπιὼν οὖν ἐκ τῆς συνουσίας ἐμαυτῷ τε ὠργιζόμην 15.
καὶ ὠνείδιζον καὶ ἠπείλουν, ὁπότε πρῶτον ὑμῶν τῳ
τῶν σοφῶν ἐντύχοιμι, ἀκούσας καὶ μαθὼν καὶ ἐκ-
μελετήσας ἰέναι πάλιν ἐπὶ τὸν ἐρωτήσαντα, ἀναμα-
χούμενος τὸν λόγον. Νῦν οὖν, ὃ λέγω, εἰς καλὸν
ἥκεις, καί με δίδαξον ἱκανῶς, αὐτὸ τὸ καλὸν ὅ,τι e.
ἐστὶ, καὶ πειρῶ μοι ὅτι μάλιστα ἀκριβῶς εἰπεῖν
ἀποκρινόμενος, μὴ ἐξελεγχθεὶς τὸ δεύτερον αὖθις

διδασκαλείῳ cum genit. exprimi, οἴκῳ omitti solere. Vid. ad Theaet. 148. Qui memoratur h. l. *Eudicus*, Apemanti filius, idem est inter dialogi Hippiae Min. collocutores. Denique de invitantium hac formula ὅπως παρέσει, vide, si tanti est, Bergler. ad Alciphr. p. 195.

§. 15. ἀναμαχούμενος τὸν λόγον. Phaedo p. 89. c. πρὶν ἂν νικήσω ἀναμαχόμενος τὸν Σιμμίου τε καὶ Κέβητος λόγον. Suid. ἀναμαχούμενον, ἐκ δευτέρου μαχεσόμενον. Nimirum uti dicitur simpliciter ἀναμάχεσθαι, *iterum pugnando sarcire cladem ac-*

γέλωτα ὄφλω. Οἶσθα γὰρ δήπου σαφῶς, καὶ σμικρόν τί που τοῦτ' ἂν εἴη μάθημα ὧν σὺ τῶν πολλῶν ἐπίστασαι. ΙΠ. Σμικρὸν μέντοι, νὴ Δί', ὦ Σώκρατες, καὶ οὐδενὸς ἄξιον, ὡς ἔπος εἰπεῖν. ΣΩ. Ῥᾳδίως ἄρα μαθήσομαι, καὶ οὐδείς με ἐξελέγξει ἔτι.

16. ΙΠ. Οὐδείς μέντοι. Φαῦλον γὰρ ἂν εἴη τὸ ἐμὸν
p.287. a. πρᾶγμα καὶ ἰδιωτικόν. ΣΩ. Εὖγε, νὴ τὴν Ἥραν, λέγεις, ὦ Ἱππία, εἰ χειρωσόμεθα τὸν ἄνδρα. Ἀτὰρ μή τι κωλύω μιμούμενος ἐγὼ ἐκεῖνον, ἐὰν σοῦ ἀποκρινομένου ἀντιλαμβάνωμαι τῶν λόγων, ἵνα ὅτι μάλιστά με ἐκμελετήσῃς; σχεδὸν γάρ τι ἔμπειρός εἰμι τῶν ἀντιλήψεων· εἰ οὖν μήτι σοι διαφέρει, βούλομαι ἀντιλαμβάνεσθαι, ἵνα ἐρρωμενέστερον μάθω. ΙΠ. Ἀλλ' ἀντιλαμβάνου. Καὶ γὰρ, ὃ νῦν
b. δὴ εἶπον, οὐ μέγα ἐστὶ τὸ ἐρώτημα, ἀλλὰ καὶ πολὺ τούτου χαλεπώτερα ἂν ἀροκρίνασθαι ἐγώ σε διδά-

---

ceptam, Xenoph. Cyrop. III, 1, 20., et ἀναμάχεσθαι τὴν πληγὴν, τὴν ἧτταν, τὸ παίσμα, de quo vid. Spanhem. ad Iulian. p. 178.: ita ἀναμαχούμενος τὸν λόγον h. l. dici videtur, qui *argumentis alterius victus et confutatus, sermonem victurus instauraturus.* σμικρόν που. Bas. 2. [et Be. ex optimis] σμικρόν τί που. Non male, quanquam et potest abesse. Charmid. §. 46. σμικρὸν τοίνυν με προσδίδαξον.

§. 16. Φαῦλον γὰρ ἂν εἴη τὸ ἐμὸν πρᾶγμα. Crito p. 53. d. οὐκ οἴει ἄσχημον φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα; Euthyd. p. 273. d. Καλὸν ἄν που τὸ ἔργον ὑμῶν εἴη, εἰ τηλικαῦτα πράγματα πάρεργα ὑμῖν τυγχάνει ὄντα. Ἀτὰρ μή τι κωλύω — Memini qui mallet ἀτὰρ εἰ μή —, ut post iteraretur propositionis initium εἰ οὖν μή τι —. Sed quidni μή τι per interrogationem accipias, *numquid?* quanquam et subaudire licet φοβοῦμαι, ὅρα, toties subaudiendum.

16. ἀλλὰ καὶ πολὺ τούτου χαλεπ. Hic ante πολὺ Stephanus deesse putabat πρὸς, structuram loci in tumultuaria opera

ξαιμι, ὥστε μηδένα ἀνθρώπων δύνασθαί σε ἐξελέγχειν. ΣΩ. Φεῦ ὡς εὖ λέγεις. Ἀλλά γ', ἐπειδὴ καὶ σὺ κελεύεις, φέρε ὅτι μάλιστα ἐκεῖνος γενόμενος πειρῶμαί σε ἐρωτᾶν. Εἰ γὰρ δὴ αὐτῷ τὸν λόγον τοῦτον ἐπιδείξαις, ὃν φῂς, τὸν περὶ τῶν καλῶν ἐπιτηδευμάτων, ἀκούσας, ἐπειδὴ παύσαιο λέγων, ἔροιτο ἂν οὐ περὶ ἄλλου πρότερον ἢ περὶ τοῦ καλοῦ, ἔθος γάρ τι τοῦτ' ἔχει, καὶ εἴποι ἄν, Ὦ ξένε Ἠλεῖε, ἆρ' οὐ δικαιοσύνη δίκαιοί εἰσιν οἱ δίκαιοι; Ἀπόκριναι c. δή, ὦ Ἱππία, ὡς ἐκείνου ἐρωτῶντος. ΙΠ. Ἀποκρινοῦμαι, ὅτι δικαιοσύνη. ΣΩ. Οὐκοῦν ἔστι τι τοῦτο ἡ δικαιοσύνη; ΙΠ. Πάνυ γε. ΣΩ. Οὐκοῦν καὶ σοφία οἱ σοφοὶ εἰσι σοφοί, καὶ τῷ ἀγαθῷ πάντα τἀγαθὰ ἀγαθά; ΙΠ. Πῶς δ' οὔ; ΣΩ. Οὐσί γέ

---

parum perspiciens; neque enim virum eruditissimum fallere potuit pervulgatum genus dicendi *ἀποκρίνεσθαί τι, ad aliquid respondere.* Ita in hoc ipso sermone §. 18. *τὸ ἐρωτώμενον ἀποκεκριμένος ἐσομαι.* Conf. Gorg. p. 448. d. p. 449. b. Erast. p. 137. b. Protag. p. 336. a. Crito p. 48. d. Charmid. §. 31.; quanquam alterum quoque illud *ἀποκρίνεσθαι πρός τι* saepius invenitur, v. c. Protag. p. 338. d. Crito p. 50. a.

16. *Ἀλλά γ', ἐπειδή* — Ita reposui. Vulgo *ἀλλ' ἄγ', ἐπειδή* —, in quo duplex imperativus *ἄγε* et *φέρε* displicebat. Phaedo. p. 86. e. *Ἀλλά γε, ἦ δ' ὅς, ὦ Κέβης, λέγε,* atque tritissimum est hoc *ἀλλά*, imperativis iunctum hortandi potestate. Vid. Hemsterh. ad Aristoph. Plut. p. 439. Adde, quod omnem hanc rem librariorum arbitratu stetisse liquet, ut bene monuit Koen. ad Gregor. p. 36. Paullo post formula *ἔθος γάρ τι τοῦτ' ἔχει* itidem est in Sympos p. 11. ed. Wolf., ubi vid. not. [In seqq. pro *ἐπιδείξαις* Be. e Ven. Ξ *ἐπιδείξαιο*]

§. 17. *τοῦτο ἡ δικαιοσύνη.* Sic solet *τοῦτο* Plato praemittere substantivo, familiaris sermonis negligentiam imitatus:

τισι τούτοις· οὐ γὰρ δήπου μὴ οὖσί γε. ΙΙΙ. Οὖσι μέντοι. ΣΩ. Ἆρ' οὖν οὐ καὶ τὰ καλὰ πάντα τῷ
d. καλῷ ἐστι καλά; ΙΙΙ. Ναί, τῷ καλῷ. ΣΩ. Ὄντι γέ τινι τούτῳ. ΙΙΙ. Ὄντι, ἀλλὰ τί γὰρ μέλλει; ΣΩ. Εἰπὲ δή, ὦ ξένε, φήσει, τί ἐστι τοῦτο τὸ καλόν; ΙΙΙ. Ἄλλο τι οὖν, ὦ Σώκρατες, ὁ τοῦτο ἐρωτῶν δεῖται πυθέσθαι τί ἐστι καλόν; ΣΩ. Οὔ μοι δοκεῖ, ἀλλ' ὅ,τι ἐστὶ τὸ καλὸν, ὦ Ἱππία. ΙΙΙ. Καὶ τί διαφέρει τοῦτ' ἐκείνου; ΣΩ. Οὐδέν σοι δοκεῖ; ΙΙΙ. Οὐδὲν γὰρ διαφέρει. ΣΩ. Ἀλλὰ μέντοι δῆλον ὅτι σὺ κάλλιον οἶσθα· ὅμως δὲ, ὦ γαθὲ, ἄθρει. Ἐρωτᾷ γάρ σε οὐ τί ἐστι καλὸν, ἀλλ'
e. ὅ,τι ἐστὶ τὸ καλόν. ΙΙΙ. Μανθάνω, ὦ γαθὲ, καὶ

---

v. c. Gorg. p. 478. c. *Οὐ γὰρ τοῦτ' ἦν εὐδαιμονία, ὡς ἔοικε, κακοῦ ἀπαλλαγὴ, ἀλλὰ τὴν ἀρχὴν μηδὲ κτῆσις.* de rep. IX. p. 583. d. *Τοῦτο γὰρ τότε ἡδὺ ἴσως καὶ ἀγαπητὸν γίγνεται ἡσυχία.* Conf. §. 54.

17. *ἀλλὰ τί γὰρ μέλλει*; Approbantis est formula: *quid enim?* Hipp. Min. p. 373. d. *Σ. Ἐν δρόμῳ μὲν ἄρα καὶ τῷ θεῖν τάχος μὲν ἀγαθὸν, βραδυτὴς δὲ κακόν; Ἱπ. Ἀλλὰ τί μέλλει;* i. e. *ἀλλὰ τί μήν;* Eodem sensu §. 36. *Ἀλλὰ τί οἴει*, et de rep. I. p. 332. c., et *ἀλλὰ τί, quidni?* Phaedo p. 89. b. *Οὐκ, ἄν γε ἐμοὶ πείθῃ —. Ἀλλὰ τί;* ex quo Euthyphr. p. 14. d. in verbis *Σ. Ἆρ' οὖν τόγε ὀρθῶς αἰτεῖν ἂν εἴη, ὧν δεόμεθα παρ' ἐκείνων, ταῦτα αὐτοὺς αἰτεῖν; Εὐθ. Ἄλλο τι;* reponendum puto *Ἀλλὰ τί;*

17. *ἀλλ' ὅ,τι ἐστὶ τὸ καλὸν, ὦ Ἱππία.* Vulgo *ὅτι τί ἐστι*, vitiose, ut iam vidit Cornarius, et ipsa seqq. *ἐρωτᾷ γάρ σε — καλὸν* satis arguunt. — In verbis autem *ὅμως δὲ, ὦ γαθὲ, ἄθρει* vix quisquam offenderit praeter Sydenhamum, qui, nescio quamobrem, legi iubet *ὁμόσε* seu *ὁμοῦ* pro *ὅμως*, significatu *τοῦ ἐγγὺς, look close* s. *near* At *ὁμοῦ ἄθρει* s. *ἐγγὺς ἄθρει* ne Graecum quidem est: optima autem est sententia: *sine dubio tu rem rectius nosti; sed tamen considera, quaeso.*

ἀποκρινοῦμαί γε αὐτῷ ὅ,τι ἐστὶ τὸ καλὸν, καὶ οὐ μή ποτε ἐλεγχθῶ. Ἔστι γὰρ, ὦ Σώκρατες, εὖ ἴσθι, εἰ δεῖ τὸ ἀληθὲς λέγειν, παρθένος καλὴ καλόν. ΣΩ. Καλῶς γε, ὦ Ἱππία, νὴ τὸν κύνα, καὶ εὐδόξως 18.
ἀπεκρίνω. Ἄλλοτι οὖν, ἂν ἐγὼ τοῦτο ἀποκρίνωμαι, τὸ ἐρωτώμενόν τε ἀποκεκριμένος ἔσομαι καὶ ὀρθῶς, καὶ οὐ μὴ ἐλεγχθῶ; III. Πῶς γὰρ ἄν, ὦ p. 288.
Σώκρατες, ἐλεγχθείης ὅ γε πᾶσι δοκεῖ, καὶ πάντες σοι μαρτυρήσουσιν οἱ ἀκούοντες, ὅτι ὀρθῶς λέγεις; ΣΩ. Εἶεν, πάνυ μὲν οὖν. Φέρε δὴ, ὦ Ἱππία, πρὸς ἐμαυτὸν ἀναλάβω, ὃ λέγεις. Ὁ μέν ἐρήσεταί με οὑτωσί πως, Ἴθι μοι, ὦ Σώκρατες, ἀπόκριναι ταῦτα πάντα ἃ φῂς καλὰ εἶναι, εἰ τί ἐστιν αὐτὸ τὸ καλὸν, ταῦτ' ἂν εἴη καλά; Ἐγὼ δὲ δὴ ἐρῶ, ὅτι εἰ παρθένος καλὴ καλόν ἐστι, δι' ὃ ταῦτ' ἂν εἴη καλά.

Phileb. p. 65. d. *Καλῶς εἴρηκας. Ὅμως δ' ἔτι λέγε τὸ τρίτον.* Nam illud *ἄθρει* saepius ita simpliciter usurpatur, ut Crito p. 49. e. *Ἐκ τούτων δὴ ἄθρει.*

§. 18. *Πῶς γὰρ ἄν — ἐλεγχθείης* — *Quomodo enim refutabere in eo, quod omnibus videtur. Ἐλέγχειν* duplici accusativo iunctum illustravi ad Lysid. §. 42.

18. *ταῦτα πάντα ἃ φῂς — δι' ὃ ταῦτ' ἂν εἴη καλά;* In edd. *εἰ τι ἐστὶν, ἐγκλιτικῶς.* Quod rescripsi *εἰ τί*, est ex certissima Schleiermacheri emendatione. Gorg. p. 448. c. *Νῦν δ' ἐπειδὴ τίνος τέχνης ἐπιστήμων ἐστὶ, τίνα ἂν καλοῦντες αὐτὸν ὀρθῶς καλοῖμεν;* In quibus ex vulgato illo Graecorum more duplex est interrogatio, in unam coartata propositionem. Xenoph. Mem. II, 2, 1. *καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσι;* quem locum ab ipso Valckenario tentatum miror. — *ταῦτα* autem post *ταῦτα πάντα* illatum est abunduntter, ut saepe. Aeschin. in Timarch. p. 43. ed. Reisk. *Τοῦτο δὲ ἐὰν σκοπῆτε, εὑρήσετε, ὦ ἄνδρ. Ἀθ., ὅτι τοῦτο πάντων ἄριστα ἔχει,* ubi erravit Reiskius. Iam in altero periodi

III. Οἴει οὖν ἔτι αὐτὸν ἐπιχειρήσειν σε ἐλέγχειν, ὡς
b. οὐ καλόν ἐστιν ὃ λέγεις, ἢ, ἐὰν ἐπιχειρήσῃ, οὐ κα-
ταγέλαστον ἔσεσθαι; *ΣΩ.* Ὅτι μὲν ἐπιχειρήσει, ὦ
θαυμάσιε, εὖ οἶδα· εἰ δ' ἐπιχειρήσας ἔσται καταγέ-
λαστος, αὐτὸ δείξει. Ἀ μέντοι ἐρεῖ, ἐθέλω σοι λέ-
19. γειν. *III.* Λέγε δή. *ΣΩ.* Ὡς γλυκὺς εἶ, φήσει,
ὦ Σώκρατες. Θήλεια δ' ἵππος καλὴ οὐ καλόν, ἣν

---

huius membro nihil exspectabas nisi haec, ἐγὼ δὲ δὴ ἐρῶ, ὅτι εἰ παρθένος καλὴ καλόν ἐστι, omisso hoc additamento δι' ὃ ταῦτ' ἂν εἴη καλά. Hic igitur vere, opinor, Sydenhamus istud εἰ post ὅτι inducendum putavit, incuicatum sine dubio, ut horum structura responderet proxime praegressis. Quo retento inducenda certe audacius multo illa δι' ὅ. [Mihi δι' ὃ accipiendum fere videtur ut διὰ τοῦτο γάρ sc. διὰ παρθένον καλήν. *Buttm.*]

18. αὐτὸ δείξει, *res ipsa ostendet.* Schol. ἐπὶ τῶν ἀπιστούντων τι μὴ γίνεσθαι. (Rectius ad Theaetet. p. 33. ἐπὶ τῶν ἐκ τῆς πείρας γιγνωσκομένων.) Μέμνηται δ' αὐτῆς καὶ Κρατῖνος ἐν Πυλαίᾳ καὶ Πλάτων ἐν Θεαιτήτῳ (p. 200. e.) καὶ ἐνταῦθα: (adde Protag. p. 329. b. ubi malim cum Stephano ὡς αὐτὸ δηλοῖ: vulgo ibi αὐτά.) — Μέμνηται δὲ αὐτῆς καὶ Σοφοκλῆς ἐν Δημνίαις οὕτως· Ταχὺ δ' αὐτὸ δείξει τοὔργον, ὡς ἐγὼ, σαφῶς. Item plene Aristoph. in Lysistr. 377. τοὔργον τάχ' αὐτὸ δείξει. Vid. Valck. ad Eurip. Phoen. p. 237. Interdum autem ipsum quoque αὐτὸ omittitur. Aristoph. Vesp. 988. Δείξειν ἔοικεν· ἐκπέφευγας, ὦ Λάβης, ubi vid. Bergler., unde nescio an explicandum sit vulgare illud ἐδήλωσε δὲ pro τεκμήριον δέ. De formula illa saepe monitum ab intpp. V. Schott. ad Paroemiogr. p. 376. Marcland. ad Max. Tyr. XXIV, 9. Gatak. ad Antonin. p. 327. Abresch. ad Aristaenet. p. 22.

§. 19. Ὡς γλυκὺς εἶ, *quam fatuus es*: vid. Ruhnk. ad Lex. Tim. p. 182. ἐν τῷ χρησμῷ. Oraculum huiusmodi profert Schol. Theocrit. XIV, 48. adeo lepidum, ut huc transscribere non pigeat: Ἱστορεῖ Δεινίας ὅτι οἱ Μεγαρεῖς φρονηματισθέντες ποτὲ, ὅτι κράτιστοι τῶν Ἑλλήνων εἰσὶν, ἐπύθοντο τοῦ θεοῦ, τίνος κρείττονες τυγχάνοιεν· ὁ δὲ ἔφη

καὶ ὁ θεὸς ἐν τῷ χρησμῷ ἐπήνεσε; Τί φήσομεν, ὦ Ἱππία; Ἄλλο τι ἢ φῶμεν καὶ τὴν ἵππον καλὸν εἶναι, τήν γε καλήν; Πῶς γὰρ ἂν τολμῷμεν ἔξαρνοι c. εἶναι, τὸ καλὸν μὴ καλὸν εἶναι; III. Ἀληθῆ λέγεις, ὦ Σώκρατες, ἐπεῖτοι καὶ ὀρθῶς αὐτὸ ὁ θεὸς εἶπε. Πάγκαλαι γὰρ παρ' ἡμῖν ἵπποι γίγνονται. ΣΩ. Εἶεν, φήσει δή. Τί δέ; λύρα καλὴ οὐ καλόν; Φῶμεν, ὦ Ἱππία; III. Ναί. ΣΩ. Ἐρεῖ τοίνυν μετὰ τοῦτ' ἐκεῖνος· σχεδόν τι εὖ οἶδα ἐκ τοῦ τρόπου τεκμαιρόμενος· Ὦ βέλτιστε σὺ, τί δέ; κύτρα καλὴ οὐ καλὸν ἄρα; III. Ὦ Σώκρατες, τίς δ' ἐστὶν ὁ d. ἄνθρωπος; ὡς ἀπαίδευτός τις, ὃς οὕτω φαῦλα ὀνόματα ὀνομάζειν τολμᾷ ἐν σεμνῷ πράγματι. ΣΩ. Τοιοῦτός τις, ὦ Ἱππία, οὐ κομψὸς, ἀλλὰ συρφετὸς, οὐδὲν ἄλλο φροντίζων ἢ τὸ ἀληθές. Ἀλλ' ὅμως ἀπο-

---

Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον,
Ἵπποι Θρηΐκιαι, Λακεδαιμόνιαι δὲ γυναῖκες,
Ἄνδρες δ', οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης,
Ἀλλ' ἔτι καὶ τῶνδ' εἰσὶν ἀμείνονες, οἵτε μεσηγὺ
Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου,
Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο.
Τμεῖς δ', ὦ Μεγαρεῖς, οὔτε τρίτοι, οὔτε τέταρτοι,
Οὔτε δυωδέκατοι, οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ.

Idem exstat ex parte oraculum apud Euseb. Praep. Evang. V, 29. p. 226. ed. Viger. Atque idem vel simile significat Tzetz. Chil. IX, 291. nisi quod ibi *Θετταλαὶ ἵπποι* memorantur, non *Θρηΐκιαι*. Post paullo in his *καὶ τὴν ἵππον καλὸν εἶναι*, forma *καλὸν* pro vulg. *καλὴν* est ex em. Cornarii [atque sic suprascriptum in Cod. Par. F]. Mox de part. *μὴ*, post *ἔξαρνος εἶναι* ex perpetuo fere usu illata, vid. ad Lysid. §. 4. — *παρ' ἡμῖν*. Ridicule statim ad patriam Elidem gloriolam hanc trahit vanissimus homo. V. intpp. ad Propert. I, 8, 36.

κριτέον τῷ ἀνδρὶ, καὶ ἔγωγε προαποφαίνομαι· εἴπερ ἡ χύτρα κεκεραμευμένη εἴη ὑπὸ ἀγαθοῦ κεραμέως λεία καὶ στρογγύλη, καὶ καλῶς ὠπτημένη, οἷαι τῶν καλῶν χυτρῶν εἰσί τινες δίωτοι, τῶν ἐξ χοᾶς χωρου-
e. σῶν, πάγκαλαι, εἰ τοιαύτην ἐρωτῴη χύτραν, καλὴν ὁμολογητέον εἶναι. Πῶς γὰρ ἂν φαῖμεν καλὸν ὂν μὴ καλὸν εἶναι; ΙΠ. Οὐδαμῶς, ὦ Σώκρατες. ΣΩ.
20. Οὐκοῦν καὶ χύτρα, φήσει, καλὴ καλόν; Ἀποκρίνου. ΙΠ. Ἀλλ' οὕτως, ὦ Σώκρατες, ἔχει, οἶμαι· καλὸν μὲν καὶ τοῦτο σκεῦός ἐστι, καλῶς εἰργασμένον, ἀλλὰ τὸ ὅλον τοῦτο οὐκ ἔστιν ἄξιον κρίνειν ὡς ὂν καλὸν πρὸς ἵππον τε καὶ παρθένον καὶ τἆλλα πάντα τὰ
p. 289. a. καλά. ΣΩ. Εἶεν. Μανθάνω, ὦ Ἱππία, ὡς ἄρα χρὴ ἡμᾶς ἀντιλέγειν πρὸς τὸν ταῦτα ἐρωτῶντα τάδε· Ὦ ἄνθρωπε, ἀγνοεῖς, ὅτι τὸ τοῦ Ἡρακλείτου εὖ ἔχει, ὡς ἄρα πιθήκων ὁ κάλλιστος αἰσχρὸς ἄλλῳ γένει συμβάλλειν, καὶ χυτρῶν ἡ καλλίστη αἰσχρὰ παρθένων γένει συμβάλλειν, ὡς φησιν Ἱππίας ὁ σοφός.

---

19. οἷαι τῶν καλῶν χυτρῶν — πάγκαλαι. Additamentum hoc, tantum abest, ut cum amico pro spurio habeam, ut mirum in his agnoscam leporem. Fastidii videlicet superbi hominem, φαῦλα illa ὀνόματα ἐν σεμνῷ πράγματι adeo aspernatum, ludit callide Socrates diligenti hac splendidioris cuiusdam vasorum generis descriptione. Atque ipsum hoc πάγκαλαι quam festive est additum, et supra glossatoris ingenium. Pro χόας autem correxi χοᾶς. Cf. Schol. ad Aristoph. Acharn. 960.

§. 20. Μανθάνω, ὦ Ἱππ. — ἐρωτῶντα τάδε· Ὦ ἄνθρ. Vulgo sic distinctum — ἐρωτῶντα· Τάδε, ὦ ἄνθρ. Sed τάδε manifesto trahendum ad praegressum ἀντιλέγειν. Illa autem ὡς ἄρα πιθήκων — συμβάλλειν habent, quod offendat magno-

Οὐχ οὕτως, ὦ Ἱππία; III. Πάνυ μὲν οὖν, ὦ Σώκρατες, ὀρθῶς ἀπεκρίνω. ΣΩ. Ἄκουε δή. Μετὰ τοῦτο γὰρ εὖ οἶδ' ὅτι φήσει· Τί δὲ, ὦ Σώκρατες; τὸ τῶν παρθένων γένος θεῶν γένει ἂν τις συμβάλλῃ, οὐ ταὐτὸν πείσεται, ὅπερ τὸ τῶν χυτρῶν τῷ τῶν παρ- b.
θένων συμβαλλόμενον; οὐχ ἡ καλλίστη παρθένος αἰσχρὰ φανεῖται; Ἢ οὐ καὶ Ἡράκλειτος ταυτὸν τοῦτο 21.
λέγει, ὃν σὺ ἐπάγει, ὅτι ἀνθρώπων ὁ σοφώτατος πρὸς θεὸν πίθηκος φανεῖται, καὶ σοφίᾳ καὶ κάλλει καὶ τοῖς ἄλλοις πᾶσιν; Ὁμολογήσομεν, ὦ Ἱππία, τὴν καλλίστην παρθένον πρὸς θεῶν γένος αἰσχρὰν εἶναι; III. Τίς γὰρ ἂν ἀντείποι τούτῳ γε, ὦ Σώκρατες; ΣΩ. Ἂν τοίνυν ταῦτα ὁμολογήσωμεν, γελάσεταί τε καὶ ἐρεῖ, Ὦ Σώκρατες, μέμνησαι οὖν ὅ,τι ἠρω- c.

---

pere. Istud ἄλλῳ adeo friget et fluctuat, ut vix digna exeat Heraclito sententia: *pulcherrimam omnium simiam deformem esse, quando cum alio genere comparetur.* Quonam cum genere? Nam in seqq. certa rerum genera proferuntur, *χυτρῶν ἡ καλλίστη αἰσχρὰ παρθένων γένει συμβάλλειν*, et post *τὸ τῶν παρθένων γένος θεῶν γένει ἂν τις συμβάλλῃ.* Haec reputanti indubitata videtur Sydenhami correctio *ἀνθρωπίνῳ*, vel potius *ἀνθρωπείῳ*, quod Platonicum est magis, [vel quod utroque hic quidem praestat *ἀνθρώπων*, ut recte Be.] in quo facilis erat propter scripturae compendium error. Iam si addas his eam, quae mox infertur, Heracliti sententiam, *ὅτι ἀνθρώπων ὁ σοφώτατος πρὸς θεὸν πίθηκος φαίνεται*, optimam quandam habebis sententiarum gradationem: *πίθηκος ὁ κάλλιστος αἰσχρὸς ἀνθρωπείῳ γένει συμβάλλειν· ἀνθρώπων δὲ ὁ σοφώτατος καὶ κάλλιστος πρὸς θεὸν πίθηκος ὢν φαίνεται.*

§. 21. *ὃν σὺ ἐπάγει* — H. l. non itidem laude mactari debet Sydenh., quod verba prorsus integra tentando rescribit, *ὃ ἂν σὺ ἐπάγει, quod tu infers* s. *ais.* Hoc ne Graecum quidem est, nedum sensum adiuvet. *ὃν σὺ ἐπάγει*, i. e. *quem*

τήθης; Ἔγωγε, φήσω, ὅτι αὐτὸ τὸ καλὸν ὅ,τι ποτέ ἐστιν. Ἔπειτα, φήσει, ἐρωτηθεὶς τὸ καλὸν, ἀποκρίνει, ὃ τυγχάνει ὄν, ὡς αὐτὸς φῂς, οὐδὲν μᾶλλον καλὸν ἢ αἰσχρόν; Ἔοικε, φήσω, ἢ τί μοι συμβουλεύεις, ὦ φίλε, φάναι; III. Τοῦτο ἔγωγε. Καὶ δὴ πρός γε θεοὺς ὅτι οὐ καλὸν τὸ ἀνθρώπειον γένος, ἀληθῆ ἐρεῖ. ΣΩ. Εἰ δέ σε ἠρόμην, φήσει, ἐξ ἀρ-
d. χῆς, τί ἐστι καλόν τε καὶ αἰσχρὸν, εἴ μοι ἅπερ νῦν ἀπεκρίνω, ἆρα οὐκ ἂν ὀρθῶς ἀπεκρίσω; Ἔτι δὲ καὶ δοκεῖ σοι αὐτὸ τὸ καλὸν, ᾧ καὶ τἆλλα πάντα κοσμεῖται καὶ καλὰ φαίνεται ἐπειδὰν προσγένηται ἐκεῖνο τὸ εἶδος, τοῦτ' εἶναι παρθένος ἢ ἵππος ἢ λύρα; III.

---

tu testem adhibuisti, qui proprius est τοῦ ἐπάγεσθαι usus. Lysid. §. 27. *Καὶ δὴ καὶ τὸν Ἡσίοδον ἐπήγετο μάρτυρα.* Protag. p. 347. e. *ἐπαγόμενοι αὐτοὺς (τοὺς ποιητὰς) οἱ πολλοὶ ἐν τοῖς λόγοις οἱ μὲν ταὐτά φασι τὸν ποιητὴν νοεῖν, οἱ δ' ἕτερα, περὶ πράγματος διαλεγόμενοι, ὃ ἀδυνατοῦσιν ἐξελέγξαι* (nam sic ibi lego; vulgo sine sensu: *οἱ δ' ἕτερα περὶ πράγματος διαλεγόμενοι ἀδυνατοῦσιν ἐξελέγξαι*). de rep. II. p. 364. c. *τούτοις πᾶσι τοῖς λόγοις μάρτυρας ποιητὰς ἐπάγονται.* Nimirum Sydenh. non Hippiam ait, sed Socratem Heracliti illud dictum modo laudasse. Recte. Igitur sibi istum, quem fingit Socrates, collocutorem haec facit dicentem.

21. *Καὶ δὴ πρός γε θεοὺς — ἀληθῆ ἐρεῖ.* Inepte haec in edd. Socrati tribuuntur. Quam feci colloquentium distinctionem, eam suaserat iam Maucroisius, probante Sydenhamo. *Εἰ δέ σε ἠρόμην — Quod si te initio interrogassem, inquiet ille, quid esset pulchrum et turpe, ac si tu mihi eadem, quae nunc, respondisses, nonne recte respondisses? Num vero praeterea ipsum quoque illud pulchrum, quo cetera omnia ornantur fiuntque pulchra, quando illam induant speciem, id virgo aut equus aut lyra esse tibi videtur?* Expedita sane sunt haec et aperta, nisi quod interrogatio illa *ἆρα οὐκ ἂν ὀρθῶς ἀπεκέκρισο* habet ex meo quidem sensu

Ἀλλὰ μέντοι, ὦ Σώκρατες, εἰ τοῦτό γε ζητεῖ, πάν- 22.
των ῥᾷστον ἀποκρίνασθαι αὐτῷ, τί ἐστι τὸ καλὸν
ᾧ καὶ τἆλλα πάντα κοσμεῖται καὶ προσγενομένου αὐ-
τοῦ καλὰ φαίνεται· εὐηθέστατος οὖν ἐστιν ὁ ἄνθρω- e.
πος καὶ οὐδὲν ἐπαΐει περὶ καλῶν κτημάτων· ἐὰν γὰρ
αὐτῷ ἀποκρίνῃ, ὅτι τοῦτ' ἐστὶν, ὃ ἐρωτᾷ τὸ καλὸν
οὐδὲν ἄλλο ἢ χρυσὸς, ἀπορήσει καὶ οὐκ ἐπιχειρήσει
σε ἐλέγχειν. Ἴσμεν γάρ που πάντες, ὅτι, ὅπου ἂν
τοῦτο προσγένηται, κἂν πρότερον αἰσχρὸν φαίνηται,
καλὸν φανεῖται χρυσῷ γε κοσμηθέν. ΣΩ. Ἄπειρος
εἶ τοῦ ἀνδρὸς, ὦ Ἱππία, ὡς σχέτλιός ἐστι καὶ οὐδὲν
ῥᾳδίως ἀποδεχόμενος. ΙΙΙ. Τί οὖν τοῦτο, ὦ Σώ-
κρατες; Τὸ γὰρ ὀρθῶς λεγόμενον ἀνάγκη αὐτῷ

---

nescio quid incommodi. [Paulo post verbis ἐπειδὰν προσγένηται intersertum vulgo τῷ abjecit Be. auctoritate codd. longe plur.]

§. 22. προσγενομένου αὐτοῦ. Hic accuratior stili nostri ratio exigebat potius οὗ προσγενομένου. Sed perpetuus prope est hic Graecae linguae mos a pronomine relativo orationem ita deflectendi. Phaedo p. 82. d. Ἐκεῖνοι, οἷς τι μέλει τῆς αὑτῶν ψυχῆς, ἀλλὰ μὴ σώματα πλάττοντες ζῶσι. Theag. p. 126. b. — οἷς εἰσί τε ἵπποι καὶ χρῶνται ἑκάστοτε καὶ οἰκείοις καὶ ἀλλοτρίοις πολλοῖς. Phaedr. §. 138. ὁ τοῦ ἔχων γεωργὸς, ὧν σπερμάτων κήδοιτο καὶ ἔγκαρπα βούλοιτο γενέσθαι. Neque Latinis incognita haec ratio. Vid. Wopkens. Lectt. Tull. p. 105.

22. οὐδὲν ἐπαΐει περὶ καλῶν κτημάτων. Verbo κτημάτων significatur, quod statim post profertur, χρυσός. Inepte Bas. 2. ἐρωτημάτων. Ineptius etiam Bipontinus editor ex Ficino coniecit ἐπάγει pro ἐπαΐει. Ἐπαΐειν περί τινος, rei peritum esse, velut εἰδέναι περί τινος, frequens est dictio. Crito p. 48. a. ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων. Lach. p. 186. d. ὁ μὲν Σωκρ. οὔ φησιν ἐπαΐειν περὶ τοῦ πράγματος Τί οὖν τοῦτο; quid tum? v. ad Charmid. §. 25. Ad v.

ἀποδέχεσθαι, ἢ μὴ ἀποδεχομένῳ καταγελάστῳ εἶναι.
p. 290. a. ΣΩ. Καὶ μὲν δὴ ταύτην γε τὴν ἀπόκρισιν, ὦ ἄριστε, οὐ μόνον οὐκ ἀποδέξεται, ἀλλὰ πάνυ με καὶ τωθάσεται καὶ ἐρεῖ, Ὦ τετυφωμένε σὺ, Φειδίαν οἴει κακὸν εἶναι δημιουργόν; Καὶ ἐγὼ, οἶμαι, ἐρῶ, ὅτι οὐδ' ὁπωστιοῦν. ΙΠ. Καὶ ὀρθῶς γ' ἐρεῖς, ὦ Σώ-
23. κρατες. ΣΩ. Ὀρθῶς μέντοι. Τοιγάρτοι ἐκεῖνος, ἐπειδὰν ἐγὼ ὁμολογῶ ἀγαθὸν εἶναι δημιουργὸν τὸν Φειδίαν, Εἶτα, φήσει, οἴει, τοῦτο τὸ καλὸν, ὃ σὺ λέ-
b. γεις, ἠγνόει Φειδίας; Καὶ ἐγὼ, Τί μάλιστα, φήσω; Ὅτι, ἐρεῖ, τῆς Ἀθηνᾶς τοὺς ὀφθαλμοὺς οὐ χρυσοῦς ἐποίησεν οὐδὲ τὸ ἄλλο πρόσωπον οὐδὲ τοὺς πόδας οὐδὲ τὰς χεῖρας, εἴπερ χρυσοῦν γε δὴ ὂν κάλλιστον ἔμελλε φαίνεσθαι, ἀλλ' ἐλεφάντινον· δῆλον ὅτι τοῦτο ὑπὸ ἀμαθίας ἐξήμαρτεν, ἀγνοῶν, ὅτι χρυσὸς ἄρ' ἐστὶν ὁ πάντα καλὰ ποιῶν, ὅπου ἂν προσγένηται. Ταῦτα οὖν λέγοντι τί ἀποκρινώμεθα, ὦ Ἱππία; ΙΠ.

τωθάσεται vid. Lex. Tim. p. 261. ibiq. Ruhnk. — ὦ τετυφωμένε, *o stupide.* Suid. τετύφωμαι, ἀντὶ τοῦ ἐμβεβρόντημαι, ἔξω τῶν φρενῶν γέγονα.

§. 23. *Καὶ ἐγὼ, Τί μάλιστα, φήσω.* Sic interpungendum, ut μάλιστα ad τί pertineat, optime monuit Steph. Obvium hoc τί μάλιστα ubivis, v. c. Parmenid. p. 126. b. de rep. V. p. 449. c. Lysis §. 34. — De hac *Phidiae Minerva* vid. Iunius Catalog. Artif. vet. p. 157. seq. et Davis. ad Cic. Tusc. I, 15. In seqq. post ἐλεφάντινον distinguunt vulgo στιγμῇ τελείᾳ, ut prius ὅτι referatur ad praegressum τί μάλιστα; Sed ita dure deest in Δῆλον ὅτι particula οὖν, vix alias in eiusmodi transitu a Platone omissa. Igitur ne corrigi debeat δῆλον ὅτι — ἐξαμαρτών, mutavi interpunctionem, ut illa δῆλον, ὅτι τοῦτο etc. apodosin facerent.

23. *Ταῦτα οὖν λέγοντι* — Hoc grammatica ratio flagitabat pro vulgato λέγοντα, neque enim, hoc quisquam per accusa-

Οὐδὲν χαλεπόν. Ἐροῦμεν γὰρ, ὅτι ὀρθῶς ἐποίησε. Καὶ γὰρ τὸ ἐλεφάντινον, οἶμαι, καλόν ἐστι. ΣΩ. c. Τοῦ οὖν ἕνεκα, φήσει, οὐ καὶ τὰ μέσα τῶν ὀφθαλμῶν ἐλεφάντινα εἰργάσατο, ἀλλὰ λίθινα, ὡς οἷόντ' ἦν, ὁμοιότητα τοῦ λίθου τῷ ἐλέφαντι ἐξευρών; ἢ καὶ ὁ λίθος ὁ καλὸς καλόν ἐστι; Φήσομεν, ὦ Ἱππία; III. Φήσομεν μέντοι, ὅταν γε πρέπων ᾖ. ΣΩ. Ὅταν δὲ μὴ πρέπων, αἰσχρὸν ὁμολογῶ, ἢ μή; III. Ὁμολόγει, ὅταν γε μὴ πρέπῃ. ΣΩ. Τί δὲ δὴ, ὁ 24. ἐλέφας καὶ ὁ χρυσὸς, φήσει, ὦ σοφὲ σὺ, οὐχ, ὅταν d. μὲν πρέπῃ, καλὰ ποιεῖ φαίνεσθαι, ὅταν δὲ μὴ, αἰσχρά; Ἔξαρνοι ἐσόμεθα ἢ ὁμολογήσομεν αὐτῷ ὀρθῶς λέγειν αὐτόν; III. Ὁμολογήσομεν τοῦτο γε, ὅτι, ὃ ἂν πρέπῃ ἑκάστῳ, τοῦτο καλὸν ποιεῖ ἕκαστον. ΣΩ. Πότερον πρέπει, φήσει, ὅταν τις τὴν χύτραν, ἣν ἄρτι ἐλέγομεν, τὴν καλὴν ἐψῇ ἔτνους καλοῦ μεστὴν, χρυσῇ τορύνῃ αὐτῇ ἢ συκίνῃ; III. Ἡράκλεις, οἷον λέγεις ἄνθρωπον, ὦ Σώκρατες. Οὐ βού-

---

tivum illum absolutum tuebitur. In seqq. ἢ καὶ ὁ λίθ· vulgo interpungitur: ἢ καὶ ὁ λίθος ὁ καλὸς καλόν ἐστι, φήσομεν, ὦ Ἱππ., in qua distinguendi ratione incommode abest ὅτι ante καὶ ὁ λίθ. — Φήσομεν μέντοι. [Haec Bekkeri emend. certissima: vulgo Φήσομέν τοι.]

§. 24. Ὁμολογήσομεν αὐτῷ. [Sic Be. ex omnibus praeter unum Par. *E*, qui habet vulgatum αὐτό.] ἐψῇ ἔτνους καλοῦ μεστήν. De voc. ἔτνος vid. Tim. Lex. p. 124. ibiq. Ruhnk. τορύνη est *tudicula, undequaque expansa brachia habens*. V. Cornar. Eclogg. p. 88. ed. Fisch. Ἀμαθὴς autem est *moribus rusticis et illiberalibus homo*. Cf. Hemsterh. ad Aristoph. Plut. p. 382., et mox μέρμερος, *difficilis, morosus, cui non facile satisfacias*, ut h. l. vocabulum declaravit

λει μοι εἰπεῖν τίς ἐστιν; ΣΩ. Οὐ γὰρ ἂν γνοίης εἰ
e. σοι εἴποιμι τοὔνομα. ΙΠ. Ἀλλὰ καὶ νῦν ἔγωγε γι-
γνώσκω, ὅτι ἀμαθής τίς ἐστι. ΣΩ. Μέρμερος πάνυ
ἐστὶν, ὦ Ἱππία· ἀλλ' ὅμως τί φήσομεν, ποτέραν
πρέπειν τοῖν τορύναιν τῷ ἔτνει καὶ τῇ χύτρᾳ; ἢ δῆ-
λον ὅτι τὴν συκίνην; Εὐωδέστερον γάρ που τὸ ἔτνος
ποιεῖ, καὶ ἅμα, ὦ ἑταῖρε, οὐκ ἂν συντρίψασα ἡμῖν
τὴν χύτραν ἐκχέαι τὸ ἔτνος καὶ τὸ πῦρ ἀποσβέσειε
καὶ τοὺς μέλλοντας ἑστιᾶσθαι ἄνευ ὄψου ἂν πάνυ
γενναίου ποιήσειεν. Ἡ δὲ χρυσῆ ἐκείνη πάντ' ἂν
p. 291. a. ταῦτα ποιήσειεν, ὥστ' ἐμοὶ δοκεῖ τὴν συκίνην ἡμᾶς
μᾶλλον φάναι πρέπειν ἢ τὴν χρυσῆν, εἰ μή τι σὺ ἄλλο
25. λέγεις. ΙΠ. Πρέπει μὲν γὰρ, ὦ Σώκρατες, μᾶλλον·
οὐ μέντ' ἂν ἔγωγε τῷ ἀνθρώπῳ τοιαῦτα ἐρωτῶντι
διαλεγοίμην. ΣΩ. Ὀρθῶς γε, ὦ φίλε. Σοὶ μὲν
γὰρ οὐκ ἂν πρέποι τοιούτων ὀνομάτων ἀναπίμπλα-

Ruhnk. ad Tim. Lex. p. 178. Mox Atticam formam *τοῖν τορύναιν*, pro *ταῖν*, reposui e §. 25. [et Be. e codd.]

24. *ἢ δῆλον ὅτι τὴν συκίνην;* Mira Sydenhami est ratio, coniectantis *τὴν συκαμίνην*, propterea quod Theophr. Hist. Plant. IV, 2. *συκάμινον* appellet *ξύλον πρὸς πολλὰ χρήσιμον*, ficulneum autem *inutile* sit *lignum* Horatio Serm. I, 8. Num ad tudiculas quoque faciendas inutile? Immo ob mollitiem, credo, et *εὐωδίαν*, ut Plato docet, utilissimum. Vilissimum autem memorari hic debebat ligni genus, quod auro opponeretur. Sed suam ipse coniecturam mox oblitus vir optimus infra illa §. 26. *ἢ ἐκ τῆς συκῆς εἰργασμένη* non tentavit. *ἄνευ ὄψου — ποιήσειεν.* Repetendum ex praegressis *ἑστιωμένους*. de rep. II. p. 372. c. *Ἄνευ ὄψου, ἔφη, ὡς ἔοικας, ποιεῖς τοὺς ἄνδρας ἑστιωμένους.*

§. 25. *τοιούτ. ὀνόμ. ἀναπίμπλασθαι*, *istiusmodi verbis pollui* ac *foedari*. Vid. Ruhnk. ad Tim. Lex. p. 31. — *ἀμπεχο-*

σθαι, καλῶς μὲν οὕτωσὶ ἀμπεχομένῳ, καλῶς δὲ ὑποδεδεμένῳ, εὐδοκιμοῦντι δὲ ἐπὶ σοφίᾳ ἐν πᾶσι τοῖς Ἕλλησιν· ἀλλ' ἐμοὶ οὐδὲν πρᾶγμα φύρεσθαι πρὸς τὸν ἄνθρωπον. Ἐμὲ οὖν προδίδασκε καὶ ἐμὴν χάριν b. ἀποκρίνου. Εἰ γὰρ δὴ πρέπει γε μᾶλλον ἡ συκίνη τῆς χρυσῆς, φήσει ὁ ἄνθρωπος, ἄλλοτι καὶ καλλίων ἂν εἴη; *III.* Ἐπειδήπερ τὸ πρέπον, ὦ Σώκρατες, κάλλιον ὡμολόγησας εἶναι τοῦ μὴ πρέποντος. *ΣΩ.* Ἄλλοτι ὁμολογῶμεν, ὦ Ἱππία, τὴν συκίνην καλλίω τῆς χρυσῆς εἶναι; *III.* Βούλει σοι εἴπω, ὦ

μένῳ. — Ita solent Graeci ἀμπεχόνη et ὑποδέσει vestitum universum exprimere. Conf. Xenoph. Mem. I, 2, 5. Charmid. §. 45. et alibi. ἀλλ' ἐμοὶ οὐδὲν πρᾶγμα — *mihi non est incommodum aut molestum.* Vid. Bud. Comm. L. Gr. p. 165.; quae pervulgata voc. πρᾶγμα vis obtinet etiam in formula illa οὐδὲν πρᾶγμα seu οὐδέν ἐστι πρᾶγμα, dativo non addito, *parvi refert, non in magno ponendum discrimine.* Gorg. p. 447. b. Euthyphr. p. 3. c. et e. Cratyl. p. 393. d. de legg. VII. p. 794. e. et locis aliis.

25. Ἐπειδήπερ τὸ πρέπον, ὦ Σώκρ. Ficin. *Hipp. Pulchriorem respondebis, o Socr., postquam quod decet, pulchrius quam quod dedecet, es confessus.* Ex quo Steph. legisse eum coniecit, *III. Καλλίων ἂν εἴη, φήσεις,* ἐπειδήπερ etc. vel καλλίονα εἶναι φήσεις, ἐπειδ. Quae vana est suspicio. Eodem prorsus modo §. 37. Socratis verbis ab Hippia subiiciuntur illa Ἐάν γε, ὦ Σώκρ., ἀγαθὰ δύνηται. Phaedo. p. 76. c. Ἦσαν ἄρα, ὦ Σιμμία, αἱ ψυχαὶ καὶ πρότερον, πρὶν εἶναι ἐν ἀνθρώπου εἴδει, χωρὶς σωμάτων, καὶ φρόνησιν εἶχον. Εἰ μὴ ἄρα γιγνόμενοι λαμβάνομεν, ὦ Σώκρατες, ταύτας τὰς ἐπιστήμας. [Vera haec quidem: sed veriora hic vidit Be., qui deleta Hippiae interlocutoris persona, omnia haec Socrati et fictae illi ignotae personae tribuit hoc modo: Εἰ γὰρ δὴ ——, ἄλλοτι καὶ καλλίων ἂν εἴη, ἐπειδήπερ —— τοῦ μὴ πρέποντος; Ἄλλοτι —.]

25. Βούλει σοι εἴπω — τῶν πολλῶν λόγων. In his pro αὐτὸν non dubitavi reponere σαυτὸν, flagitante usu sermonis.

Σώκρατες, ὃ εἰπὼν εἶναι τὸ καλὸν ἀπαλλάξεις σαυ-
c. τὸν τῶν πολλῶν λόγων; ΣΩ. Πάνυ μὲν οὖν· μὴ
μέντοι πρότερόν γε, πρὶν ἄν μοι εἴπῃς, ποτέραν
ἀποκρίνωμαι οἷν ἄρτι ἔλεγον τοῖν τορύναιν πρέπου-
26. σάν τε καὶ καλλίω εἶναι. ΙΠ. Ἀλλ', εἰ βούλει, αὐ-
τῷ ἀπόκριναι, ὅτι ἡ ἐκ τῆς συκῆς εἰργασμένη. ΣΩ.
Λέγε δὴ νυνὶ, ὃ ἄρτι ἔμελλες λέγειν. Ταύτῃ μὲν
γὰρ τῇ ἀποκρίσει, ᾗ ἂν φῶ τὸ καλὸν χρυσὸν εἶναι,
οὐδὲν ὡς ἔοικέ μοι ἀναφανήσεται κάλλιον ὂν χρυσὸς,
ἢ ξύλον σύκινον. Τὸ δὲ νῦν τί αὖ λέγεις τὸ καλὸν
εἶναι; ΙΠ. Ἐγώ σοι ἐρῶ. Ζητεῖν γάρ μοι δοκεῖς
d. τοιοῦτόν τι τὸ καλὸν ἀποκρίνασθαι, ὃ μηδέποτε αἰ-
σχρὸν μηδαμοῦ μηδενὶ φανεῖται. ΣΩ. Πάνυ μὲν
οὖν, ὦ Ἱππία, καὶ καλῶς γε νῦν ὑπολαμβάνεις. ΙΠ.

Nam ἀπαλλάττειν τινά, *a se removere aliquem*, quamvis proba sit locutio, v. Casaub. ad Theophr. Char. III. p. 45. ed. Fisch., velut ἀπαλλάττειν λύπας, ἐπιθυμίας in Platone legitur (conf. Bud. Comm. Gr. L. p. 318.), tamen ἀπαλλάττειν τινά τινος dici non potest nisi qui alterum *a re molesta odiosaque* liberat. Ita post §. 53. ἵνα καὶ ἀπαλλαγῶμεν πλείονος ζητήσεως. Theag. p. 127. b. καί με πολλῶν καὶ φοβερῶν ἀπαλλάξατε φροντίδων. Gorg. p. 458. a. μεῖζον ἀγαθόν ἐστιν, αὐτὸν ἀπαλλαγῆναι κακοῦ τοῦ μεγίστου, ἢ ἄλλον ἀπαλλάξαι. Aristoph. Plut. v. 115. Οἶμαι — — Ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας. Sed piget, plura afferre. Unum addo locum, scripturae nostrae simillimum, Theaetet. p. 185. e. εὖ ἐποίησάς με μάλα συχνοῦ λόγου ἀπαλλάξας.

§. 26. κάλλιον ὂν χρυσός. Facile cum Stephano corrigas ὢν, sed ὂν illud exemplis vindico ad §. 43. appositis. τί αὖ λέγεις. [Sic Be. ex opt. et pl. Vulgo τί ἂν λέγοις.] Deinde in verbis ὃ μηδέποτε — φανεῖται illud μηδενὶ est dativus commodi ad αἰσχρὸν pertinens.

Ἄκουε δή. Πρὸς γὰρ τοῦτο, ἴσθι, ἐάν τις ἔχῃ ὅ,τι ἀντείπῃ, φάναι ἐμὲ μηδ' ὁτιοῦν ἐπαΐειν. ΣΩ. Λέγε δὴ ὡς τάχιστα πρὸς θεῶν. ΙΠ. Λέγω τοίνυν, ἀεὶ καὶ παντὶ καὶ πανταχοῦ κάλλιστον εἶναι ἀνδρὶ, πλουτοῦντι, ὑγιαίνοντι, τιμωμένῳ ὑπὸ τῶν Ἑλλήνων, ἀφικομένῳ εἰς γῆρας, τοὺς αὑτοῦ γονέας τελευτήσαντας καλῶς περιστείλαντι, ὑπὸ τῶν αὑτοῦ ἐκγόνων καλῶς καὶ μεγαλοπρεπῶς ταφῆναι. ΣΩ. Ἰοὺ ἰού, e.
ὦ Ἱππία, ἢ θαυμασίως τε καὶ μεγαλείως καὶ ἀξίως σαυτοῦ εἴρηκας. Καὶ, νὴ τὴν Ἥραν, ἄγαμαί σου,

---

26. Ἄκουε δή — ἐπαΐειν. Vulgo haec verba Socrati tribuuntur, prorsus inepte, ut vidit Muretus Var. Lectt. V, 4. optime de hoc loco meritus. Ex eius enim itemque Cornarii indubitata correctione revocavi ἐπαΐειν [idque praebet Cod. Angel. v] pro vulgato ἐπαινεῖν, quod male Stephanus tuetur intelligendo: *quod laudem tanquam καλὸν, seu, cui illam καλοῦ laudem tribuendam censeam vel τοῦ καλὸν εἶναι.* Tum saltem scripsisset Plato μηδ' ὁτιοῦν ἔχειν ἐπαινεῖν: quanquam sic quoque dure admodum subaudienda illa ὡς καλόν. Emendati loci sententiam interpretatur Muretus l. l.: *Ausculta igitur. Adversus id enim, quod nunc afferam, si quis quod dicere possit habeat, scito me fassurum, nullius me omnino rei gnarum atque intelligentem esse.*

26. καλῶς περιστείλαντι —. Εὖ περιστεῖλαι et καλῶς in talibus adhiberi monuit, adhibito hoc loco, Valcken. ad Herodot. VI, 30. περιστέλλειν autem omnem significat curam, quam pollinctores cadaveribus adhibent, membra collocare, ungere, componere faciem, fasciis obvolvere, vestes pretiosas induere. Verba sunt Gisb. Cuperi Obss. II, 9. [Mox ἢ θαυμασίως e longe plurimis reposuit Be. pro vulgato ὡς θαυμ. Tum μεγαλείως in bonis codd. inventum merito commendavit Be. pro vulg. μεγάλως.] De structura verbi ἄγαμαι v. Ruhnk. ad Tim. Lex. p. 8. et Pierson. ad Moerid. p. 1. seq.

ὅτι μοι δοκεῖς εὐνοϊκῶς, καθόσον οἷόσ' εἶ, βοηθεῖν. Ἀλλὰ γὰρ τοῦ ἀνδρὸς οὐ τυγχάνομεν, ἀλλ' ἡμῶν δὴ
27. νῦν καὶ πλεῖστον καταγελάσεται, εὖ ἴσθι. ΙΠ. Πονηρόν γ', ὦ Σώκρατες, γέλωτα. Ὅταν γὰρ πρὸς ταῦτα ἔχῃ μὲν μηδὲν ὅ,τι λέγῃ, γελᾷ δὲ, αὐτοῦ κα-
p. 292. a. ταγελάσεται, καὶ ὑπὸ τῶν παρόντων αὐτὸς ἔσται καταγέλαστος. ΣΩ. Ἴσως οὕτως ἔχει· ἴσως μέντοι ἐπί γε ταύτῃ τῇ ἀποκρίσει, ὡς ἐγὼ μαντεύομαι, κινδυνεύσει οὐ μόνον μου καταγελᾶν. ΙΠ. Ἀλλὰ τί μήν; ΣΩ. Ὅτι, ἂν τύχῃ βακτηρίαν ἔχων, ἂν μὴ ἐκφύγω φεύγων αὐτὸν, εὖ μάλα μου ἐφικέσθαι πειράσεται. ΙΠ. Πῶς λέγεις; Δεσπότης τίς σου ὁ ἄνθρωπός ἐστι, καὶ τοῦτο ποιήσας οὐκ ἀχθήσεται καὶ
b. δίκας ὀφλήσει; Ἢ οὐκ ἔνδικος ὑμῖν ἡ πόλις ἐστὶν, ἀλλ' ἐᾷ ἀδίκως τύπτειν ἀλλήλους τοὺς πολίτας; ΣΩ. Οὐδ' ὁπωστιοῦν ἐᾷ. ΙΠ. Οὐκοῦν δώσει δίκην ἀδίκως γέ σε τύπτων. ΣΩ. Οὔ μοι δοκεῖ, ὦ Ἱππία,
Hom. Od. Ψ. 21. οὐκ, εἰ ταῦτά γε ἀποκριναίμην, ἀλλὰ δικαίως, ἔμοιγε δοκεῖ. ΙΠ. Καὶ ἐμοὶ τοίνυν δοκεῖ, ὦ Σώκρατες, ἐπειδήπερ γε αὐτὸς ταῦτα οἴει. ΣΩ. Οὐκοῦν εἴπω σοι καὶ ᾗ αὐτὸς οἶομαι δικαίως ἂν τύπτεσθαι, ταῦτα
c. ἀποκρινόμενος; ἢ καὶ σύ με ἄκριτον τυπτήσεις; ἢ δέξει λόγον; ΙΠ. Δεινὸν γὰρ ἂν εἴη, ὦ Σώκρατες,

---

§. 27. οὐκ ἀχθήσεται; nonne in ius rapietur? Vid. Pierson. ad Moer. p. 21. Οὔ μοι δοκεῖ, ὦ Ἱππία, οὐκ, εἰ — Sympos. p. 199. a. οὐ γὰρ ἂν δυναίμην, οὐ μέντοι. Seneca de Benef. VII, 25. *Non est ista admonitio, non; convicium est.* Conf. Manut. ad Cic. ad Att. X, 9.

εἰ μὴ δεχοίμην. Ἀλλὰ πῶς λέγεις; ΣΩ. Ἐγώ σοι 28.
ἐρῶ, τὸν αὐτὸν τρόπον, ὅνπερ νῦν δή, μιμούμενος
ἐκεῖνον, ἵνα μὴ πρὸς σὲ λέγω ῥήματα, οἷα ἐκεῖνος
εἰς ἐμὲ ἐρεῖ χαλεπά τε καὶ ἀλλόκοτα. Εὖ γὰρ ἴσθι,
Εἰπέ μοι, φήσει, ὦ Σώκρατες, οἴει ἂν ἀδίκως πλη-
γὰς λαβεῖν, ὅστις διθύραμβον τοσουτονὶ ἄσας οὕτως
ἀμούσως πολὺ ἀπῆσας ἀπὸ τοῦ ἐρωτήματος; Πῶς
δή; φήσω ἐγώ. Ὅπως; φήσει· οὐχ οἷόστ' εἶ με-
μνῆσθαι, ὅτι τὸ καλὸν αὐτὸ ἠρώτων, ὃ παντὶ ᾧ ἂν
προσγένηται, ὑπάρχει ἐκείνῳ καλῷ εἶναι, καὶ λίθῳ d.
καὶ ξύλῳ καὶ ἀνθρώπῳ καὶ θεῷ καὶ ἀπάσῃ πράξει
καὶ παντὶ μαθήματι; Αὐτὸ γὰρ ἔγωγε, ὦ ἄνθρω-
πε, κάλλος ἐρωτῶ ὅ,τι ἐστὶ, καὶ οὐδέν σοι μᾶλλον
γεγωνεῖν δύναμαι, ἢ εἴ μοι παρεκάθησο λίθος, καὶ
οὗτος μυλίας, μήτε ὦτα μήτ' ἐγκέφαλον ἔχων. Εἰ
οὖν φοβηθεὶς εἶποιμι ἐγὼ ἐπὶ τούτοις τάδε, ἆρα οὐκ

---

§. 28. Ἐγώ σοι ἐρῶ, τὸν αὐτὸν τρόπ. Distinxi post ἐρῶ, ut verba τὸν αὐτ. τρόπον trahantur ad μιμούμενος, et illa ἵνα μὴ etc. epexegesin quandam faciant; alioquin haec μιμούμενος ἐκεῖνον admodum frigent. In seqq. διθύραμβον τοσουτονὶ cum irrisione dictum, ut est in illo διθυραμβοποιῶν νοῦν ἔχεις ἐλάττονα ap. Suid. v. Toup. Epist. Crit. T. II. p. 84. ed. Lips. [Mox φήσω pro vulgato φράσω cum Be. adoptandum fuit e codd. longe plurimis.] — Ὅπως; φήσει. Elegans est in iterata hac interrogatione quotidiani sermonis imitatio. De legg. H. p. 662. a. Καὶ πῶς ἂν ταῦτά γ' ἔτι ξυγ-χωροῖμεν; Ἀθ. Ὅπως; εἰ θεὸς ἡμῖν — δοίη τις συμφωνίαν. Euthyphr. p. 2. b. Ἀλλὰ δὴ τίνα γραφὴν σε γέγραπται; Σ. Ἥντινα; οὐκ ἀγεννῆ, ἔμοιγε δοκεῖ. Conf. Aristoph. Thesmoph. v. 210.

28. Εἰ οὖν φοβηθεὶς — ἐπὶ τούτοις — Sic vere Bas. 2. [et quattuor codd.] addicente Ficino: *ad haec*. Vulgo τούτοις.

e. ἂν ἄχθοιο, ὦ Ἱππία; Ἀλλὰ μέντοι τόδε τὸ καλὸν εἶναι Ἱππίας ἔφη, καίτοι ἐγὼ αὐτὸν ἠρώτων οὕτως, ὥσπερ σὺ ἐμέ, ὃ πᾶσι καλὸν καὶ ἀεί ἐστι. Πῶς
29. οὖν φῂς; Οὐκ ἀχθέσει, ἂν εἴπω ταῦτα; *III.* Εὖ γοῦν οἶδα, ὦ Σώκρατες, ὅτι πᾶσι καλὸν τοῦτ' ἐστὶν, ὃ ἐγὼ εἶπον, καὶ δόξει. *ΣΩ.* Ἦ καὶ ἔσται; φήσει· ἀεὶ γάρ που καλὸν τόγε καλόν. *III.* Πάνυ γε. *ΣΩ.* Οὐκοῦν καὶ ἦν; φήσει. *III.* Καὶ ἦν. *ΣΩ.* Ἦ καὶ τῷ Ἀχιλλεῖ, φήσει, ὁ ξένος ὁ Ἠλεῖος ἔφη καλὸν εἶναι ὑστέρῳ τῶν προγόνων ταφῆναι, καὶ
p. 293. a. τῷ πάππῳ αὐτοῦ Αἰακῷ, καὶ τοῖς ἄλλοις, ὅσοι ἐκ θεῶν γεγόνασι, καὶ αὐτοῖς τοῖς θεοῖς; *III.* Τί τοῦτο; βάλλ' ἐς μακαρίαν· τοῦ ἀνθρώπου οὐδ' εὔφημα,

---

Post paullo pro ἀχθέσει ibid. ἀχθεσθήσῃ: vulgo ἀχθήσῃ: vid. Pierson. ad Moerid. p. 21.

§. 29. ὅτι πᾶσι καλὸν τοῦτ' ἐστὶ — καὶ δόξει. Sydenhamo, πᾶσιν hoc non satis intelligenti, redundare videbantur illa καὶ δόξει. Sed πᾶσι pendet a verbo καλὸν, non ab illo ἐστὶ, et est πᾶσι καλὸν id *quod omnibus decoris et pulchritudinis speciem tribuit;* velut mox ὃς παντὶ φῇς καὶ ἀεὶ καλὸν εἶναι. Conf. §. 26. 30. init.

29. Τί τοῦτο; βάλλ' ἐς μακαρίαν· τοῦ ἀνθρ. Haec βάλλ' ἐς μακ. per parenthesin interiecta esse, bene animadvertit Stephanus; sed idem quod genit. τοῦ ἀνθρώπου ad τοῦτο traxit, in eo usum sermonis neglexit. Latini dicunt: *quid hoc hominis?* Graeci non item, ne quid dicam de ipsa verborum structura, absone tum interrupta. Immo τοῦ ἀνθρ. manifesto pertinet ad seq. τὰ ἐρωτήματα, quod Cornarium quoque fefellit; neque vulgatam distinctionem mutavit Ruhnk. ad Lex. Tim. p. 59. Formula haec βάλλ' ἐς μακαρίαν, *in malam crucem*, unde originem duxerit, non constat; vulgo trahunt ad *Macariam*, Herculis ex Deïanira filiam, quae pro salute fratrum Atheniensiumque mortem oppetens fonti Ma-

ὦ Σώκρατες, ταῦτά γε τὰ ἐρωτήματα. ΣΩ. Τί δαί; τὸ ἐρωτωμένου ἑτέρου φάναι ταῦτα οὕτως ἔχειν, οὐ πάνυ δύσφημον; ΙΠ. Ἴσως. ΣΩ. Ἴσως τοίνυν, σὺ εἶ οὗτος, φήσει, ὃς παντὶ φῂς καὶ ἀεὶ καλὸν εἶναι, ὑπὸ μὲν τῶν ἐκγόνων ταφῆναι, τοὺς δὲ γονέας θάψαι. Ἦ οὐχ εἷς τῶν ἁπάντων καὶ Ἡρακλῆς ἦν καὶ, οὓς νῦν δὴ ἐλέγομεν, πάντες; ΙΠ. Ἀλλ' οὐ τοῖς θεοῖς ἔγωγε ἔλεγον. ΣΩ. Οὐδὲ τοῖς b. ἥρωσιν, ὡς ἔοικας. ΙΠ. Οὐχ, ὅσοι γε θεῶν παῖδες ἦσαν. ΣΩ. Ἀλλ' ὅσοι μή; ΙΠ. Πάνυ γε. ΣΩ. Οὐκοῦν κατὰ τὸν σὸν αὖ λόγον, ὡς φαίνεται, τῶν ἡρώων τῷ μὲν Ταντάλῳ καὶ τῷ Δαρδάνῳ καὶ τῷ Ζήθῳ δεινόν τε καὶ ἀνόσιον καὶ αἰσχρόν ἐστι, Πέ-

---

cariae in Marathone nomen dedit. Vid. Lex. Tim. p. 59. ibiq. not. Conf. Schol. Plat. p. 134.

29. *Τί δαί; τὸ ἐρωτωμένου ἑτέρου* — Quid hoc est: *quando alius interrogatur?* Istud *ἑτέρου* utro trahendum, ad Socratemne an ad Hippiam? Bene Ficinus sententiam, qua hic opus est, expressit: *percontante alio haec asserere, non valde profanum?* Atque sic procedere debebit sine dubio Socratis argumentatio: *impietatis*, inquiet, *Hippia, incusas eum, qui illa δύσφημα ἐρωτήματα proponat. At vero num minus impie faciet, qui ad istiusmodi interrogata affirmate respondere, ea, quam protulit, sententia cogetur? Tuum igitur potius istud est impietatis crimen.* Legendum igitur aut *τὸ ἐρωτώμενον ὑφ' ἑτέρου του*, aut, quod malim: *τὸ ἐρομένου τοῦ ἑτέρου, percontante altero.* Atque *ἐρομένου ἑτέρου* coniecit iam Bipontinus editor, eodemque modo haec duo verba a librariis permutata in Menone p. 75. d. ubi cum Cornario legendum *ὧν ἂν προσομολογῇ εἰδέναι ὁ ἐρόμενος.*

29. *τῷ μὲν Ταντάλῳ — Ζήθῳ* — ut Iovis filiis. *Tantalus* enim Iovis et Plutonis seu Plutus filius: v. Hygin. Fab. 82. ibiq. Munck.; *Dardanus* Iovis ex Electra, Atlantis filia: vid. ibid. Fab. 155. Apollod. III, 12, 1. Servius ad Virg.

λοπι δὲ καὶ τοῖς ἄλλοις τοῖς οὕτω γεγονόσι καλόν.
30. III. Ἔμοιγε δοκεῖ. ΣΩ. Σοὶ τοίνυν δοκεῖ, φήσει,
ὃ ἄρτι οὐκ ἔφησθα, τὸ θάψαντι τοὺς προγόνους τα-
c. φῆναι ὑπὸ τῶν ἐκγόνων ἐνίοτε καὶ ἐνίοις αἰσχρὸν εἶ-
ναι· ἔτι δὲ μᾶλλον, ὡς ἔοικεν, ἀδύνατον πᾶσι τοῦτο
γενέσθαι καὶ εἶναι καλόν. Ὥστε τοῦτό γε, ὥσπερ
καὶ τὰ ἔμπροσθεν ἐκεῖνα, ἥ τε παρθένος καὶ ἡ χύ-
τρα, ταυτὸν πέπονθε, καὶ ἔτι γελοιοτέρως τοῖς μέν
ἐστι καλὸν, τοῖς δ' οὐ καλόν. Καὶ οὐδέπω καὶ τή-
μερον, φήσει, οἶόσθ' εἶ, ὦ Σώκρατες, περὶ τοῦ κα-
λοῦ, ὅ,τι ἐστὶ, τὸ ἐρωτώμενον ἀποκρίνασθαι; Ταῦ-
τά μοι καὶ τὰ τοιαῦτα ὀνειδιεῖ δικαίως, ἐὰν αὐτῷ
οὕτως ἀποκρίνωμαι. Τὰ μὲν οὖν πολλὰ, ὦ Ἱππία,
d. σχεδόν τί μοι οὕτω διαλέγεται· ἐνίοτε δ' ὥσπερ ἐλεή-
σας μου τὴν ἀπειρίαν καὶ ἀπαιδευσίαν αὐτός μοι
προβάλλει ἐρωτῶν εἰ τοιόνδε μοι δοκεῖ εἶναι τὸ κα-

Aen. VII, 206.; *Zethus* Iovis cum Amphione ex Antiopa filius: v. Hygin. Fab. 155. Apollod. III, 10, 1. *Pelops* contra Tantali filius et Diones, Atlantis filiae, quanquam de matre non constat: v. Hygin. Fab. 83. ibiq. Muncker. — *τοῖς οὕτω γεγονόσιν* i. e. *parentibus mortalibus.*

§. 30. *ἥ τε παρθένος καὶ ἡ χύτρα.* In his Sydenhami commentum pro *ἡ χύτρα* legentis *ὁ χρυσὸς*, refutare non attinet. Conf. §. 20.

30. *αὐτός μοι προβάλλει ἐρωτῶν* — Ficin.: *ipse mihi occurrit.* Ex quo non debebat Stephanus de scriptura loci existimare, nodum hic in scirpo quaerens. Nempe opus esse ait accusativo aliquo ad *προβάλλει*: praeterea cur aliquam quaestionem proponere esset eius, qui *τὴν ἀπειρίαν* et *ἀπαιδευσίαν* miserari diceretur? retento igitur *προβάλλει*, mutandum esse *μοι* in *με*, ut *προβάλλει* idem sonaret, quod *προβιβάζει με, adiuvat me.* At ne Graecum quidem hoc est, ne-

λὸν, ἢ καὶ περὶ ἄλλου ὁτου ἂν τύχῃ πυνθανόμενος, καὶ περὶ οὗ ἂν ὁ λόγος ᾖ. ΙΠ. Πῶς τοῦτο λέγεις, 31.
ὦ Σώκρατες; ΣΩ. Ἐγώ σοι φράσω· Ὦ δαιμόνιε, φησὶ, Σώκρατες, τὰ μὲν τοιαῦτα ἀποκρινόμενος καὶ οὕτω παῦσαι· λίαν γὰρ εὐήθη τε καὶ εὐεξέλεγκτά ἐστιν· ἀλλὰ τὸ τοιόνδε σκόπει εἴ σοι δοκεῖ καλὸν εἶναι, ὃ οὗ καὶ νῦν δὴ ἐπελαβόμεθα ἐν τῇ ἀποκρίσει, e.
ἡνίκ' ἔφαμεν τὸν χρυσὸν, οἷς μὲν πρέπει, καλὸν εἶναι, οἷς δὲ μὴ, οὔ, καὶ τἄλλα πάντα οἷς ἂν τοῦτο προσῇ. Αὐτὸ δὴ τοῦτο τὸ πρέπον καὶ τὴν φύσιν αὐτοῦ τοῦ πρέποντος σκόπει εἰ τοῦτο τυγχάνει ὂν τὸ καλόν. Ἐγὼ μὴν οὖν εἴωθα συμφάναι τὰ τοιαῦτα ἑκάστοτε, οὐ γὰρ ἔχω ὅ,τι λέγω. Σοὶ δ' οὖν δοκεῖ

---

que ulla egent haec mutatione, nisi quod in verbis *καὶ περὶ οὗ ἂν ὁ λόγος ᾖ* art. *ὁ* vulgo omissum restitui. (Conf. §. 55.) Accusativus ad *προβάλλει*, si quo omnino est opus, latet in seqq. his *ἐρωτῶν εἰ τοιόνδε* etc., atque *προβάλλει ἐρωτῶν* idem est q. d. *προβάλλει ἐρωτήματα τοιαῦτα εἰ — non in universum me interrogat, quid sit pulchrum vel aliud aliquid, de quo agitur, sed ut fluctuantem me et hallucinantem aliquando in viam reducat, certa mihi quaedam proponit rerum genera, quaerens, an hoc illudve esse putem pulchritudinem vel aliud aliquid, v. c. an sit τὸ καλὸν idem quod τὸ πρέπον.*

§. 31. *τὸ τοιόνδε σκόπει — καλὸν εἶναι.* Exspectabas potius *τὸ καλὸν*, ut mox, ubi haec iteratur sententia, *αὐτὸ δὴ τοῦτο τὸ πρέπον — σκόπει εἰ τοῦτο τυγχάνει ὂν τὸ καλόν*, neque hic quaeritur, an *τὸ πρέπον* pulchrum sit, sed an ipsa pulchritudo, *αὐτὸ τὸ καλὸν* seu *τὸ καλὸν*, idem sit, quod *τὸ πρέπον*. Sed eodem modo paullo post: *σοὶ δ' οὖν δοκεῖ τὸ πρέπον καλὸν εἶναι*; et cf. §. 33. d. 34. c. 35. e. Illud *οὗ* post *εἶναι* pertinet ad praegressum *τοιόνδε*. *καὶ τἄλλα πάντα* sc. *καλὰ εἶναι*. — Tum in seqq. *οἷς ἂν τοῦτο προσῇ* hoc *τοῦτο* est *τὸ πρέπον*, quod latebat in praegressis *οἷς μὲν πρέπει*.

τὸ πρέπον καλὸν εἶναι; ΙΠ. Πάντως δήπου, ὦ Σώκρατες. ΣΩ. Σκοπώμεθα, μή πη ἄρα ἐξαπατώμεθα. ΙΠ. Ἀλλὰ χρὴ σκοπεῖν. ΣΩ. Ὅρα τοίνυν. Τὸ πρέπον ἆρα τοῦτο λέγομεν, οὗ παραγενόμενον ποιεῖ ἕκαστα φαίνεσθαι καλὰ τούτων οἷς ἂν παρῇ, ἢ ὃ εἶναι ποιεῖ, ἢ οὐδέτερα τούτων; ΙΠ. Ἔμοιγε δοκεῖ. ΣΩ. Πότερα ὃ ποιεῖ φαίνεσθαι καλὰ, ὥσπερ γε, ἐπειδὰν ἱμάτιά τις λάβῃ ἢ ὑποδήματα ἁρμόττοντα, κἂν ᾖ γελοῖος, καλλίων φαίνεται; p. 294. a.

32. Οὐκοῦν εἴπερ καλλίω ποιεῖ φαίνεσθαι ἢ ἔστι τὸ πρέπον, ἀπάτη τις ἂν εἴη περὶ τὸ καλὸν τὸ πρέπον, καὶ οὐκ ἂν εἴη τοῦτο, ὃ ἡμεῖς ζητοῦμεν, ὦ Ἱππία; Ἡμεῖς γάρ που ἐκεῖνο ἐζητοῦμεν, ᾧ πάντα τὰ καλὰ

---

31. *Τὸ πρέπον ἆρα τοῦτο λέγομεν — — οὐδέτερα τούτων.* Nihili est, quod Sydenh. pro *οὐδέτερα τούτων* coniecit, *ἀμφότερα τούτων*. Immo id callide hoc loco praetermittit Socrates, ne, hoc statim arrepto, argumentationis tenorem Sophista interrumpat. Inferius demum hoc infertur, et ab ipso Hippia §. seq. *ἀλλὰ τὸ πρέπον, ὦ Σώκρ., καὶ εἶναι καὶ φαίνεσθαι ποιεῖ καλὰ παρόν.* Sed, ni plane caecutio, alia eaque gravis hunc locum invasit corruptela. Quid? Num, proposita triplici illa a Socrate interrogatione, defungi poterat Hippias respondendo *Ἔμοιγε δοκεῖ*? Mihi Plato ita scripsisse videtur: *Ἱππ. Ἔμοιγε δοκεῖ, ὦ Σώκρ., τὸ πρότερον, ὃ ποιεῖ φαίνεσθαι καλὰ, ὥσπερ γε ἐπειδὰν — — καλλίων φαίνεται. Σω. Οὐκοῦν εἴπερ* etc. Nam in vulgata scriptura id quoque offendit magnopere, quod post Socratis hanc interrogationem *Πότερα — — — καλλίων φαίνεται* ne verbum quidem ab Hippia subiicitur, sed continuo additur a Socrate *Οὐκοῦν εἴπερ*, cuius generis aliud ullum in Platonis sermonibus exemplum reperiri negamus.

§. 32. *Ἡμεῖς γάρ που ἐκεῖνο ἐζητοῦμεν.* Scripserim *ζητοῦμεν* propter modo praegressum *ζητοῦμεν*. Et sic post *τοῦτο*

πράγματα καλά ἐστιν, ὥσπερ ᾧ πάντα τὰ μεγάλα b.
ἐστὶ μεγάλα, τῷ ὑπερέχοντι· τούτῳ γὰρ πάντα με-
γάλα ἐστὶ, καὶ ἂν μὴ φαίνηται, ὑπερέχῃ δὲ, ἀνάγκη
αὐτοῖς μεγάλοις εἶναι. Οὕτω δή φαμεν καὶ τὸ κα-
λὸν, ᾧ καλὰ πάντα ἐστὶν, ἄν τ' οὖν φαίνηται ἄν τε
μὴ, τί ἂν εἴη. Τὸ μὲν γὰρ πρέπον οὐκ ἂν εἴη·
καλλίω γὰρ ποιεῖ φαίνεσθαι ἢ ἐστιν, ὡς ὁ σὸς λόγος,
οἷα δ' ἐστὶν, οὐκ ἐᾷ φαίνεσθαι. Τὸ δὲ ποιοῦν εἶ-
ναι καλὰ, ὅπερ νῦν δὴ εἶπον, ἐάν τε φαίνηται ἐάν c.
τε μὴ, πειρατέον λέγειν τί ἐστι. Τοῦτο γὰρ ζητοῦ-
μεν, εἴπερ τὸ καλὸν ζητοῦμεν. III. Ἀλλὰ τὸ πρέ-
πον, ὦ Σώκρατες, καὶ εἶναι καὶ φαίνεσθαι ποιεῖ
καλὰ παρόν. ΣΩ. Ἀδύνατον ἄρα, τῷ ὄντι καλὰ
ὄντα μὴ φαίνεσθαι καλὰ εἶναι, παρόντος γε τοῦ
ποιοῦντος φαίνεσθαι. III. Ἀδύνατον. ΣΩ. Ὁμο- 33.
λογήσομεν οὖν τοῦτο, ὦ Ἱππία, πάντα τὰ τῷ ὄντι
καλὰ καὶ νόμιμα καὶ ἐπιτηδεύματα καὶ δοξάζεσθαι
καλὰ εἶναι καὶ φαίνεσθαι ἀεὶ πᾶσιν; ἢ πᾶν τοὐ- d.
ναντίον ἀγνοεῖσθαι, καὶ πάντων μάλιστα ἔριν καὶ
μάχην περὶ αὐτῶν εἶναι, καὶ ἰδίᾳ ἑκάστοις καὶ δη-
μοσίᾳ ταῖς πόλεσιν. III. Οὕτω μᾶλλον, ὦ Σώκρα-
τες· ἀγνοεῖσθαι. ΣΩ. Οὐκ ἄν, εἴ γέ που τὸ φαί-

γὰρ ζητοῦμεν, εἴπερ — ζητοῦμεν. Conf. §. 33. Porro in verbis ὥσπερ ᾧ πάντα — τῷ ὑπερέχοντι Stephanus ᾧ abesse malebat, Sydenhamus rescribi τὸ ὑπερέχον τι, in quo τι male redundaret. Atqui τῷ ὑπερέχοντι epexegeseos gratia additum est. Vid. ad Gorg. 85.

§. 33. Οὕτω μᾶλλον, ὦ Σώκρατες· ἀγνοεῖσθαι. *Hoc potius modo* rem se habere fatebimur, *ut illa ignorentur*. Pendet

νεσθαι αὐτοῖς προσῆν· προσῆν δ' ἂν, εἴπερ τὸ πρέπον καλὸν ἦν, καὶ μὴ μόνον καλὰ ἐποίει εἶναι, ἀλλὰ καὶ φαίνεσθαι. Ὥστε τὸ πρέπον, εἰ μὲν τὸ καλὰ ποιοῦν ἐστιν εἶναι, τὸ μὲν καλὸν ἂν εἴη ὃ ἡμεῖς ζητοῦμεν, οὐ μέντοι τόγε ποιοῦν φαίνεσθαι· εἰ δ' αὖ
c. τὸ φαίνεσθαι ποιοῦν ἐστι τὸ πρέπον, οὐκ ἂν εἴη τὸ καλὸν ὃ ἡμεῖς ζητοῦμεν· εἶναι γὰρ ἐκεῖνό γε ποιεῖ· φαίνεσθαι δὲ καὶ ποιεῖν εἶναι οὐ μόνον καλὰ οὐκ ἄν ποτε δύναιτο τὸ αὐτὸ, ἀλλ' οὐδὲ ἄλλο ὁτιοῦν. Ἑλώμεθα δὴ, πότερα δοκεῖ τὸ πρέπον εἶναι τὸ φαίνεσθαι καλὰ ποιοῦν ἢ τὸ εἶναι. ΙΠ. Τὸ φαίνεσθαι, ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. ΣΩ. Βαβαὶ, οἴχεται ἄρα ἡμᾶς διαπεφευγὸς, ὦ Ἱππία, τὸ καλὸν γνῶναι ὅτι ποτ' ἐστὶν, ἐπειδή γε τὸ πρέπον ἄλλο τι ἐφάνη
p. 295. a. ὂν ἢ καλόν. ΙΠ. Ναὶ μὰ Δία, ὦ Σώκρατες, καὶ
34. μάλα ἔμοιγε ἀτόπως. ΣΩ. Ἀλλὰ μέντοι, ὦ ἑταῖρε, μήπω γε ἀνῶμεν αὐτό. Ἔτι γάρ τινα ἐλπίδα ἔχω ἐκφανήσεσθαί τί ποτ' ἐστὶ τὸ καλόν. ΙΠ. Πάντως δήπου, ὦ Σώκρατες· οὐδὲ γὰρ χαλεπόν ἐστιν εὑρεῖν. Ἐγὼ μὲν οὖν εὖ οἶδ' ὅτι, εἰ ὀλίγον χρόνον εἰς ἐρημίαν ἐλθὼν σκεψαίμην πρὸς ἐμαυτὸν, ἀκριβέστε-

---

enim ἀγνοεῖσθαι a praegresso ὁμολογήσομεν, neque iungendum cum antecedentibus οὕτω μᾶλλον, de quo iam monuit Steph.

33. φαίνεσθαι δὲ καὶ ποιεῖν εἶναι — Traiectiones verborum licet apud Atticos non sint rarae, h. l. tamen εἶναι moleste transpositum reponendumque sine dubio ante ποιεῖν sic: φαίνεσθαι δὲ καὶ εἶναι ποιεῖν etc. Structura autem verborum haec est: τὸ αὐτὸ οὐκ ἄν ποτε δύναιτο ποιεῖν φαίνεσθαι καὶ εἶναι οὐ μόνον καλὰ, ἀλλ' οὐδὲ ἄλλο ὁτιοῦν.

ρον ἂν αὐτό σοι εἴποιμι τῆς ἀπάσης ἀκριβείας. ΣΩ. Ἆ μὴ μέγα, ὦ Ἱππία, λέγε· ὁρᾷς, ὅσα πράγματα ἡμῖν ἤδη παρέσχηκε· μὴ καὶ ὀργισθὲν ἡμῖν ἔτι μᾶλλον ἀποδρᾷ. Καίτοι οὐδὲν λέγω. Σὺ μὲν γὰρ, b. οἶμαι, ῥᾳδίως αὐτὸ εὑρήσεις, ἐπειδὰν μόνος γένῃ. Ἀλλὰ, πρὸς θεῶν, ἐμοῦ ἐναντίον αὐτὸ ἔξευρε, εἰ δὲ βούλει, ὥσπερ νῦν ἐμοὶ συζήτει· καὶ ἐὰν μὲν εὕρωμεν, κάλλιστα ἕξει· εἰ δὲ μὴ, στέρξω, οἶμαι, ἐγὼ τῇ ἐμῇ τύχῃ, σὺ δ' ἀπελθὼν ῥᾳδίως εὑρήσεις. Καὶ ἐὰν νῦν εὕρωμεν, ἀμέλει οὐκ ὀχληρὸς ἔσομαί σοι, πυνθανόμενος, ὅ,τι ἦν ἐκεῖνο, ὃ κατὰ σαυτὸν ἐξεῦρες. Νῦν δὲ θέασαι αὐτὸ εἴ σοι δοκεῖ εἶναι τὸ καλόν· λέγω δὴ αὐτὸ εἶναι· ἀλλὰ γὰρ ἐπισκόπει μοι c. πάνυ προσέχων τὸν νοῦν, μὴ παραληρήσω· τοῦτο γὰρ δὴ ἔστω ἡμῖν καλὸν, ὃ ἂν χρήσιμον ᾖ. Εἶπον δὲ ἐκ τῶνδε ἐννοούμενος· καλοὶ, φαμὲν, οἱ ὀφθαλμοί εἰσιν, οὐχ οἳ ἂν δοκῶσι τοιοῦτοι εἶναι οἷοι μὴ δυνατοὶ ὁρᾶν, ἀλλ' οἳ ἂν δυνατοί τε καὶ χρήσιμοι πρὸς τὸ ἰδεῖν· ἦ γάρ; ΙΠ. Ναί. ΣΩ. Οὐκοῦν 35.

---

§. 34. ἀκριβέστερον τῆς ἀπ. ἀκριβ. Proverbiale loquendi genus, simile illi ap. Suid. δίκης δικαιότερος. [Voculam ἄν ante αὐτό assumpsimus ex Angel. v.] Illa μὴ μέγα λέγε perperam vertit Ficinus: ne alta id voce dicas. Immo ne sis magniloquus. Phaedo p. 95. b. ὦ ᾽γαθέ, — μὴ μέγα λέγε, μή τις ἡμῶν βασκανίᾳ περιτρέψῃ τὸν λόγον. Apolog. p. 20. e. Καί μοι — μὴ θορυβήσητε μηδὲν, ἂν δόξω τι ὑμῖν μέγα λέγειν. Sophist. p. 238. a. Θ. Τέλος γοῦν ἂν ἀπορίας ἔχοι ὁ λόγος. Ξ. Μήπω μέγ' εἴπῃς. Conf. Koen. praefat. ad Gregor. p. X. μὴ καὶ ὀργ. [Sic libri omnes. Vulgo καὶ μὴ ὀργ.]

34. Νῦν δὲ θέασαι — Malim δὴ pro δέ. De pronomine αὐτὸ pro ἐκεῖνο adhibito vid. ad Lysid. §. 2.

καὶ τὸ ὅλον σῶμα οὕτω λέγομεν καλὸν εἶναι, τὸ μὲν πρὸς δρόμον, τὸ δὲ πρὸς πάλην, καὶ αὖ τὰ ζῶα πάντα, ἵππον καλὸν καὶ ἀλεκτρυόνα καὶ ὄρτυγα,
d. καὶ τὰ σκεύη πάντα καὶ τὰ ὀχήματα τά τε πεζὰ καὶ τὰ ἐν τῇ θαλάττῃ, πλοῖά τε καὶ τριήρεις, καὶ τάγε ὄργανα πάντα, τά τε ὑπὸ τῇ μουσικῇ καὶ τὰ ὑπὸ ταῖς ἄλλαις τέχναις· εἰ δὲ βούλει, τὰ ἐπιτηδεύματα καὶ τοὺς νόμους· σχεδόν τι πάντα ταῦτα καλὰ προσαγορεύομεν τῷ αὐτῷ τρόπῳ· ἀποβλέποντες πρὸς ἕκαστον αὐτῶν ᾗ πέφυκεν, ᾗ εἴργασται, ᾗ κεῖται, τὸ μὲν χρήσιμον, καὶ ᾗ χρήσιμον, καὶ πρὸς ὃ χρήσιμον, καὶ ὁπότε χρήσιμον, καλὸν φαμὲν εἶναι· τὸ
e. δὲ ταύτῃ πάντη ἄχρηστον, αἰσχρόν. Ἆρ' οὖν οὐ καὶ σοὶ δοκεῖ οὕτως, ὦ Ἱππία; ΙΠ. Ἔμοιγε. ΣΩ. Ὀρθῶς ἄρα νῦν λέγομεν, ὅτι τυγχάνει παντὸς ὂν μᾶλλον καλὸν τὸ χρήσιμον. ΙΠ. Ὀρθῶς μέντοι, ὦ Σώκρατες. ΣΩ. Οὐκοῦν τὸ δυνατὸν ἕκαστον ἀπεργάζεσθαι, εἰς ὅπερ δυνατόν, εἰς τοῦτο καὶ χρήσιμον, τὸ δὲ ἀδύνατον ἄχρηστον; ΙΠ. Πάνυ γε. ΣΩ.

---

§. 35. *τὸ μὲν πρὸς δρόμον.* Conferendus his locus Xenoph. Memor. IV, 6, 9., ubi idem *τοῦ καλοῦ πρός τι* usus obtinet. — *καὶ ἀλεκτρ. καὶ ὄρτυγα.* Vid. ad Lysid. §. 20. — *τὰ ὑπὸ τῇ μουσικῇ, quae in musica ceterisque artibus adhibentur.* Sympos. p. 205. b. *αἱ ὑπὸ πάσαις ταῖς τέχναις ἐργασίαι ποιήσεις εἰσί.* de rep. VI. p. 511. a. *Μανθάνω, ἔφη, ὅτι τὸ ὑπὸ ταῖς γεωμετρίαις τε καὶ ταῖς ταύταις ἀδελφαῖς τέχναις λέγεις.*

35. *τὸ μὲν χρήσιμον καὶ ᾗ χρήσιμον.* Melius, opinor, hoc *καὶ* abesset. Mox Bas. 2. *τὸ δὲ ταύτῃ πάντῃ ἄχρηστον.* Recte, q. d. *τὸ δὲ οὐδαμῇ πρὸς οὐδὲν οὐδέποτε χρήσιμον.* [Vulgo deest *ταύτῃ*: reposuit Be. e codd. longe plurimis.]

Δύναμις μὲν ἄρα καλὸν, ἀδυναμία δὲ αἰσχρόν. ΙΠ. Σφόδρα γε. Τά τε οὖν ἄλλα, ὦ Σώκρατες, μαρ- 36.
τυρεῖ ἡμῖν ὅτι τοῦτο οὕτως ἔχει, ἀτὰρ οὖν καὶ τὰ p. 296.
πολιτικά. Ἐν γὰρ τοῖς πολιτικοῖς τε καὶ τῇ αὐτοῦ a.
πόλει τὸ μὲν δυνατὸν εἶναι πάντων κάλλιστον, τὸ δὲ ἀδύνατον πάντων αἴσχιστον. ΣΩ. Εὖ λέγεις. Ἆρ' οὖν πρὸς θεῶν, ὦ Ἱππία, διὰ ταῦτα καὶ ἡ σοφία πάντων κάλλιστον, ἡ δὲ ἀμαθία πάντων αἴσχιστον; ΙΠ. Ἀλλὰ τί οἴει, ὦ Σώκρατες; ΣΩ. Ἔχε δὴ ῥῆμα, ὦ φίλε ἑταῖρε, ὡς φοβοῦμαι τί ποτ' αὖ λέγομεν. ΙΠ. Τί δ' αὖ φοβεῖ, ὦ Σώκρατες; ἐπεὶ νῦν γέ σοι ὁ λόγος παγκάλως προβέβηκε. ΣΩ. Βου- b.
λοίμην ἄν. Ἀλλά μοι τόδε συνεπίσκεψαι, ἆρ' ἄν τίς τι ποιήσειεν, ὃ μήτ' ἐπίσταιτο μήτε τοπαράπαν δύναιτο; ΙΠ. Οὐδαμῶς· πῶς γὰρ ἂν ὅγε μὴ δύναιτο; ΣΩ. Οἱ οὖν ἐξαμαρτάνοντες καὶ κακὰ ἐργαζόμενοί τε καὶ ποιοῦντες ἄκοντες, ἄλλοτι οὗτοι, εἰ μὴ ἐδύναντο ταῦτα ποιεῖν, οὐκ ἄν ποτε ἐποίουν;

---

§. 36. Ἀλλὰ τί οἴει; vid. ad §. 17. In verbis seqq. φοβοῦμαι τί ποτ' αὖ λέγομεν Stephano, corrigenti λέγωμεν, fraudi fuit Latini sermonis ratio, cui dispar in hoc genere est usus Graecorum. De legg. II. p. 652. b. Ἀναμνησθῆναι — ἐπιθυμῶ, τί ποτε λέγομεν ἡμῖν εἶναι τὴν ὀρθὴν παιδείαν. Gorg. p. 455. a. Φέρε δὴ, ἴδωμεν τί ποτε καὶ λέγομεν περὶ τῆς ῥητορικῆς. Euthyphr. p. 7. a. φέρε δὴ, ἐπισκεψώμεθα, τί λέγομεν. ib. 10. d. Τί δὴ οὖν λέγομεν περὶ τοῦ ὁσίου; ἄλλοτι (sic scr. pro ἀλλ' ὅτι) φιλεῖται ὑπὸ τῶν θεῶν. de legg. III. p. 691. c. Τί οὖν δή ποτε λέγομεν; ἀρά γε τὸ τοιόνδε —. Et vid. infra ad §. 51. Contra in alio verbo de legg. I. p. 642. a. ὁρᾶτε οὖν τί ποιῶμεν est *videte, quid faciendum nobis sit* s. *quid facere velimus*.

37. ΙΠ. Δῆλον δή. ΣΩ. Ἀλλὰ μέντοι δυνάμει γε δύνανται οἱ δυνάμενοι· οὐ γάρ που ἀδυναμίᾳ γε.
c. ΙΠ. Οὐ δῆτα. ΣΩ. Δύνανται δέ γε πάντες ποιεῖν οἱ ποιοῦντες ἃ ποιοῦσι. ΙΠ. Ναί ΣΩ. Κακὰ δέ γε πολὺ πλείω ποιοῦσιν ἢ ἀγαθὰ πάντες ἄνθρωποι, ἀρξάμενοι ἐκ παίδων, καὶ ἐξαμαρτάνουσιν ἄκοντες. ΙΠ. Ἔστι ταῦτα. ΣΩ. Τί οὖν; ταύτην τὴν δύναμιν καὶ ταῦτα τὰ χρήσιμα, ἃ ἂν ᾖ ἐπὶ τὸ κακόν τι ἐργάζεσθαι χρήσιμα, ἆρα φήσομεν ταῦτα
d. εἶναι καλά; ἢ πολλοῦ δεῖ; ΙΠ. Πολλοῦ, ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. ΣΩ. Οὐκ ἄρα, ὦ Ἱππία, τὸ δυνατόν τε καὶ τὸ χρήσιμον ἡμῖν, ὡς ἔοικεν, ἐστὶ τὸ καλόν. ΙΠ. Ἐάν γε, ὦ Σώκρατες, ἀγαθὰ δύνηται καὶ ἐπὶ τοιαῦτα χρήσιμον ᾖ. ΣΩ. Ἐκεῖνο μὲν τοίνυν οἴχεται, τὸ δυνατόν τε καὶ χρήσιμον ἁπλῶς εἶναι καλόν. Ἀλλ᾽ ἆρα τοῦτ᾽ ἦν ἐκεῖνο, ὦ Ἱππία, ὃ ἐβούλετο ἡμῶν ἡ ψυχὴ εἰπεῖν, ὅτι τὸ χρή-

---

§. 37. *οὐ γάρ πω ἀδυναμίᾳ γε.* Melius utique *που* quam *πω*: sed Platonis locos, ubi ita *πω* pro *που* illatum reperitur, mutare omnia non ausim. Vid. Theaet. p. 200. d. Sophist. p. 243. e. Cratyl. p. 438. c. Phileb. p. 64. d. de legg. VII. p. 808. d. [Hi tamen loci medicinam suam partim hodie invenere, primus et ultimus invenient fortasse. Hic certe decem codicibus, in quibus optimi quique, morem merito gessit Be.]

37. *Ἐάν γε — ἀγαθὰ δύνηται. Si quidem bona praestet* seu *efficiat.* Phileb. p. 23. d. *Μῶν οὖν σοι καὶ πέμπτου προσδεήσει διάκρισίν τινος δυναμένου (γένους);* Sed pervagatus est hic significatus *τοῦ δύνασθαι*, diversus paullulum ab illo, quo itidem accusativo id iunctum sonat *spectare aliquo*, *velle*, de quo vid. Heusing. ad Plutarch. de puer. ed. IV, 18. *ὅτι τὸ χρήσιμόν τε καὶ τὸ δυνατὸν ἐπὶ τὸ ἀγαθ.* — Placebat olim

σιμόν τε καὶ τὸ δυνατὸν ἐπὶ τὸ ἀγαθόν τι ποιῆσαι, τοῦτ' ἐστὶ τὸ καλόν; ΙΠ. Ἔμοιγε δοκεῖ. ΣΩ. Ἀλ- e.
λὰ μὴν τοῦτό γε ὠφέλιμόν ἐστιν; ἢ οὔ; ΙΠ. Πάνυ
γε. ΣΩ. Οὕτω δὴ καὶ τὰ καλὰ σώματα καὶ τὰ κα- 38.
λὰ νόμιμα καὶ ἡ σοφία καὶ ἃ νῦν δὴ ἐλέγομεν πάντα
καλά ἐστιν, ὅτι ὠφέλιμα. ΙΠ. Δῆλον ὅτι. ΣΩ.
Τὸ ὠφέλιμον ἄρα ἔοικεν ἡμῖν εἶναι τὸ καλόν, ὦ Ἱπ-
πία. ΙΠ. Πάντως δήπου, ὦ Σώκρατες. ΣΩ. Ἀλ-
λὰ μὴν τόγε ὠφέλιμον τὸ ποιοῦν ἀγαθόν ἐστιν. ΙΠ.
Ἔστι γάρ. ΣΩ. Τὸ ποιοῦν δέ γ' ἐστὶν οὐκ ἄλλο τι
ἢ τὸ αἴτιον· ἦ γάρ; ΙΠ. Οὕτως. ΣΩ. Τοῦ ἀγα-
θοῦ ἄρα αἴτιόν ἐστι τὸ καλόν. ΙΠ. Ἔστι γάρ. ΣΩ.
Ἀλλὰ μὴν τόγε αἴτιον, ὦ Ἱππία, καὶ οὗ ἂν αἴτιον p. 297.
ἢ τὸ αἴτιον, ἄλλο ἐστίν. Οὐ γάρ που τόγε αἴτιον a.
αἰτίου αἴτιον ἂν εἴη. Ὧδε δὲ σκόπει. Οὐ τὸ αἴτιον
ποιοῦν ἐφάνη; ΙΠ. Πάνυ γε. ΣΩ. Οὐκοῦν ὑπὸ τοῦ
ποιοῦντος ποιεῖται οὐκ ἄλλο τι ἢ τὸ γιγνόμενον, ἀλλ'
οὐ τὸ ποιοῦν; ΙΠ. Ἔστι ταῦτα. ΣΩ. Οὐκοῦν ἄλλο
τι τὸ γιγνόμενον, ἄλλο δὲ τὸ ποιοῦν; ΙΠ. Ναί.
ΣΩ. Οὐκ ἄρα τόγ' αἴτιον αἴτιον αἰτίου ἐστὶν, ἀλλὰ
τοῦ γιγνομένου ὑφ' ἑαυτοῦ. ΙΠ. Πάνυ γε. ΣΩ.
Εἰ ἄρα τὸ καλόν ἐστιν αἴτιον ἀγαθοῦ, γίγνοιτ' ἂν b.
ὑπὸ τοῦ καλοῦ τὸ ἀγαθὸν, καὶ διὰ ταῦτα, ὡς ἔοικε,
σπουδάζομεν καὶ τὴν φρόνησιν καὶ τἆλλα πάντα τὰ
καλὰ, ὅτι τὸ ἔργον αὐτῶν καὶ τὸ ἔκγονον σπουδαστόν

---

transponi ὅτι τὸ δυνατὸν καὶ τὸ χρήσ. ἐπὶ —, sed ut h. l. δυνατὸν ἐπὶ τὸ ποιῆσαι dicitur, ita dictum supra §. 35. εἰς ὅπερ δυνατόν.

ἐστι, τὸ ἀγαθὸν, καὶ κινδυνεύει, ἐξ ὧν εὑρίσκομεν, πατρός τινος ἰδέα εἶναι τὸ καλὸν τοῦ ἀγαθοῦ ΙΠ.
39. Πάνυ μὲν οὖν· καλῶς γὰρ λέγεις, ὦ Σώκρατες. ΣΩ. Οὐκοῦν καὶ τόδε καλῶς λέγω, ὅτι οὔτε ὁ πατὴρ υἱός ἐστιν, οὔτε ὁ υἱὸς πατήρ; ΙΠ. Καλῶς μέντοι. ΣΩ.
c. Οὐδέ γε τὸ αἴτιον γιγνόμενόν ἐστιν, οὐδὲ τὸ γιγνόμενον αὖ αἴτιον. ΙΠ. Ἀληθῆ λέγεις. ΣΩ. Μὰ Δία, ὦ ἄριστε, οὐδὲ ἄρα τὸ καλὸν ἀγαθόν ἐστιν, οὐδὲ τὸ ἀγαθὸν καλόν· ἢ δοκεῖ σοι οἷόντε εἶναι, ἐκ τῶν προειρημένων; ΙΠ. Οὐ μὰ τὸν Δία, οὔ μοι φαίνεται. ΣΩ. Ἀρέσκει οὖν ἡμῖν, καὶ ἐθέλοιμεν ἂν λέγειν, ὡς τὸ καλὸν οὐκ ἀγαθὸν, οὐδὲ τὸ ἀγαθὸν καλόν; ΙΠ. Οὐ μὰ τὸν Δία, οὐ πάνυ μοι ἀρέσκει. ΣΩ. Ναὶ μὰ τὸν Δία, ὦ Ἱππία· ἐμοὶ δέ γε πάντων ἥκιστα ἀρέσκει ὧν εἰρήκαμεν λόγων. ΙΠ. Ἔοικε
d. γὰρ οὕτως. ΣΩ. Κινδυνεύει ἄρα ἡμῖν, οὐχ ὥσπερ ἄρτι ἐφαίνετο κάλλιστος εἶναι τῶν λόγων, τὸ ὠφέλιμον καὶ τὸ χρήσιμόν τε καὶ τὸ δυνατὸν ἀγαθόν τι ποιεῖν καλὸν εἶναι, οὐχ οὕτως ἔχειν, ἀλλ', εἰ οἷόντ'

---

§. 39. Ἀρέσκει — [Sic Be. e longe plur. Vulgo Ἀρέσκοι.] Ναὶ μὰ τὸν Δία, ὦ Ἱππ. Haerebat aliquis in formula hac affirmandi, sine causa. Nam his verbis praegressum Hippiae responsum Socrates approbat. Mox vulgo distinctum *Κινδυνεύει ἄρα ἡμῖν, οὐχ, ὥσπερ ἄρτι ἐφαίνετο, κάλλιστος εἶναι τῶν λόγων, τὸ ὠφέλιμον — ποιεῖν, καλὸν εἶναι, οὐχ οὕτως ἔχειν*, ut *κάλλιστος εἶναι* penderet a praegresso *κινδυνεύει*, et illa *οὐχ οὕτως ἔχειν* addita essent abundanter. Sed graecus lector haud dubie *ἐφαίνετο* iungebat subsequentibus his *κάλλιστος εἶναι*. Porro hic Stephanus scribendum putabat *τὸ ὠφέλιμόν τε καὶ χρήσιμον καὶ*

ἐστὶν, ἐκείνων εἶναι γελοιότερος τῶν πρώτων, ἐν οἷς τήν τε παρθένον ᾠόμεθ' εἶναι τὸ καλὸν καὶ ἓν ἕκαστον τῶν ἔμπροσθεν λεχθέντων. ΙΙΙ. Ἔοικεν. ΣΩ. Καὶ ἐγὼ μέν γε οὐκέτι ἔχω, ὦ Ἱππία, ὅποι τράπωμαι, ἀλλ' ἀπορῶ· σὺ δὲ ἔχεις τι λέγειν; ΙΙΙ. Οὐκ ἔν γε τῷ παρόντι, ἀλλ', ὥσπερ ἄρτι ἔλεγον, σκεψάμενος εὖ οἶδ' ὅτι εὑρήσω. ΣΩ. Ἀλλ' ἐγώ μοι δοκῶ ὑπὸ ἐπιθυμίας τοῦ εἰδέναι οὐχ οἵόστε σε εἶναι περιμένειν μέλλοντα. Καὶ γὰρ οὖν δή τι καὶ οἶμαι ἄρτι εὐπορηκέναι. Ὅρα γὰρ, εἰ, ὃ ἂν χαίρειν ἡμᾶς ποιῇ, μήτι πάσας τὰς ἡδονὰς, ἀλλ' ὃ ἂν διὰ τῆς ἀκοῆς καὶ τῆς ὄψεως, τοῦτο φαῖμεν εἶναι καλὸν, πῶς τί ἄρ' ἂν ἀγωνιζοίμεθα; Οἵ τέ γέ που καλοὶ ἄνθρωποι, ὦ Ἱππία, καὶ τὰ ποικίλματα πάντα καὶ τὰ ζωγραφήματα καὶ τὰ πλάσματα τέρπει ἡμᾶς ὁρῶντας, ἃ ἂν καλὰ ᾖ, καὶ οἱ φθόγγοι οἱ καλοὶ καὶ ἡ μουσικὴ ξύμ- 40. e. p. 298. a.

τὸ δυνατὸν, quasi τὸ ὠφέλιμον et τὸ χρήσιμον eiusdem prorsus generis essent. Immo χρήσιμον aliquid esse poterat etiam ἐπὶ τὸ κακόν τι ἐργάζεσθαι; contra ὠφέλιμον erat τὸ χρήσιμον καὶ τὸ δυνατὸν ἐπὶ τὸ ἀγαθόν τι ποιῆσαι, §. 37.

§. 40. πῶς τί ἄρ' ἂν ἀγωνιζ. mutari iubebat Sydenhamus in πῶς γὰρ ἄν — vel πρὸς τί γὰρ ἂν —, duplici nimirum interrogandi particula, πῶς τί, offensus. Sed ita Ion. p. 530. a. πῶς τί ἠγωνίσω; Theaet. p. 208. e. πῶς τί τοῦτο; Conf. Sophist. p. 261. e. ubi vid. not. Politic. p. 297. c. Tim. p. 22. b. idque retineri fortasse debet in Xenoph. Mem. III, 13, 6. [Sed rectius ubique rescribetur πῶς τι, ut fecit Be. in loco Timaei.] Pro ἄρα autem quanquam et Ficinus γὰρ expressit: *nam quo pacto* etc. tamen illud non tentem. τὰ ποικίλματα, Xenophonti Mem. III, 8, 10. ποικιλίαι dicta, interpretatur ibi Schneiderus *de opere intestino, lacunaribus similibusque artificiis.*

πασα καὶ οἱ λόγοι καὶ αἱ μυθολογίαι ταυτὸν τοῦτο ἐργάζονται. Ὥστ', εἰ ἀποκριναίμεθα τῷ θρασεῖ ἐκείνῳ ἀνθρώπῳ, ὅτι Ὦ γενναῖε, τὸ καλόν ἐστι τὸ δι' ἀκοῆς τε καὶ ὄψεως ἡδύ, οὐκ ἄν, οἶει, αὐτὸν τοῦ θράσους ἐπίσχοιμεν; ΙΠ. Ἐμοὶ γοῦν δοκεῖ νῦν, ὦ
41. b. Σώκρατες, εὖ λέγεσθαι τὸ καλὸν ὅ ἐστι. ΣΩ. Τί δ'; ἆρα τὰ ἐπιτηδεύματα τὰ καλὰ καὶ τοὺς νόμους, ὦ Ἱππία, δι' ἀκοῆς ἢ δι' ὄψεως φήσομεν ἡδέα ὄντα καλὰ εἶναι, ἢ ἄλλο τι εἶδος ἔχειν; ΙΠ. Ταῦτα δ' ἴσως, ὦ Σώκρατες, κἂν παραλάθοι τὸν ἄνθρωπον. ΣΩ. Μὰ τὸν κύνα, ὦ Ἱππία, οὐχ ὅν γ' ἂν ἐγὼ μάλιστα αἰσχυνοίμην ληρῶν καὶ προσποιούμενός τι
c. λέγειν, μηδὲν λέγων. ΙΠ. Τίνα τοῦτον; ΣΩ. Σωκράτη τὸν Σωφρονίσκου, ὃς ἐμοὶ οὐδὲν ἂν μᾶλλον ταῦτα ἐπιτρέποι ἀνερεύνητα ὄντα ῥᾳδίως λέγειν ἢ ὡς εἰδότα ἃ μὴ οἶδα. ΙΠ. Ἀλλὰ μὴν ἔμοιγε καὶ αὐτῷ, ἐπειδὴ σὺ εἶπες, δοκεῖ τι ἄλλο εἶναι τοῦτο τὸ περὶ τοὺς νόμους. ΣΩ. Ἔχ' ἡσυχῇ, ὦ Ἱππία. Κινδυνεύομεν γάρ τοι, ἐν τῇ αὐτῇ ἐμπεπτωκότες

---

§. 41. *Τί δ'; ἆρα τὰ ἐπιτ.* Vulgo interpungitur *Τί δ' ἆρα; τὰ ἐπιτ.* Illa autem *Ταῦτα δ' ἴσως, ὦ Σώκρ., κἂν παραλάθοι τὸν ἄνθρωπον* miro errore Cornarius cum Ficino: *haec fortassis, etiamsi hominem lateant.* Κἂν h. l. est *καὶ ἄν*, non *καὶ ἐὰν*, et sensus est hic: *haec fortasse hominem istum lateant, ut verendum nobis non sit, ne hac eius ὑποφορᾷ illam quoque pulchri definitionem mittere cogamur.* Quae sententia mire decet Hippiam, vanissimum hominem, verique parum curiosum. Mox de dictione *ῥᾳδίως λέγειν* vid. ad Charmid. 44.

41. *Κινδυνεύομεν γάρ τοι — εὐπορίᾳ εἶναι.* Cornar. *videmur enim in eandem ambiguitatem de pulchro illapsi, in*

ἀπορίᾳ περὶ τοῦ καλοῦ, ἐν ᾗπερ νῦν δή, οἴεσθαι ἐν ἄλλῃ τινὶ εὐπορίᾳ εἶναι. ΙΙΙ. Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες; ΣΩ. Ἐγώ σοι φράσω ὅ γέ μοι καταφαίνεται, εἰ ἄρα τι λέγω. Ταῦτα μὲν γὰρ τὰ περὶ d.
τοὺς νόμους τε καὶ τὰ ἐπιτηδεύματα τάχ' ἂν φανείη οὐκ ἐκτὸς ὄντα τῆς αἰσθήσεως, ἣ διὰ τῆς ἀκοῆς τε καὶ ὄψεως ἡμῖν οὖσα τυγχάνει· ἀλλ' ὑπομείνωμεν τοῦτον τὸν λόγον, τὸ διὰ τούτων ἡδὺ καλὸν εἶναι, μηδὲν τὸ τῶν νόμων εἰς μέσον παράγοντες. Ἀλλ' 42.
εἰ ἡμᾶς ἔροιτο εἴτε οὗτος ὢν λέγω εἴτε ἄλλος ὁστισοῦν, Τί δή, ὦ Ἱππία τε καὶ Σώκρατες, ἀφορίσατε τοῦ ἡδέος τὸ ταύτῃ ἡδὺ ᾗ λέγετε καλὸν εἶναι, τὸ δὲ κατὰ τὰς ἄλλας αἰσθήσεις σίτων τε καὶ ποτῶν

---

qua modo eramus, et tamen putare, abunde nobis, quod dicamus, adesse. In quibus ἄλλῃ illud non expressit. Mihi olim εὐπορίᾳ inculcatum a glossatore videbatur; nunc integra omnia esse praestem, modo haec ἐν ἄλλῃ τινὶ εὐπορίᾳ referantur ad illa superiora §. 40. καὶ γὰρ οὖν δή τι καὶ οἶμαι ἄρτι εὐπορηκέναι. Ἐν ἄλλῃ τινὶ est *rursus in alia.* Quamcunque enim ante pulchri finitionem tentaverat cum Hippia Socrates, eam initio avide amplexus erat sophista, in εὐπορίαν se devenisse somnians.

41. ἀλλ' ὑπομείνωμεν τοῦτον τὸν λόγον. Phaedo p. 95. b. πάνυ μοι οὖν ἀτόπως ἐδοξεν εὐθὺς τὴν πρώτην ἔφοδον οὐ δέξασθαι τοῦ σοῦ λόγου. Phileb. p. 41. b. προσιστώμεθα δή, καθάπερ ἀθληταὶ, πρὸς τοῦτον αὖ τὸν λόγον. Contrarium est ibid. p. 43. a. ἀλλὰ γὰρ ὑπεκστῆναι τὸν λόγον ἐπιφερόμενον τοῦτον βούλομαι.

§. 42. Τί δή, ὦ Ἱππία — *Cur igitur, Hippia et Socrates, ab omni omnino iucundo illud separastis iucundum, quod hactenus est iucundum, quatenus pulchrum esse dicitis, ceterorum autem sensuum voluptatibus pulchri nomen abiudicatis?* τὸ ταύτῃ ἡδὺ ᾗ λέγετε i. e. τὸ μέρος τοῦ ἡδέος, τὸ ἐπὶ

καὶ τῶν περὶ τἀφροδίσια καὶ τἆλλα πάντα τὰ τοι-
e. αῦτα οὔ φατε καλὰ εἶναι; ἢ οὐδὲ ἡδέα οὐδὲ ἡδονὰς
τοπαράπαν ἐν τοῖς τοιούτοις φατὲ εἶναι, οὐδ' ἐν ἄλ-
λῳ ἢ τῷ ἰδεῖν τε καὶ ἀκοῦσαι; τί φήσομεν, ὦ Ἱπ-
πία; ΙΠ. Πάντως δήπου φήσομεν, ὦ Σώκρατες,
καὶ ἐν τοῖς ἄλλοις μεγάλας πάνυ ἡδονὰς εἶναι. ΣΩ.
Τί οὖν, φήσει, ἡδονὰς οὔσας οὐδὲν ἧττον ἢ καὶ ἐκεί-
p. 299. a. νας ἀφαιρεῖσθε τοῦτο τοὔνομα καὶ ἀποστερεῖτε τοῦ
καλὰς εἶναι; Ὅτι, φήσομεν, καταγελῷ ἂν ἡμῶν
οὐδεὶς ὅστις οὔ, εἰ φαῖμεν μὴ ἡδὺ εἶναι φαγεῖν, ἀλ-
43. λὰ καλόν, καὶ ὄζειν ἡδὺ μὴ ἡδύ, ἀλλὰ καλόν. Τὰ
δέ που περὶ τὰ ἀφροδίσια πάντες ἂν ἡμῖν μάχοιντο
ὡς ἥδιστον ὄν, δεῖ δὲ αὐτό, ἐάν τις καὶ πράττῃ, οὕ-
τω πράττειν ὥστε μηδένα ὁρᾶν, ὡς αἴσχιστον ὂν

τῇ ὄψει τε καὶ ἀκοῇ γιγνόμενον §. 43. Non video, cur Stephanus illa *Τί δῆ* seiungi voluerit a verbo *ἀφωρίσατε*, quum eadem mox eodem modo iteretur interrogatio *Τί οὖν, φήσει, ἡδονὰς* etc. — *Σίτων* autem ceterique hi genitivi pendent a verbo *αἰσθήσεις*, male in edd. a seqq. distincto.

42. *Τί οὖν, φήσει* — Vulgo haec interpunguntur perperam: *Τί οὖν; φήσει, ἡδονὰς οὔσας οὐδὲν ἧττον; ἢ καὶ ἐκείνας* —. Sensus est: *cur igitur, inquiet, has voluptates, quum tamen eae non minus sint voluptates quam illae (αἱ δι' ὄψεως καὶ ἀκοῆς), nomine hoc pulchri defraudatis? — οὐδεὶς ὅστις οὔ.* Priscian. XVIII. p. 1196. ed. Putsch. *οὐδὲ εἷς ὅστις οὔ.* [Sed in hac formula *οὐδεὶς ὅστις οὐ* diremptio illa (de qua v. Tho. M. p. 661.) locum non habet.] In proximis vereor ne post haec, *εἰ φαῖμεν μὴ ἡδὺ εἶναι φαγεῖν*, textu exciderit *ἡδύ*.

§. 43. *Τὰ δέ που περὶ τὰ ἀφροδ.* — *ὄν.* Nonne *ὄντα* pro *ὄν*, vel *τὸ δὲ* pro illo *τὰ δέ*? Sed nihil muto. De rep. I. p. 336. a. *ἐπειδὴ δὲ οὐδὲ τοῦτο ἐφάνη ἡ δικαιοσύνη οὖν, οὐδὲ τὸ δίκαιον, τί ἂν ἄλλο τις αὐτὸ φαίη εἶναι;* Protag. p. 354. c. *Οὐκοῦν τὴν μὲν ἡδονὴν διώκετε ὡς ἀγαθὸν ὄν, τὴν δὲ λύπην φεύγετε ὡς*

ὁρᾶσθαι. Ταῦτα ἡμῶν λεγόντων, ὦ Ἱππία, Μανθάνω, ἂν ἴσως φαίη, καὶ ἐγὼ ὅτι πάλαι αἰσχύνεσθε ταύτας τὰς ἡδονὰς φάναι καλὰς εἶναι, ὅτι οὐ δοκεῖ τοῖς ἀνθρώποις. Ἀλλ' ἐγὼ οὐ τοῦτο ἠρώτων, ὃ δοκεῖ b. τοῖς πολλοῖς καλὸν εἶναι, ἀλλ' ὅ,τι ἐστίν. Ἐροῦμεν δή, οἶμαι, ὅπερ ὑπεθέμεθα, ὅτι Τοῦθ' ἡμεῖς γέ φαμεν τὸ μέρος τοῦ ἡδέος, τὸ ἐπὶ τῇ ὄψει τε καὶ ἀκοῇ γιγνόμενον, καλὸν εἶναι. Ἀλλὰ ἔχεις τι χρῆσθαι τῷ λόγῳ; Ἢ τί καὶ ἄλλο ἐροῦμεν, ὦ Ἱππία; ΙΙΙ. Ἀνάγκη, πρός γε τὰ εἰρημένα, ὦ Σώκρατες, μὴ ἄλλ' ἄττα ἢ ταῦτα λέγειν. ΣΩ. Καλῶς δὴ λέγετε, φήσει. Οὐκοῦν, εἴπερ τὸ δι' ὄψεως καὶ ἀκοῆς ἡδὺ καλόν ἐστιν, ὃ μὴ τοῦτο τυγχάνει ὂν τῶν ἡδέων c. δῆλον ὅτι οὐκ ἂν καλὸν εἴη. Ὁμολογήσομεν; ΙΙΙ. Ναί. ΣΩ. Ἢ οὖν τὸ δι' ὄψεως ἡδὺ, φήσει, δι'

κακόν; ubi nolim abiici ὄν. Ibid. p. 361. b. εἰ μὲν γὰρ ἄλλο τι ἦν ἡ ἐπιστήμη ἡ ἀρετὴ — σαφῶς οὐκ ἂν ἦν διδακτόν· νῦν δὲ εἰ φανήσεται ἐπιστήμη ὄν —, θαυμάσιον ἔσται μὴ διδακτὸν ὄν. Vicissim Protag. p. 359. d. ἐπειδὴ τὸ ἧττω εἶναι ἑαυτοῦ εὑρέθη ἀμαθία οὖσα. — Sed sequente illo δεῖ haud dubie melius est δεῖν.

43. Μανθάνω, ἂν ἴσως φαίη — Vulgo μανθάνω ἄν, ἴσως φ., soloece: neque offendere debet hic positus τοῦ ἄν. Phaedo p. 87. d. ἀλλὰ γὰρ ἂν φαίην ἑκάστην τῶν ψυχῶν πολλὰ σώματα κατατρίβειν. p. 101. e. σὺ δ' εἴπερ εἶ τῶν φιλοσόφων, οἶμαι, ἂν, ὡς ἐγὼ λέγω, ποιοῖς.

43. ὃ μὴ τοῦτο τυγχάνει ὂν — Inutilis ac ne graeca quidem Stephani est coniectura τούτῳ, ut intelligatur διὰ τούτου, δι' ὄψεως vel δι' ἀκοῆς. Si qua opus est mutatione, rescripserim τοιοῦτο: quanquam et τοῦτο commodum est: τῶν ἡδέων autem pendet ab illo ὃ, quod iucundarum rerum genus etc.

ὄψεως καὶ ἀκοῆς ἐστιν ἡδύ; ἢ τὸ δι' ἀκοῆς ἡδὺ δι'
44. ἀκοῆς καὶ ὄψεώς ἐστιν ἡδύ; Οὐδαμῶς φήσομεν τὸ
διὰ τοῦ ἑτέρου ὂν τοῦτο δι' ἀμφοτέρων εἴη ἄν· τοῦ-
το γὰρ δοκεῖς ἡμῖν λέγειν· ἀλλ' ἡμεῖς ἐλέγομεν ὅτι
καὶ ἑκάτερον τούτων αὐτὸ καθ' αὑτὸ τῶν ἡδέων κα-
λὸν εἴη, καὶ ἀμφότερα. Οὐχ οὕτως ἀποκρινούμε-
d. θα; ΠΡ. Πάνυ μὲν οὖν. ΣΩ. Ἆρ' οὖν, φήσει,
ἡδὺ ἡδέος ὁτιοῦν ὁτουοῦν διαφέρει τούτῳ τῷ ἡδὺ εἶ-
ναι; Μὴ γὰρ εἰ μείζων τὶς ἡδονὴ ἢ ἐλάττων ἢ μᾶλ-
λον ἢ ἧττόν ἐστιν, ἀλλ' εἴ τις αὐτῷ τούτῳ διαφέρει,
τῷ ἡ μὲν ἡδονὴ εἶναι, ἡ δὲ μὴ ἡδονὴ, τῶν ἡδονῶν.
Οὐχ ἡμῖν γε δοκεῖ. Οὐ γάρ; ΠΡ. Οὐ γὰρ οὖν δο-
κεῖ. ΣΩ. Οὐκοῦν, φήσει, δι' ἄλλο τι ἢ ὅτι ἡδο-
ναί εἰσι προείλεσθε ταύτας τὰς ἡδονὰς ἐκ τῶν ἄλλων
ἡδονῶν, τοιοῦτόν τι ὁρῶντες ἐπ' ἀμφοῖν, ὅτι ἔχουσί
e. τι διάφορον τῶν ἄλλων, εἰς ὃ ἀποβλέποντες καλάς

---

§. 44. *Οὐδαμῶς φήσομεν — δι' ἀμφοτέρων εἶναι.* Non placet subitus hic transitus ab obliqua oratione *οὐδαμῶς φήσομεν εἶναι* ad directam *τοῦτο γὰρ δοκεῖς*. Suspicor *εἴη ἄν* legendum pro *εἶναι*, ut §. 47. *οὐ καὶ ἑκάτερος ἡμῶν εἴη ἄν;* [Optimam emendationem, suffragantibus nunc codd. optimis, cum Be. admisimus. Mox *ἀποκρινούμεθα* loco soloeci *ἀποκρινώμεθα* cum Be. reposuimus auctoritate codicis prae aliis boni Angel. v.] *Μὴ γὰρ εἰ μείζων — non enim quaero an.* Geminum huic est illud *μὴ ὅτι, non dicam.* Illa *Οὐχ ἡμῖν γε δοκεῖ* etc. vertit Ficinus: *nobis quidem non videri dicemus. Hipp. Non videri plane.* Unde Stephanus coniectat legisse eum utroque loco *δοκεῖν* pro *δοκεῖ*, ut *φήσομεν* vel tale quid subaudiret, illud autem *οὐ γὰρ* non agnosceret. Sed Ficinum saepe vidimus non adeo fidum esse interpretem, ut in talibus quoque eius standum sit auctoritate. Hic post *δοκεῖ* facile subaudias *φήσομεν*. Paullo inferius ne quis pro *Οὐ γάρ πω* malit *Οὐ γάρ που*, suus hic

φατε αὐτὰς εἶναι. Οὐ γάρ πω διὰ τοῦτο καλή ἐστιν ἡδονὴ ἡ διὰ τῆς ὄψεως, ὅτι δι᾽ ὄψεώς ἐστιν. Εἰ γὰρ τοῦτο αὐτῇ ἦν τὸ αἴτιον καλῇ εἶναι, οὐκ ἄν ποτε ἦν ἡ ἑτέρα, ἡ διὰ τῆς ἀκοῆς, καλή· οὔκουν ἔστι γε δι᾽ ὄψεως ἡδονή. Ἀληθῆ λέγεις, φήσομεν. III. Φήσομεν γάρ. ΣΩ. Οὐδέ γ᾽ αὖ ἡ δι᾽ ἀκοῆς 45. ἡδονή, ὅτι δι᾽ ἀκοῆς ἐστι, διὰ ταῦτα τυγχάνει καλή. p. 300. a. Οὐ γὰρ ἄν ποτε αὖ ἡ διὰ τῆς ὄψεως καλὴ ἦν· οὔκουν ἔστι γε δι᾽ ἀκοῆς ἡδονή. Ἀληθῆ φήσομεν, ὦ Ἱππία, λέγειν τὸν ἄνδρα ταῦτα λέγοντα; III. Ἀληθῆ. ΣΩ. Ἀλλὰ μέντοι ἀμφότεραί γ᾽ εἰσὶ καλαί, ὡς φατέ. Φαμὲν γάρ; III. Φαμέν. ΣΩ. Ἔχουσιν ἄρα τι τὸ αὐτό, ὃ ποιεῖ αὐτὰς καλὰς εἶναι, τὸ κοινὸν τοῦτο, ὃ καὶ ἀμφοτέραις αὐταῖς ἔπεστι κοινῇ, καὶ ἑκατέρᾳ ἰδίᾳ. Οὐ γὰρ ἄν που ἄλλως ἀμφότεραί b. τε καλαὶ ἦσαν καὶ ἑκατέρα. Ἀποκρίνου ἐμοὶ ὡς ἐκείνῳ. III. Ἀποκρίνομαι, καὶ ἐμοὶ δοκεῖ ἔχειν,

---

locus est particulae πω: *nondum propterea pulchra est etc., sed aliud aliquid requiritur.*

44. οὔκουν ἔτι γε [sic vulgo] δι᾽ ὄψεως ἡδονή. Vitiosa haec esse liquet, mox §. seq. itidem repetita. Ac pro ἔτι in vet. libro legi utrobique ἐστὶ monet Stephanus, quod admitterem, si praeterea scriptum esset οὐ γάρ, non οὔκουν. Minus etiam placet Cornarii audacior mutatio οὐκ οὖσα ἔτι γε, probata Sydenhamo, nisi quod pro ἔτι γε mavult ἦγε, neque sane ἔτι ferri hic potest. Mihi utroque loco corrigendum videtur ὅτι pro ἔτι, ut pro more suo argumentum superius repetat Plato. [Nobis autem utroque loco reponendum fuit ἔστι, quoniam sic codd. ad unum omnes: οὔκουν — γε, *certe nequaquam*, idem est ac si negatio juncta esset voce γάρ. *Buttm.*]

§. 45. καὶ ἐμοὶ δοκεῖ ἔχειν ὡς λέγεις. In his ex Ald. et Bas. 1. [quibus acc. codd. tantum non omnes] recepi λέγεις pro

ὡς λέγεις. ΣΩ. Εἰ ἄρα τι αὗται αἱ ἡδοναὶ ἀμφότεραι πεπόνθασιν, ἑκατέρα δὲ μή, οὐκ ἂν τούτῳ γε τῷ παθήματι εἶεν καλαί. ΙΠ. Καὶ πῶς ἂν εἴη τοῦτο, ὦ Σώκρατες, μηδετέρας πεπονθυίας τι τῶν ὄντων ὁτιοῦν, ἔπειτα τοῦτο τὸ πάθος, ὃ μηδετέρα πέπονθεν, ἀμφοτέρας πεπονθέναι; ΣΩ. Οὐ δοκεῖ
c. σοι; ΙΠ. Πολλὴ γὰρ ἂν μ' ἔχοι ἀπειρία καὶ τῆς τούτων φύσεως, καὶ τῆς τῶν παρόντων λέξεως λόγων.
46. ΣΩ. Ἡδέως γε, ὦ Ἱππία. Ἀλλὰ γὰρ ἐγὼ ἴσως κινδυνεύω δοκεῖν μέν τι ὁρᾶν οὕτως ἔχον, ὡς σὺ φῂς ἀδύνατον εἶναι, ὁρῶ δ' οὐδέν. ΙΠ. Οὐ κινδυνεύεις, ὦ Σώκρατες, ἀλλὰ πάνυ ἑτοίμως παροράς. ΣΩ. Καὶ μὴν πολλά γέ μοι προφαίνεται τοιαῦτα πρὸ τῆς

λέγει; quod tuetur Steph. subaudiendo ὁ ἀνήρ. Altero opus est propter praegressa illa ἀποκρίνου ἐμοὶ ὡς ἐκείνῳ. Εἰ ἄρα τι αὗται — ἑκατέρα δὲ μή — Sydenhamus lacunam hic sibi visus deprehendere, post verba ἑκατέρα δὲ μὴ ex §. 50. restitui iubet ἢ ἑκατέρα μέν, ἀμφότεραι δὲ μή. Quod commentum satis convincitur ipsa, quae subiicitur, Hippiae responsione, quae non nisi ad ea spectat, quae leguntur in contextu.

§. 46. Ἡδέως γε, ὦ Ἱππ. „Stolide, Hippia" ita voc. ἡδέως explicat h. l. Ruhnken. ad Tim. Lex. p. 131. quo significatu ni subaudias λέγεις, quorsum hoc ἡδέως referatur, non video. Num repetendum ἀπειρία σε ἔχοι etc.? Nihili hoc. Neque vero commode hoc traxeris ad seqq. *stulte quidem, sed tamen fortasse videor* etc. Si vitii hic nihil delituerit, *approbandi* certe sensu illud ἡδέως γε accipiendum, non, quo accepit Ruhnkenius, *vituperandi* et *cavillandi*. Theaet. p. 161. c. Τὰ μὲν ἄλλα μοι πάνυ ἡδέως εἴρηκεν, ὡς τὸ δοκοῦν ἑκάστῳ τοῦτο καὶ ἔστι· τὴν δὲ ἀρχὴν τοῦ λόγου τεθαύμακα etc. Post Οὐ κινδυνεύεις subaudi οὐδὲν ὁρᾷν, illa autem πάνυ ἑτοίμως παροράς cum Cornario verte: *sed admodum aperte male vides.*

ψυχῆς, ἀλλὰ ἀπιστῶ αὐτοῖς, ὅτι σοὶ μὲν οὐ φαντά- d.
ζεται ἀνδρὶ πλεῖστον ἀργύριον εἰργασμένῳ τῶν νῦν
ἐπὶ σοφίᾳ, ἐμοὶ δὲ, ὃς οὐδὲν πώποτε εἰργασάμην.
Καὶ ἐνθυμοῦμαι, ὦ ἑταῖρε, μὴ παίζῃς πρός με
καὶ ἑκὼν ἐξαπατᾷς· οὕτω μοι σφόδρα καὶ πολλὰ κα-
ταφαίνεται. ΙΠ. Οὐδεὶς σοῦ, ὦ Σώκρατες, κάλ-
λιον εἴσεται εἴτε παίζω εἴτε μὴ, ἐὰν ἐπιχειρήσῃς λέ-
γειν τὰ προφαινόμενά σοι ταῦτα. Φανήσει γὰρ οὐ-
δὲν λέγων. Οὐ γὰρ μήποτε εὕρῃς, ὃ μήτ' ἐγὼ πέ-
πονθα μήτε σὺ, τοῦτ' ἀμφοτέρους ἡμᾶς πεπονθότας.
ΣΩ. Πῶς λέγεις, ὦ Ἱππία; Ἴσως μέντοι τι λέγεις, e.
ἐγὼ δ' οὐ μανθάνω. Ἀλλά μου σαφέστερον ἄκου-
σον ὃ βούλομαι λέγειν. Ἐμοὶ γὰρ φαίνεται, ὃ μήτ' 47.
ἐγὼ πέπονθα εἶναι μήτ' εἰμὶ μηδ' αὖ σὺ εἶ, τοῦτο
ἀμφοτέρους πεπονθέναι ἡμᾶς οἰόντ' εἶναι· ἕτερα δ'
αὖ, ἃ ἀμφότεροι πεπόνθαμεν εἶναι, ταῦτα οὐδέτε-
ρον εἶναι ἡμῶν. ΙΠ. Τέρατα αὖ ἀποκρινομένῳ
ἔοικας, ὦ Σώκρατες, ἔτι μείζω ἢ ὀλίγον πρότερον

---

§. 47. Ἐμοὶ γὰρ φαίνεται — Hic si sincera est lectio, quomodo *ταυτολογίας* molestae crimen scriptor effugiat, plane non video. Nam qui hoc dixit: *fieri potest, ut quod neque ego sim neque tu, id simus uterque*, is haud dubie hoc quoque dixit: *fieri potest, ut, quod uterque simus, id neuter sit nostrum;* ut opponi certe inter se commode nequeant haec ὃ μήτ' ἐγὼ πέπονθα εἶναι — οἰόντ' εἶναι, et illa ἕτερα δ' αὖ — εἶναι ἡμῶν. Quapropter mihi quidem videtur aut corruptam scripturam aut ipsum Platonem bene correxisse Sydenhamus legendo: ἕτερα δ' αὖ, ἃ μὴ ἀμφότεροι — ταῦτα ἑκάτερον εἶναι ἡμῶν. Cui suspicioni pondus aliquod accedet ex seqq. Sed idem quod mox legendum ait Τέρατα νῦν pro αὖ, in hoc illa statim post illata, ὀλίγον πρότερον, parum respexit.

ἀπεκρίνω. Σκόπει γάρ· πότερον, εἰ ἀμφότεροι δίκαιοι ἐσμεν, οὐ καὶ ἑκάτερος ἡμῶν εἴη ἄν, ἢ εἰ
p. 301. a. ἄδικος ἑκάτερος, οὐ καὶ ἀμφότεροι αὖ; ἢ εἰ ὑγιαίνοντες, οὐ καὶ ἑκάτερος, ἢ εἰ κεκμηκώς τι ἢ τετρωμένος ἢ πεπληγμένος ἢ ἄλλ' ὁτιοῦν πεπονθὼς ἑκάτερος ἡμῶν εἴη, οὐ καὶ ἀμφότεροι αὖ ἂν τοῦτο πεπόνθοιμεν; ἔτι τοίνυν εἰ χρυσοῖ ἢ ἀργυροῖ ἢ ἐλεφάντινοι, εἰ δὲ βούλει, γενναῖοι ἢ σοφοὶ ἢ τίμιοι, ἢ γέροντές γε ἢ νέοι ἢ ἄλλο ὅ,τι βούλει τῶν ἐν ἀνθρώποις ἀμφότεροι τύχοιμεν ὄντες, ἆρ' οὐ μεγάλη ἀνάγκη καὶ ἑκάτερον ἡμῶν τοῦτο εἶναι; ΣΩ. Πάντως γε δήπου. ΙΠ.
48. b. Ἀλλὰ γὰρ δὴ σὺ, ὦ Σώκρατες, τὰ μὲν ὅλα τῶν πραγμάτων οὐ σκοπεῖς, οὐδ' ἐκεῖνοι, οἷς σὺ εἴωθας διαλέγεσθαι, κρούετε δὲ ἀπολαμβάνοντες τὸ καλὸν καὶ ἕκαστον τῶν ὄντων ἐν τοῖς λόγοις κατατέμνοντες. Διὰ ταῦτα οὕτω μεγάλα ὑμᾶς λανθάνει καὶ διανεκῆ σώματα τῆς οὐσίας πεφυκότα. Καὶ νῦν τοσοῦτόν

---

47. ἢ γέροντές γε ἢ νέοι. Vocula γε post γέροντες, quae olim nata videbatur ex praegressi verbi initio, solet ita in plurium rerum enumeratione inferri. Theaet. p. 156. b. ὄψεις τε καὶ ἀκοαὶ καὶ ὀσφρήσεις καὶ ψύξεις τε καὶ καύσεις καὶ ἡδοναί γε δὴ καὶ λύπαι etc. Gorg. p. 450. d. οἷον ἡ ἀριθμητικὴ καὶ ἡ πεττευτική γε καὶ ἄλλαι πολλαὶ τέχναι. — τῶν ἐν ἀνθρ. i. e. τῶν ἀνθρωπίνων: v. Zeun. ad Xenoph. Cyrop. II, 2, 17.

§. 48. κρούετε δέ —. Conf. §. 55. init. Κρούειν autem eodem prorsus modo h. l. adhibitum, quo καταγνύναι et κερματίζειν τὴν ἀρετὴν dixit Menon. p. 79. a. διηνεκῆ, Schol. Plat. p. 135. διανεκῆ, διαπαντός· οὕτω καὶ Διογενιανός. Atque διανεκεῖ λόγῳ e proximis §. 49. excitat Moeris, ubi vid. Sallier.; quam formam Platoni restituendam arbitror. [Restituimus itaque, Be. praeeunte et utroque loco addicentibus nunc codd.]

σε λέληθεν, ὥστε οἴει εἶναί τι ἢ πάθος ἢ οὐσίαν, ἢ περὶ μὲν ἀμφότερα ταῦτά ἐστιν ἅμα, περὶ δὲ ἑκάτερον οὔ, ἢ αὖ περὶ μὲν ἑκάτερον, περὶ δὲ ἀμφό- c.
τερα οὔ. Οὕτως ἀλογίστως καὶ ἀσκέπτως καὶ εὐήθως καὶ ἀδιανοήτως διάκεισθε. ΣΩ. Τοιαῦτα, ὦ Ἱππία, τὰ ἡμέτερά ἐστιν, οὐχ οἷα βούλεταί τις, φασὶν ἄνθρωποι ἑκάστοτε παροιμιαζόμενοι, ἀλλ' οἷα δύναται. Ἀλλὰ σὺ ἡμᾶς ὀνίνης ἀεὶ νουθετῶν. Ἐπεὶ καὶ νῦν, πρὶν ὑπὸ σοῦ ταῦτα νουθετηθῆναι, ὡς εὐήθως διεκείμεθα, ἔτι σοι μᾶλλον ἐγὼ ἐπιδείξω, εἰπὼν ἃ διενοούμεθα περὶ αὐτῶν, ἢ μὴ εἴπω; ΙΠ. Εἰ- d.
δότι μὲν ἐρεῖς, ὦ Σώκρατες· οἶδα γὰρ ἑκάστους τῶν περὶ τοὺς λόγους ὡς διάκεινται· ὅμως δ' εἴ τί σοι ἥδιον λέγε. ΣΩ. Ἀλλὰ μὴν ἥδιόν γε. Ἡμεῖς γὰρ, ὦ βέλτιστε, οὕτως ἀβέλτεροι ἦμεν, πρὶν σὲ ταῦτ' εἰπεῖν, ὥστε δόξαν εἴχομεν περὶ ἐμοῦ τε καὶ σοῦ, ὡς ἑκάτερος ἡμῶν εἷς ἐστι, τοῦτο δὲ ὃ ἑκάτε- ρος ἡμῶν εἴη οὐκ ἄρα εἴημεν ἀμφότεροι· οὐ γὰρ εἷς

---

48. ἢ περὶ μὲν ἀμφότερα ταῦτά ἐστιν ἅμα — Hoc ταῦτα quorsum spectet, non liquet. Ficin.: *ambo quaedam*, ut legisse videatur ἀμφότερ' ἄττα. Fortasse verum est ἀμφότερα τοιαῦτα, ut Hippias respiciat illa quae paullo ante protulit ipse exempla §. 47. πότερον, εἰ ἀμφότεροι δίκαιοί ἐσμεν, οὐ καὶ ἑκάτερος κ. τ. λ. Τοιαῦτα, ὦ Ἱππία — Ipsum proverbium hoc Suidas ita profert: Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα· ἐπὶ τῶν μὴ κατὰ προαίρεσιν ζώντων. Κέχρηται Πλάτων ἐν Ἱππίᾳ. Conf. Schol. Plat. p. 135. ἃ διενοούμεθα. [Sic Hdf. pro vulg. ἃ διανοούμεθα, non monito lectore, verum cogente sermonis ratione. Enotavit Be. hanc nostram scripturam e cod. uno sed praestante Angel. v.]

49. ἐσμεν, ἀλλὰ δύο· οὕτως εὐηθικῶς εἴχομεν. Νῦν δὲ παρὰ σοῦ ἤδη ἀνεδιδάχθημεν, ὅτι, εἰ μὲν δύο ἀμφό-
e. τεροί ἐσμεν, δύο καὶ ἑκάτερον ἡμῶν ἀνάγκη εἶναι· εἰ δὲ εἷς ἑκάτερος, ἕνα καὶ ἀμφοτέρους ἀνάγκη· οὐ γὰρ οἵόντε διανεκεῖ λόγῳ τῆς οὐσίας κατὰ Ἱππίαν ἄλλως ἔχειν, ἀλλ', ὃ ἂν ἀμφότερα ᾖ, τοῦτο καὶ ἑκάτερον, καὶ ὃ ἑκάτερον, ἀμφότερα εἶναι. Πεπει-σμένος δὴ νῦν ἐγὼ ὑπὸ σοῦ ἐνθάδε κάθημαι. Πρό-τερον μέντοι, ὦ Ἱππία, ὑπόμνησόν με, πότερον εἷς ἐσμεν ἐγώ τε καὶ σὺ, ἢ σύ τε δύο κἀγὼ δύο. ΙΠ. Τί λέγεις, ὦ Σώκρατες; ΣΩ. Ταῦτα, ἅπερ λέγω. Φοβοῦμαι γάρ σε σαφῶς λέγειν, ὅτι μοι χαλεπαίνεις,
p. 302. a. ἐπειδάν τι δόξῃς σαυτῷ λέγειν. Ὅμως δ' ἔτι μοι εἰπέ, οὐχ εἷς ἡμῶν ἑκάτερός ἐστι καὶ πέπονθε τοῦτο, εἷς εἶναι; ΙΠ. Πάνυ γε. ΣΩ. Οὐκοῦν, εἴπερ εἷς, καὶ περιττὸς ἂν εἴη ἑκάτερος ἡμῶν· ἢ οὐ τὸ ἓν περιτ-τὸν ἡγεῖ; ΙΠ. Ἔγωγε. ΣΩ. Ἦ καὶ ἀμφότεροι οὖν περιττοί ἐσμεν, δύο ὄντες; ΙΠ. Οὐκ ἂν εἴη, ὦ Σώκρατες. ΣΩ. Ἀλλ' ἄρτιοι γε ἀμφότεροι· ἦ γάρ; ΙΠ. Πάνυ γε. ΣΩ. Μῶν οὖν, ὅτι ἀμφότεροι ἄρ-τιοι, τούτου ἕνεκεν καὶ ἑκάτερος ἄρτιος ἡμῶν ἐστιν; ΙΠ. Οὐ δῆτα. ΣΩ. Οὐκ ἄρα πᾶσα ἀνάγκη, ὡς

---

§. 49. *Νῦν δὲ παρὰ σοῦ ἀνεδιδάχθημεν* — *Ἀναδιδάσκεσθαι* significare, sic *priora dedoceri*, vel *dedocendum se praebere, ut quis alia discat istis contraria*, docuit Valcken. ad Herodot. VIII, 63. Paullo post verba *ἀλλ' ὃ ἂν ἀμφότερα ᾖ — ἀμφότερα εἶναι* trahuntur fortasse rectius ad sequens *πεπεισμένος*.

49. *Φοβοῦμαι γάρ σε* — [Haerebat in hoc loco Heindorfius et in eo tandem acquiescebat ut *σέ* abiiciendum putaret,

νῦν δὴ ἔλεγες, ἃ ἂν ἀμφότεροι, καὶ ἑκάτερον, καὶ b.
ἃ ἂν ἑκάτερος, καὶ ἀμφοτέρους εἶναι. III. Οὐ τάγε
τοιαῦτα, ἀλλ' οἷα ἐγὼ πρότερον ἔλεγον. ΣΩ. Ἐξαρ- 50.
κεῖ, ὦ Ἱππία. Ἀγαπητὰ γὰρ καὶ ταῦτα, ἐπειδὴ τὰ
μὲν οὕτω φαίνεται, τὰ δ' οὐχ οὕτως ἔχοντα. Καὶ
γὰρ ἐγὼ ἔλεγον, εἰ μέμνησαι, ὅθεν οὗτος ὁ λόγος
ἐλέχθη, ὅτι ἡ διὰ τῆς ὄψεως καὶ δι' ἀκοῆς ἡδονὴ οὐ
τούτῳ εἶεν καλαὶ, ὅτι τυγχάνοιεν ἑκάτερα μὲν αὐ-
τῶν εἶναι πεπονθυῖα, ἀμφότεραι δὲ μὴ, ἢ ἀμφότε-
ραι μὲν, ἑκάτερα δὲ μὴ, ἀλλ' ἐκείνῳ ᾧ ἀμφότεραί τε c.
καὶ ἑκάτερα· διότι συνεχώρεις ἀμφοτέρας τε αὐτὰς εἶ-
ναι καλὰς καὶ ἑκατέραν. Τούτου δὴ ἕνεκα τῇ οὐσίᾳ
τῇ ἐπ' ἀμφότερα ἑπομένῃ, ᾤμην, εἴπερ ἀμφότερά ἐστι
καλὰ, ταύτῃ δεῖν αὐτὰ καλὰ εἶναι, τῇ δὲ κατὰ τὰ
ἕτερα ἀπολειπομένῃ μὴ, καὶ ἔτι νῦν οἴομαι. Ἀλλά
μοι λέγε, ὥσπερ ἐξ ἀρχῆς· ἡ δι' ὄψεως ἡδονὴ καὶ ἡ
δι' ἀκοῆς εἴπερ ἀμφότεραί τ' εἰσὶ καλαὶ καὶ ἑκατέ-
ρα, ἆρα ὃ ποιεῖ αὐτὰς καλὰς, οὐχὶ καὶ ἀμφοτέραις d.
γε αὐταῖς ἔπεται καὶ ἑκατέρᾳ; III. Πάνυ γε. ΣΩ.
Ἆρ' οὖν, ὅτι ἡδονὴ ἑκατέρα τ' ἐστὶ καὶ ἀμφότεραι,
διὰ τοῦτο ἂν εἶεν καλαὶ, ἢ διὰ τοῦτο μὲν καὶ αἱ ἄλ-
λαι πᾶσαι ἂν οὐδὲν τούτων ἧττον εἶεν καλαί; Οὐδὲν

---

pro σαυτῷ autem rescribendum αὐτός vel σὺ αὐτός. Mihi idem sensus librorum omnium scripturae inesse videtur. Infinitivus enim etiam a pleniori dictione φοβοῦμαί σε recte, opinor, pendet: *reverentia tui facit quo minus aperte loquar*: illa autem ἐπειδάν τι δόξῃς σαυτῷ λέγειν nihil indigent nominativo αὐτός: *quoniam mihi* (aliter sentienti) *succensere soles quoties tibi ipsi* (vel *ipse*) *recte sentire videris. Buttm.*] Post πέπονθε τοῦτο excidisse videtur art. τό.

γὰρ ἧττον ἡδοναὶ ἐφάνησαν οὖσαι, εἰ μέμνησαι. ΙΠ.
51. Μέμνημαι. ΣΩ. Ἀλλ' ὅτι γε δι' ὄψεως καὶ ἀκοῆς αὗταί εἰσι, διὰ τοῦτο ἐλέγετο καλὰς αὐτὰς εἶναι. ΙΠ. Καὶ ἐρρήθη οὕτω. ΣΩ. Σκόπει δὲ εἰ ἀληθῆ
e. λέγω. Ἐλέγετο γὰρ, ὡς ἐγὼ μνήμης ἔχω, τοῦτ' εἶναι καλὸν τὸ ἡδύ, οὐ πᾶν, ἀλλ' ὃ ἂν δι' ὄψεως καὶ ἀκοῆς ᾖ. ΙΠ. Ἀληθῆ. ΣΩ. Οὐκοῦν τοῦτό γε τὸ πάθος ἀμφοτέραις μὲν ἕπεται, ἑκατέρᾳ δ' οὔ; Οὐ γάρ που ἑκατέρόν γε αὐτῶν, ὅπερ ἐν τοῖς πρόσθεν ἐλέγετο, δι' ἀμφοτέρων ἐστὶν, ἀλλ' ἀμφότερα μὲν δι' ἀμφοῖν, ἑκάτερον δ' οὔ. Ἔστι ταῦτα; ΙΠ. Ἔστιν. ΣΩ. Οὐκ ἄρα τούτῳ γε ἑκάτερον αὐτῶν ἐστι καλὸν, ὃ μὴ ἕπεται ἑκατέρῳ. Τὸ γὰρ ἀμφότερον ἑκατέρῳ οὐχ ἕπεται. Ὥστε ἀμφότερα μὲν αὐτὰ φάναι καλὰ κατὰ τὴν ὑπόθεσιν ἔξεστιν, ἑκάτερον δὲ οὐκ ἔξεστιν. Ἢ πῶς λέγομεν; Οὐκ ἀνάγκη; ΙΠ.
p. 303. a. Φαίνεται. ΣΩ. Φῶμεν οὖν ἀμφότερα μὲν καλὰ εἶναι, ἑκάτερον δὲ μὴ φῶμεν; ΙΠ. Τί γὰρ κωλύει;
52. ΣΩ. Τόδε ἔμοιγε δοκεῖ, ὦ φίλε, κωλύειν, ὅτι ἦν που

---

§. 51. *Οὐκοῦν τοῦτό γε τὸ πάθος* — int. *τὸ δι' ὄψεως καὶ ἀκοῆς ἡδὺ εἶναι. Οὐ γάρ που ἑκάτερ.* i. e. *οὐ γάρ που τὸ δι' ὄψεως ἡδὺ δι' ἀμφοτέρων, δι' ὄψεως καὶ ἀκοῆς, ἐστὶν ἡδύ, οὐδὲ τὸ δι' ἀκοῆς ἡδύ, δι' ἀκοῆς καὶ ὄψεώς ἐστιν ἡδύ.* Conf. §. 43., quo spectant haec *ὅπερ ἐν τοῖς πρόσθεν ἐλέγετο Ἢ πῶς λέγομεν;* Corrigebat aliquis *λέγωμεν*, male. Euthyphr. p. 10. d. *Τί δὴ οὖν λέγομεν περὶ τοῦ ὁσίου;* Scilicet *πῶς λέγομεν* est *quid putamus?* (wie meinen wir?); *πῶς* vel potius *τί λέγωμεν* esset *quomodo dicamus? quid dicturi sumus?* Vid. supra ad §. 36.

§. 52. *Τόδε ἔμοιγε — ὅτι ἦν που ἡμῖν τὰ μὲν* — Huic *τὰ μὲν* opponitur in seqq. *ἃ δέ γε*, et *οὕτως* illud explicatur

ἡμῖν τὰ μὲν οὕτως ἐπιγιγνόμενα ἑκάστοις, εἴπερ ἀμφοτέροις ἐπιγίγνοιτο, καὶ ἑκατέρῳ, καὶ εἴπερ ἑκατέρῳ, καὶ ἀμφοτέροις, ἅπαντα ὅσα σὺ διῆλθες· ἦ γάρ; ΙΠ. Ναί. ΣΩ. Ἃ δέ γε αὖ ἐγὼ διῆλθον, οὔ· ὧν δὴ ἦν καὶ αὐτὸ τὸ ἑκάτερον καὶ τὸ ἀμφότερον. Ἔστιν οὕτως; ΙΠ. Ἔστι. ΣΩ. Ποτέρων οὖν, ὦ Ἱππία, b. δοκεῖ σοι τὸ καλὸν εἶναι; πότερον ὧν σὺ ἔλεγες· εἴπερ ἐγὼ ἰσχυρὸς καὶ σὺ, καὶ ἀμφότεροι, καὶ εἴπερ ἐγὼ δίκαιος καὶ σὺ, καὶ ἀμφότεροι, καὶ εἴπερ ἀμφότεροι, καὶ ἑκάτερος· οὕτω δὴ καὶ εἴπερ ἐγὼ καλὸς καὶ σὺ, καὶ ἀμφότεροι, καὶ εἴπερ ἀμφότεροι, καὶ ἑκάτερος· ἢ οὐδὲν κωλύει, ὥσπερ ἀρτίων ὄντων τινῶν ἀμφοτέρων τάχα μὲν ἑκάτερα περιττὰ εἶναι, τάχα δ' ἄρτια, καὶ αὖ ἀῤῥήτων ἑκατέρων ὄντων τάχα μὲν ῥητὰ τὰ συναμφότερα εἶναι, τάχα δ' ἄῤῥητα, c. καὶ ἄλλα μυρία τοιαῦτα, ἃ δὴ καὶ ἐγὼ ἔφην ἐμοὶ

---

verbis seqq. εἴπερ ἀμφοτέροις etc. Mox verba ἅπαντα ὅσα σὺ διῆλθες epexegesin faciunt praegressi τὰ μέν. *Illud mihi quidem, amice, videtur obstare, quod alia rebus sic inesse videbantur, ut, si ambabus, utrique etiam rei inessent, ac si utrique, etiam ambabus, omnia quaecunque tu enarrabas; alia contra, quae ego enarrabam, non item.*

52. ἢ οὐδὲν κωλύει, ὥσπερ ἀρτίων — Plena oratio haec foret: ἢ οὐδὲν κωλύει, ὥσπερ ἀρτίων ὄντων τινῶν ἀμφοτέρων οὐδὲν κωλύει τάχα μὲν ἑκάτερα — — — τάχα δὲ ἄῤῥητα, οὕτω δὴ καὶ ἀμφοτέρους ἡμᾶς καλοὺς εἶναι, ἑκάτερον δὲ οὔ. ἑκάτερα περιττὰ εἶναι, ut numerus *septenarius* et *ternarius*, ἄρτια, ut *quaternarius* et *octonarius*. Ἄῤῥητα autem et ῥητὰ non sunt, quae vocant mathematici *incommensurabilia* et *commensurabilia*, ut accepit Sydenh., sed potius *irrationalia* et *rationalia*. Illa enim Graecis dicuntur σύμμετρα et ἀσύμμετρα: vid. Euclid. Elem. X. Def. 1. 2., a quibus ibi distinguantur γραμ-

53. προφαίνεσθαι; Ποτέρων δὴ τίθης τὸ καλόν; Ἢ ὥσπερ ἐμοὶ περὶ αὐτοῦ καταφαίνεται, καὶ σοί; Πολλὴ γὰρ ἀλογία ἔμοιγε δοκεῖ εἶναι, ἀμφοτέρους μὲν ἡμᾶς εἶναι καλοὺς, ἑκάτερον δὲ μὴ, ἢ ἑκάτερον μὲν, ἀμφοτέρους δὲ μὴ, ἢ ἄλλο ὁτιοῦν τῶν τοιούτων. Οὕτως αἱρεῖ, ὥσπερ ἐγὼ, ἢ ἐκείνως; ΙΠ. Οὕτως ἔγωγε, ὦ Σώκρατες. ΣΩ. Εὖγε σὺ ποιῶν, ὦ Ἱπ-
d. πία, ἵνα καὶ ἀπαλλαγῶμεν πλείονος ζητήσεως. Εἰ γὰρ τούτων γ' ἐστὶ τὸ καλὸν, οὐκ ἂν ἔτι εἴη [τὸ διὰ ὄψεως καὶ ἀκοῆς ἡδὺ καλόν. Ἀμφότερα μὲν γὰρ ποιεῖ καλὰ τὸ διὰ ὄψεως καὶ ἀκοῆς, ἑκάτερον δ' οὔ. Τοῦτο δ' ἦν ἀδύνατον, ὡς ἐγώ τε καὶ σὺ δὴ ὁμολογοῦμεν, ὦ Ἱππία. ΙΠ. Ὁμολογοῦμεν γάρ. ΣΩ. Ἀδύνατον ἄρα, τὸ διὰ ὄψεως καὶ ἀκοῆς ἡδὺ καλὸν εἶναι, ἐπειδή γε καλὸν γιγνόμενον τῶν ἀδυνάτων τι παρέχεται. ΙΠ. Ἔστι ταῦτα. ΣΩ. Λέγετε δὴ
e. πάλιν, φήσει, ἐξ ἀρχῆς, ἐπειδὴ τούτου διημάρτετε· τί φατε εἶναι τοῦτο τὸ καλὸν τὸ ἐπ' ἀμφοτέραις ταῖς ἡδοναῖς, διὰ ὅ,τι ταύτας πρὸ τῶν ἄλλων τιμήσαντες

μαὶ ῥηταὶ, *rationales*, et ἄλογοι, *irrationales*. V. c. ἀῤῥήτα sunt ⏜3 et ⏜6; contra ῥητὸν est ⏜(3+6); ῥητὸν autem est ⏜4, itemque ⏜9; contra ἀῤῥητον ⏜(4+9). Apte autem his utitur exemplis Socrates apud Hippiam, hominem artem λογισμῶν profitentem: v. §. 12.

§. 53. Ἢ ὥσπερ ἐμοὶ — καταφαίνεται, καὶ σοί; sc. καταφαίνεται; Ion. p. 534. c. ἐπεὶ εἰ περὶ ἑνὸς τέχνῃ καλῶς ἠπίσταντο λέγειν, κἂν περὶ τῶν ἄλλων ἁπάντων.

53. ὡς ἐγώ τε — — ὁμολογοῦμεν —. Hic et statim post Stephanus malebat ὡμολογοῦμεν. Frustra. Consentiunt inter se adhuc in hac re: et sic saepius ἐκ τῶν ὁμολογουμένων. Vid. Crito p. 48. b. Sympos. p. 200. b., ubi male corrigas ὡμολογημένων.

καλὰς ὠνομάσατε. Ἀνάγκη δή μοι δοκεῖ εἶναι, ὦ 54.
Ἱππία, λέγειν, ὅτι ἀσινέσταται αὗται τῶν ἡδονῶν
εἰσι καὶ βέλτισται, καὶ ἀμφότεραι καὶ ἑκατέρα. Ἢ
σύ τι ἔχεις λέγειν ἄλλο, ᾧ διαφέρουσι τῶν ἄλλων;
ΙΠ. Οὐδαμῶς. Τῷ ὄντι γὰρ βέλτισταί εἰσι. ΣΩ.
Τοῦτ' ἄρα, φήσει, λέγετε δὴ τὸ καλὸν εἶναι, ἡδονὴν
ὠφέλιμον; Ἐοίκαμεν, φήσω ἔγωγε. Σὺ δέ; ΙΠ.
Καὶ ἐγώ. ΣΩ. Οὐκοῦν ὠφέλιμον, φήσει, τὸ ποι-
οῦν τἀγαθόν, τὸ δὲ ποιοῦν καὶ τὸ ποιούμενον ἕτε-
ρον νῦν δὴ ἐφάνη, καὶ εἰς τὸν πρότερον λόγον ἥκει
ὑμῖν ὁ λόγος. Οὔτε γὰρ τὸ ἀγαθὸν ἂν εἴη καλόν, p. 304.
οὔτε τὸ καλὸν ἀγαθὸν, εἴπερ ἄλλο αὐτῶν ἑκάτερόν a.
ἐστι. Παντός γε μᾶλλον φήσομεν, ὦ Ἱππία, ἂν
σωφρονῶμεν. Οὐ γάρ που θέμις τῷ ὀρθῶς λέγοντι
μὴ συγχωρεῖν. ΙΠ. Ἀλλὰ δή γ', ὦ Σώκρατες, τί 55.
οἴει ταῦτα εἶναι ξυνάπαντα; Κνίσματά τοί ἐστι καὶ
περιτμήματα τῶν λόγων, ὅπερ ἄρτι ἔλεγον, κατὰ
βραχὺ διῃρημένα. Ἀλλ' ἐκεῖνο καὶ καλὸν καὶ πολ-
λοῦ ἄξιον, οἶόντ' εἶναι, εὖ καὶ καλῶς λόγον κατα-
στησάμενον ἐν δικαστηρίῳ ἢ ἐν βουλευτηρίῳ, ἢ ἐπ' b.
ἄλλῃ τινὶ ἀρχῇ, πρὸς ἣν ἂν ὁ λόγος ᾖ, πείσαντα οἴ-
χεσθαι φέροντα οὐ τὰ σμικρότατα ἀλλὰ τὰ μέγιστα

---

§. 54. *Τοῦτ' ἄρα, φήσει, λέγετε — Hoc ergo, dicet, pulchrum esse dicitis, voluptatem utilem?* Nam *τοῦτο* pertinet ad *εἶναι*, praemissumque, ut saepius, seqq. *ἡδονὴν ὠφέλιμον*. Cf. ad §. 17. Vulgo male interpungitur *Τοῦτ' ἄρα φήσει. Λέγετε* etc., quam interpunctionem Cornarium in versione secutum miror.

§. 55. *Κνίσματά τοί ἐστι καὶ περιτμήματα* — Bene Cornar. *ramenta et praesegmina.* Paullo inferius in ver-

τῶν ἄθλων, σωτηρίαν αὑτοῦ τε καὶ τῶν αὑτοῦ χρημάτων καὶ φίλων. Τούτων οὖν χρὴ ἀντέχεσθαι, χαίρειν ἐάσαντα τὰς σμικρολογίας ταύτας, ἵνα μὴ δοκῇ λίαν ἀνόητος εἶναι λήρους καὶ φλυαρίας, ὥσπερ νῦν, μεταχειριζόμενος. ΣΩ. Ὦ Ἱππία φίλε, σὺ μὲν μακάριος εἶ, ὅτι τε οἶσθα ἃ χρὴ ἐπιτηδεύειν ἄνθρωπον, καὶ ἐπιτετήδευκας ἱκανῶς, ὡς φῄς· ἐμὲ
c. δὲ δαιμονία τις τύχη, ὡς ἔοικε, κατέχει, ὅστις πλανῶμαι μὲν καὶ ἀπορῶ ἀεί, ἐπιδεικνὺς δὲ τὴν ἐμαυτοῦ ἀπορίαν ὑμῖν τοῖς σοφοῖς λόγῳ αὖ ὑπὸ ὑμῶν
56. προπηλακίζομαι, ἐπειδὰν ἐπιδείξω. Λέγετε γάρ με, ἅπερ καὶ σὺ νῦν λέγεις, ὡς ἠλίθιά τε καὶ σμικρὰ καὶ οὐδενὸς ἄξια πραγματεύομαι. Ἐπειδὰν δὲ αὖ ἀναπεισθεὶς ὑπὸ ὑμῶν λέγω ἅπερ ὑμεῖς, ὡς πολὺ

---

bis *Τούτων οὖν χρὴ ἀντέχεσθαι* etc. Ald. et Bas. 1. 2. *δοκῇ* pro vulg. *δοκῇς*, illudque ferri posse ait Steph., si post *ἀντέχεσθαι* sequeretur *τινά*, quod durum sit subaudire. Neutiquam durum id foret, sed ex legitimo utriusque sermonis usu: *haec oportet amplecti mittentem minuta ista.* Verum hic ad *ἀντέχεσθαι* subaudiendum potius esse *σέ*, ideoque tenendum *δοκῇς*, arguunt satis seqq. illa *ὥσπερ νῦν*. [Vera haec utique videntur: ut si vel aliqua his saltem accederet auctoritas, servarem istud *δοκῇς*. Nunc cum in nullo hodie neque scriptorum neque impressorum inventum sit, solique, ut apparet, Stephani emendationi debeatur, cum Bekkero antiquam revocavi scripturam. Nimirum sedulo in illis *δοκῇ* et *ὥσπερ νῦν* personam nullam exprimit Hippias ut urbanitatis speciem aliquam prae se ferat. *Buttm.*] Deinde pro *ὅτι τε οἶσθα* accuratius legeremus *ὅτι οἶσθα τε*, quanquam hoc *τε* negligentius interdum locatur, nisi id h. l. omnino commodius absit.

§. 56. *Λέγετε γάρ με — dicitis enim de me.* Phaedo p. 94. d. *οὗ λέγει τὸν Ὀδυσσέα· Στῆθος δὲ πλήξας* etc. Conf. Hom. Iliad. ζ, 479. Sed hoc tironibus quoque notum.

κράτιστόν ἐστιν, οἰόντ' εἶναι λόγον εὖ καὶ καλῶς καταστησάμενον περαίνειν ἐν δικαστηρίῳ ἢ ἐν ἄλλῳ τινὶ συλλόγῳ, ὑπό τε ἄλλων τινῶν τῶν ἐνθάδε d. καὶ ὑπὸ τούτου τοῦ ἀνθρώπου τοῦ ἀεί με ἐλέγχοντος πάντα κακὰ ἀκούω. Καὶ γάρ μοι τυγχάνει ἐγγύτατα γένους ὢν καὶ ἐν τῷ αὐτῷ οἰκῶν. Ἐπειδὰν οὖν εἰσέλθω οἴκαδε εἰς ἐμαυτοῦ καί μου ἀκούσῃ ταῦτα λέγοντος, ἐρωτᾷ, εἰ οὐκ αἰσχύνομαι τολμῶν περὶ καλῶν ἐπιτηδευμάτων διαλέγεσθαι, οὕτω φανερῶς ἐξελεγχόμενος περὶ τοῦ καλοῦ, ὅτι οὐδ' αὐτὸ τοῦτο, ὅ,τι ποτ' ἐστὶν, οἶδα. Καίτοι πῶς σὺ εἴσει, φησὶν, ἢ λόγον ὅστις καλῶς κατεστήσατο ἢ μὴ, ἢ e. ἄλλην πρᾶξιν ἡντινοῦν, τὸ καλὸν ἀγνοῶν; καὶ ὁπότε οὕτω διάκεισαι, οἴει σοι κρεῖττον εἶναι ζῆν μᾶλλον ἢ τεθνάναι; Συμβέβηκε δή μοι, ὅπερ λέγω, κακῶς μὲν ὑπὸ ὑμῶν ἀκούειν καὶ ὀνειδίζεσθαι, κακῶς δὲ ὑπ' ἐκείνου. Ἀλλὰ γὰρ ἴσως ἀναγκαῖον ὑπομένειν

---

56. ἐγγύτατα γένους ὤν. Ita loquuntur Attici ὁ ἐγγύτατα s. ἐγγυτάτω γένους. V. Taylor ad Lysiam p. 27. ed. Reisk. In verbis περὶ καλῶν ἐπιτηδευμ. venustissima est cavillatio. Videlicet tangi et h. l. et paullo ante §. 55. illis ὦ Ἱππία φίλε, σὺ μὲν μακάρ., superiora illa, in quibus se iactaverat Sophista §. 13. περί γε ἐπιτηδευμάτων καλῶν καὶ ἐναγχος αὐτόθι εὐδοκίμησα διεξιὼν etc. οὐδ' αὐτὸ τοῦτο, ne hoc unum quidem.

56. ἢ λόγον ὅστις καλῶς κατεστήσατο. Cornar. quae oratio bene et pulchre composita sit. Male. Accus. λόγον pendet a verbo κατεστήσατο, ut ante §. 55. εὖ καὶ καλῶς λόγον καταστησάμενον ἐν δικαστηρίῳ etc., quae Hippiae verba h. l. respicit Socrates. Themist. Orat. IV. p. 102. ed. Petav. δοκεῖς οὖν μοι χρήσασθαι προοιμίῳ, ὥσπερ οἱ ῥήτορες ποιοῦσι καθιστάμενοι τὸν λόγον.

ταῦτα πάντα· οὐδὲν γὰρ ἄτοπον, εἰ ὠφελοίμην. Ἐγὼ οὖν μοι δοκῶ, ὦ Ἱππία, ὠφελεῖσθαι ἀπὸ τῆς ἀμφοτέρων ὑμῶν ὁμιλίας. Τὴν γὰρ παροιμίαν ὅτι ποτὲ λέγει, τὸ χαλεπὰ τὰ καλὰ, δοκῶ μοι εἰδέναι.

---

56. Ἐγὼ οὖν μοι δοκῶ — Scribendum fortasse Ἐγὼ γοῦν —. ὠφελεῖσθαι. [Be. ex aliquot codd. ὠφελῆσθαι.] — χαλεπὰ τὰ καλά. Soloni dictum hoc auctori tribuit Schol. Plat. ad h. l. p. 136., quod postea in proverbium abierit. Platoni hoc proverbium adamatum in primis. Conf. Cratyl. p. 384. a. ibiq. schol. (p. 14.), de rep. IV. p. 435. c. VI. p. 497. d.

ΠΛΑΤΩΝΟΣ

ΦΑΙΔΡΟΣ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-12523/fragment/page=0219

ΣΩΚΡΑΤΗΣ, ΦΑΙΔΡΟΣ.

Ὦ φίλε Φαῖδρε, ποῖ δὴ καὶ πόθεν; ΦΑΙ. Παρὰ p. 227. a.
Λυσίου, ὦ Σώκρατες, τοῦ Κεφάλου. Πορεύομαι
δὲ πρὸς περίπατον ἔξω τείχους. Συχνὸν γὰρ ἐκεῖ
διέτριψα χρόνον καθήμενος ἐξ ἑωθινοῦ. Τῷ δὲ σῷ

---

§. 1. Ὦ φίλε Φαῖδρε — ἐξ ἑωθινοῦ. Laudat haec, sine ulla tamen scripturae varietate, Dionys. Halic. T. II. p. 128. et 166. ed. Sylb., in severa illa, quam agit ibi, dialogi huius censura. De formula hac occursantium vulgari ποῖ δὴ καὶ πόθεν vid. ad Lysid. init. Παρὰ Λυσίου — Schol. Plat. p. 53. ὁ Λυσίας οὗτος ῥήτωρ ἦν. Quippe intelligendus est sine ulla dubitatione celeberrimus ille orator, cuius adhuc exstant Oratt. XXXIV.; huius enim patrem Cephalum fuisse constat, fratrem Polemarchum: vid. Taylor. vit. Lys. ed. Reisk. p. 103. seqq.: laudatus autem h. l. Lysias itidem et Cephali filius fuit et Polemarchi frater §. 85., itemque orator et rhetor §. 111.: ut mirer admodum Taylori iudicium, orationem paullo post subiectam omninoque ἐρωτικὰ, veteribus Lysiae nomine laudata, oratori illi adeo imperiose abiudicantis, ut aliter existimantem non κρίσει aut acumine, sed omnibus potius sensibus orbum videri pronuntiet. Aliter Tayloro longe subtilior stili iudex Dionysius Halic. Ep. ad Pomp. p. 126., ipsi ibidem Tayloro citatus: βουληθεὶς ὁ ἀνὴρ (Πλάτων) ἐπιδείξασθαι τὴν αὑτοῦ δύναμιν, ἣν εἶχεν ἐν τοῖς πολιτικοῖς λόγοις, οὐκ ἠρκέσθη ταῖς ἄλλαις γραφαῖς, ἀλλὰ καὶ κράτιστον (κατὰ κρατίστου?) τῶν τότε ῥητόρων ἕτερον αὐτὸς ἐν τῷ Φαίδρῳ συνετάξατο λόγον etc. πρὸς περίπατον, *deambulatum*, ut εἰς περίπατον Theophr. Char. 12. Totum autem libri huius initium ob oculos habuit Lucianus in *Encomio Demosth.* init., neutiquam in *Amo-*

καὶ ἐμῷ ἑταίρῳ πειθόμενος Ἀκουμενῷ κατὰ τὰς ὁδοὺς ποιοῦμαι τοὺς περιπάτους. Φησὶ γὰρ ἀκοπωτέρους εἶναι τῶν ἐν τοῖς δρόμοις. ΣΩ. Καλῶς γὰρ, b. ὦ ἑταῖρε, λέγει. Ἀτὰρ Λυσίας ἦν, ὡς ἔοικεν, ἐν ἄστει. ΦΑΙ. Ναὶ, παρ' Ἐπικράτει, ἐν τῇδε τῇ πλησίον τοῦ Ὀλυμπίου οἰκίᾳ τῇ Μορυχίᾳ. ΣΩ. Τίς οὖν δὴ ἦν ἡ διατριβή; ἢ δῆλον ὅτι τῶν λόγων

---

ribus, ut visum est Lentzio in docto animadverss. in Phaedr. specimine, Actis Soc. Ultrai. inserto.

1. Ἀκουμενῷ — medico illius aetatis celeberrimo, Eryximachi medici patri, §. 115. Symp. p. 176. b. V. Valcken. ad Xenoph. Mem. III, 13, 2. τῶν ἐν τοῖς δρόμ. Schol. Plat. p. 53. ὅτι Δρόμοι τόποι τινὲς ἦσαν ὅπου ἔτρεχον οἱ νέοι. Ἐκείνων οὖν τῶν ἐν τοῖς δρόμοις γυμνασίων ἀκοπώτεροι οἱ περίπατοι. Immo δρόμοι loca erant non modo ad cursum, sed etiam ad ambulationem destinata: vid. Ruhnken. ad Lex. Tim. p. 89. Conf. Schneid. ind. ad Xenoph. Mem. v. περίπατος. Igitur ad τῶν supplendum περιπάτων. In viis autem deambulationes minus esse laboriosas, quam in δρόμοις, putabat Acumenus, quod, ut Celsus ait de Med. 1, 2. *ambulatio melior est sub dio, quam in porticu:* δρόμοι enim erant κατάστεγοι: vid. Ruhnken. ad Tim. l. c.: et *quod melior recta quam flexuosa.* Et conf. Aristot. Problem. V, 12. Similiter in Xenoph. Oecon. XI, 15. περιπάτῳ χρῶμαι τῇ εἰς ἀγρὸν ὁδῷ, ἴσως ἄμεινον — ἢ εἰ ἐν τῷ ξυστῷ περιπατοίην. Aliter Schol. Plat. in Anecdot. Siebenk. p. 55. ἐκείνων τῶν ἐν τοῖς δρόμοις γυμνασίων ἀκοπώτεροί εἰσιν οἱ περίπατοι· ὡς κατὰ σχολὴν καὶ κατὰ βραχὺ γυμνάζοντες, καὶ τὰς ἀναπαύλας ἐκ τοῦ πλησίον ἔχοντες· ὅτε γάρ τις βούλεται, δύναται καὶ ἐξεσθαι.

1. ἐν ἄστει. In Piraeeo enim habitasse videtur Lysias; pater certe eius ibi habitabat. Conf. de rep. I. p. 328. c. . ἐν τῇδε dictum δεικτικῶς, necdum enim videntur urbe egressi. τοῦ Ὀλυμπίου, *prope Iovis Olympii templum,* quod dictum Ὀλύμπιον s. Ὀλυμπιεῖον: v. Meurs. Athen. Att. II, 10. *Morychia,* domus a Morycho quodam appellata, vid. Lex. Tim. p. 183. ibique Ruhnken. Τίς οὖν δὴ — Nativam loci huius festivitatem restitui putat Lentzius scri-

ὑμᾶς Λυσίας εἰστία; ΦΑΙ. Πεύσει, εἴ σοι σχολὴ προϊόντι ἀκούειν. ΣΩ. Τί δέ; οὐκ ἂν οἴει με κατὰ Πίνδαρον καὶ ἀσχολίας ὑπέρτερον πρᾶγμα ποιήσεσθαι τὸ τεὴν τε καὶ Λυσίου διατριβὴν ἀκοῦσαί; c. ΦΑΙ. Πρόαγε δή. ΣΩ. Λέγοις ἄν. ΦΑΙ. Καὶ 2. μὴν, ὦ Σώκρατες, προσήκουσά γέ σοι ἡ ἀκοή. Ὁ γάρ τοι λόγος ἦν, περὶ ὃν διετρίβομεν, οὐκ οἶδ' ὅν-

---

bendo ἦ δῆλον, *certe, sine dubio*, demptoque deinde interrogandi signo; quae correctio constanti Graecorum usui adversatur. Nusquam sic reperies adiunctum ἦ δῆλον ὅτι affirmandi sensu. Nempe διατριβὴ de cuiusvis generis tractatione dicitur, non tantum de disputatione, ut ἡ ἐν τοῖς οἴνοις διατριβὴ de legg. I. p. 641. c., atque inest talis fere sententia: *quomodo igitur ibi otium trivistis? sed tamen quid quaero? sermonum videlicet epulis vos Lysias excepit.* Eodem in genere erraverunt cum Stephano Gottleber. ad Plat. Menexen. init. Toup. ad Longin. p. 282. Wolf. ad Dem. Lept. §. 50.

1. προϊόντι. Ald. et Bas. 1. περιιόντι, et Ficin. *obambulanti.* Sed alteri respondet in seqq. illud πρόαγε δή. κατὰ Πίνδαρον. Isthm. I, 1. seqq. Μᾶτερ ἐμὰ, τὸ τεὸν, χρύσασπι Θήβα, Πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον Θάσσομαι, a Plutarcho itidem, Platonis imitatore, adumbrata de Genio Socr. p. 575. d. πρᾶγμα ποιήσασθαι. Cod. Vind. ποιήσεσθαι, ut ἄν iungatur h. l. futuri infinitivo; quod quanquam non ita rari est usus, v. Wolf. ad Demosth. Lept. p. 259. 244., praefero tamen h. l. ποιήσασθαι. Gorg. p. 448. a. οἴει οὖ κάλλιον ἂν Γοργίου ἀποκρίνασθαι, uti omnino verba οἴεσθαι, ἐλπίζειν, προσδοκᾶν aoristus cum part. ἄν legitime prope subsequitur. [Hic tamen, ubi ποιήσασθαι in solo Par. *E* non sane optimo codice inventum est, futurum cum Be. reposuimus.] Pro τεὴν Bas. 2. et Vindob. [it. Be. pl. et opt.] σὴν, rectius fortasse, velut θήσεσθαι quoque mutavit in ποιήσασθαι: quanquam de rep. II. p. 365. c., ubi Simonidem (v. Wyttenb. ad Plut. de S. N. V. p. 23.) respexit, eadem diligentia τὰν ἀλήθειαν adhibitum reperias.

§. 2. Καὶ μὴν — προσήκουσά γέ σοι — *tibi amandi artem toties professo:* vid. ad Lysid. 2. πειρώμενον,

τινα τρόπον ἐρωτικός. Γέγραφε γὰρ δὴ ὁ Λυσίας πειρώμενόν τινα τῶν καλῶν, οὐχ ὑπὸ ἐραστοῦ δέ· ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ κεκόμψευται. Λέγει γὰρ, ὡς χαριστέον μὴ ἐρῶντι μᾶλλον ἢ ἐρῶντι. ΣΩ. Ὦ γενναῖος, εἴθε γράψειεν, ὡς χρὴ πένητι μᾶλλον ἢ πλουσίῳ, καὶ πρεσβυτέρῳ ἢ νεωτέρῳ, καὶ ὅσα ἄλλα
d. ἐμοί τε πρόσεστι καὶ τοῖς πολλοῖς ἡμῶν. Ἦ γὰρ ἂν ἀστεῖοι καὶ δημωφελεῖς εἶεν οἱ λόγοι. Ἔγωγ' οὖν οὕτως ἐπιτεθύμηκα ἀκοῦσαι, ὥστ', ἐὰν βαδίζων ποιῇ τὸν περίπατον Μέγαράδε, καὶ κατὰ Ἡρόδικον προσβὰς τῷ τείχει πάλιν ἀπίῃς, οὐ μή σου ἀπολει-
3. φθῶ. ΦΑΙ. Πῶς λέγεις, ὦ βέλτιστε Σώκρατες;
p. 228. a. Οἴει με, ἃ Λυσίας ἐν πολλῷ χρόνῳ κατὰ σχολὴν συνέθηκε, δεινότατος ὢν τῶν νῦν γράφειν, ταῦτα ἰδιώτην ὄντα ἀπομνημονεύσειν ἀξίως ἐκείνου; Πολλοῦ γε δέω. Καίτοι ἐβουλόμην γ' ἂν μᾶλλον ἢ μοι πολὺ χρυσίον γενέσθαι. ΣΩ. Ὦ Φαῖδρε, εἰ ἐγὼ Φαῖ-

---

Schol. τὸ πειρώμενον παθητικῶς ἀκουστέον. Vid. Lex. Tim. p. 210. ibique Ruhnk. Hoc autem et illud mox illatum χαριστέον de re venerea intelligendum. V. Tim. Lex. p. 274. ibiq. not. Cf. Xenoph. Hiero XI, 11.

2. κατὰ Ἡρόδικον. Schol. Ὅτι Ἡρόδικος Σηλυμβριανὸς ἰατρὸς ἦν, καὶ τὰ γυμνάσια ἔξω τείχους ἐποιεῖτο, ἀρχόμενος ἀπό τινος διαστήματος οὐ μακροῦ, ἀλλὰ συμμέτρου ἄχρι τοῦ τείχους, καὶ ἀναστρέφων. Quippe duo in Platone memorantur *Herodici*, alter Leontinus, Gorgiae frater, clarus illa aetate medicus, Gorg. p. 448. b.; alter Selymbrianus hic artis gymnasticae magister, Protag. p. 316. e. de rep. III. p. 406. a., ubi, quae leguntur, in primis huc pertinent. Conf. Gesn. ad Lucian. de Conscr. Hist. §. 35. Aristot. Rhet. I, 5, 29. Hippocr. Opp. Sect. VII. p. 269. Schol. Plat. de rep. p. 156. Nam κατὰ Ἡρόδ. est *more et exemplo Herodici*, quod fallere

δρον ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι. Ἀλλὰ γὰρ
οὐδέτερά ἐστι τούτων. Εὖ οἶδα, ὅτι Λυσίου λόγον
ἀκούων ἐκεῖνος οὐ μόνον ἅπαξ ἤκουσεν, ἀλλὰ πολ-
λάκις ἐπαναλαμβάνων ἐκέλευέ οἱ λέγειν· ὁ δὲ ἐπεί-
θετο προθύμως. Τῷ δὲ οὐδὲ ταῦτα ἦν ἱκανὰ, ἀλλὰ b.
τελευτῶν παραλαβὼν τὸ βιβλίον, ἃ μάλιστα ἐπε-
θύμει, ἐπεσκόπει, καὶ τοῦτο δρῶν, ἐξ ἑωθινοῦ κα-
θήμενος, ἀπειπὼν εἰς περίπατον ἦει· ὡς μὲν ἐγὼ
οἶμαι, νὴ τὸν κύνα, ἐξεπιστάμενος τὸν λόγον, εἰ
μὴ πάνυ τὶς ἦν μακρός· ἐπορεύετο δ' ἐκτὸς τείχους,
ἵνα μελετῴη. Ἀπαντήσας δὲ τῷ νοσοῦντι περὶ λό- 4.
γων ἀκοὴν, ἰδὼν μὲν ἰόντα ἥσθη, ὅτι ἕξοι τὸν συγ-
κορυβαντιῶντα, καὶ προάγειν ἐκέλευε· δεομένου δὲ

---

non debebat Erasmum in Adag. p. 916. ubi pro more suo vir bonus verba etiam, *vel Megaram usque*, in proverbium convertit.

§. 3. Εὖ οἶδα, ὅτι — In his ἀκούων immerito videbatur alicui redundare. Hoc dicit: *satis scio, Lysiae sui orationem quum audiret, eam illum non semel audisse, sed recitantem revocasse saepius.* ἐπαναλαμβάνων ἐκέλ., *iterum iterumque iussit.* Theaet. p. 169. d. *Εἰ μὲν τοίνυν αὐτὸς παρὼν ὡμολόγει, ἀλλὰ μὴ ἡμεῖς βοηθοῦντες ὑπὲρ αὐτοῦ συνεχωρήσαμεν, οὐδὲν ἂν πάλιν ἔδει ἐπαναλαβόντας βεβαιοῦσθαι.* [ἐκέλευεν Be. e pl. et opt. Vulgo ἐκέλευσεν.]

§. 4. Ἀπαντήσας δὲ τῷ νοσοῦντι, *aegrotanti cuidam*, in quo articulum τῷ, pro quo Stephanus malebat τῳ (pro τινὶ), tuentur, quae attuli ad Charmid. 7. ἰδὼν μὲν ἰόντα. [Haec editorum lectio non inventa est in quoquam manu scriptorum; quorum pars maxima, in quibus optimi, exhibent ἰδὼν μὲν ἰδών, quam scripturam quamvis sensu cassam repraesentare maluit Be.; ceteri ἰδὼν μὲν ἰών, unus Ven. Σ ἰδὼν μὲν ἰδὼν μὲν, ut non inepte ex vitiosa hac duplicatione turbas omnes natas putes.] τὸν συγκορυβαντιῶντα. Bas. 2. ἐνθουσιῶντα, quod fluxit sine dubio ex glossa συνεν-

c. λέγειν τοῦ τῶν λόγων ἐραστοῦ, ἐθρύπτετο ὡς δὴ οὐκ ἐπιθυμῶν λέγειν· τελευτῶν δὲ ἔμελλε καὶ εἰ μή τις ἑκὼν ἀκούοι βίᾳ ἐρεῖν. Σὺ οὖν, ὦ Φαῖδρε, αὐτοῦ δεήθητι, ὅπερ τάχα πάντως ποιήσει, νῦν ἤδη ποιεῖν. ΦΑΙ. Ἐμοὶ ὡς ἀληθῶς πολὺ κράτιστόν ἐστιν, οὕτως ὅπως δύναμαι λέγειν· ὡς μοι δοκεῖς σὺ

θουσιῶντα. Schol. Plat. p. 55. *συγκορυβαντιῶντα, συνενθουσιῶντα. συνενθουσιᾷν τῷ λέγοντι* legitur ap. Longin. de Subl. c. 32, 4. quam dictionem Plutarcho frequentatam monuit Wyttenbach. Bibl. Crit. P. III. p. 49. Mox *ἐθρύπτετο, delicias faciebat*, idem fere quod *ἐκαλλωπίζετο*, Protag. p. 333. d., cum delectu hic positum post *ἐραστοῦ*, quum *θρύπτεσθαι* proprie in amore usurpetur, bene monuit Lentzius. Conf. Xenoph. Sympos. VIII. Aelian. V. H. III, 12. Deinde *καὶ* pertinet ad *βίᾳ ἐρεῖν*, ne quis forte exemplum hoc putet formulae *καὶ εἰ* pro *εἰ καὶ*, de qua vid. Valcken. ad Xenoph. Mem IV, 1. *Σὺ οὖν, ὦ Φαῖδρε* — Bene ad superiora illa *εὖ οἶδα, ὅτι Ανσίου λόγον ἀκούων ἐκεῖνος* etc. annotavit Schol. *Κατ᾽ ἀποστροφὴν πρὸς Φαῖδρον λόγος, ὡς δῆθεν μὴ ἐκείσε παρόντος αὐτοῦ.* Igitur hactenus cum Phaedro praesente tanquam de absente locutus Socrates h. l. in eodem manet sermonis tenore: ut pessime Stephanus, festivitate loci non intellecta, pro *ποιήσει* coniecerit *ποιήσεις* vel *ποιήσῃ*, ipsaque illa *αὐτοῦ δεήθητι* tentaverit. Melius hoc, quod verba *νῦν ἤδη ποιεῖν* a Ficino cum praecedentibus continuari animadvertit. Scilicet vulgo haec sic distinguuntur: *Σὺ οὖν, ὦ Φ., αὐτοῦ δεήθητι· ὅπερ τάχα πάντως ποιήσει. ΦΑΙ. Νῦν ἤδη ποιεῖν ἐμοὶ* etc., quae ita expressit Cornarius: *Nunc itaque re vera longe optimum est, ut ego sic faciam, et, prout possum, dicam.* Ferrem, si verbo *ποιεῖν* additum esset *τοῦτο* seu *οὕτω*, ut Charmid. 30. *Καὶ νῦν δὴ οὖν ἐγωγέ φημι τοῦτο ποιεῖν, τὸν λόγον σκοπεῖν*: Meno p. 80. a. *Καὶ σὺ δοκεῖς μοι νῦν ἐμὲ τοιοῦτόν τι πεποιηκέναι, ναρκᾶν.* Nunc *ποιεῖν*, in illa interpunctione adeo moleste est inculcatum, ut eiici deberet, nisi veram, id quod Lentzius quoque vidit, loci rationem suppeditaret Ficini versio: *Te ergo, Phaedre, rogarim, quod etiam non rogatus facturus es, mihi nunc ut facias. Phaedr.*

οὐδαμῶς με ἀφήσειν, πρὶν ἂν εἴπω ἀμωσγέπως. ΣΩ. Πάνυ γάρ σοι ἀληθῆ δοκῶ. ΦΑΙ. Οὕτωσὶ τοίνυν d. ποιήσω· τῷ ὄντι γὰρ, ὦ Σώκρατες, παντὸς μᾶλλον τάγε ῥήματα οὐκ ἐξέμαθον· τὴν μέντοι διάνοιαν σχεδὸν ἁπάντων, οἷς ἔφη διαφέρειν τὰ τοῦ ἐρῶντος ἢ τὰ τοῦ μὴ, ἐν κεφαλαίοις ἕκαστον ἐφεξῆς εἶμι, ἀρξάμενος ἀπὸ τοῦ πρώτου. ΣΩ. Δείξας γε πρῶτον, 5. ὦ φιλότης, τί ἄρα ἐν τῇ ἀριστερᾷ ἔχεις ὑπὸ τῷ ἱματίῳ. Τοπάζω γάρ σε ἔχειν τὸν λόγον αὐτόν. Εἰ δὲ τοῦτό ἐστιν, οὕτωσὶ διανοοῦ περὶ ἐμοῦ, ὡς ἐγώ σε πάνυ μὲν φιλῶ, παρόντος δὲ καὶ Λυσίου ἐμαυτόν e.

Satius est igitur etc., nisi quod is male ἐμοὶ illud ὀρθοτονούμενον traxit ad praegressa. τάχα hic quoque, ut infra §. 42., est *mox*, usu apud prosae scriptores rariore: v. Ruhnken. ad Lex. Tim. p. 151. πάντως, *utique*, vel non rogatus. Sequentibus autem Ἐμοὶ ὡς ἀληθ. etc. prorsus similia sunt illa Euthyd. p. 297. d. Κράτιστον τοίνυν μοι, ὦ Διονυσόδωρε, ἀποκρίνασθαί σοι. Οὐ γὰρ μὴ ἀνῇς ἐρωτῶν. Atque hic quoque leniorem sane faceret transitum Ἐμοὶ οὖν vel Ἐμοὶ μὲν οὖν, neque videtur illud *igitur* de suo addidisse Ficinus, facilisque erat in perturbato loco voculae οὖν omissio. ἀμωσγέπως. [Be. ἀμ. Vid. ad Charm. 50.]

4. Πάνυ γάρ σοι ἀληθῆ δοκῶ. Ad ἀληθῆ ex praegressis nihil commode subaudias, ut mallet aliquis δοκεῖ. Sed prorsus sic de rep. VIII. p. 567. d. Κηφῆνας — δοκεῖς αὖ τινάς μοι λέγειν ξενικούς τε καὶ παντοδαπούς. Ἀληθῆ γὰρ — δοκῶ σοι. Intelligo igitur coartatam quotidiano usu dicendi formam pro πάνυ γάρ σοι ἀληθῆ δοκεῖ εἰ δοκῶ etc. παντὸς μᾶλλον οὖ, in quo offendebat vir doctus, est ἥκιστα, *plane non*. Charmid. 41. παντὸς ἄρα μᾶλλον — ἡ σωφροσύνη — οὔτε ἰατρὸν διακρῖναι οἵατε ἔσται etc. — τὴν διάνοιαν, *argumentum*, v. ad Lysid. 4.

§. 5. τί ἄρα ἐν — [Vulgatum ὃ ante ἐν omisit Be. cum pl. et opt. Mox καὶ ante Λυσίου inseruit idem e praestantissimis.] — ἐμαυτόν σοι — δέδοκται *non admodum*

σοι ἐμμελετᾶν παρέχειν οὐ πάνυ δέδοκται. Ἀλλ' ἴθι, δείκνυε. ΦΑΙ. Παῦε. Ἐκκέκρουκάς με ἐλπίδος, ὦ Σώκρατες, ἣν εἶχον ἐν σοὶ ὡς ἐγγυμνασόμενος. Ἀλλὰ ποῦ δὴ βούλει καθιζόμενοι ἀναγνῶμεν; ΣΩ. Δεῦρ' ἐκτραπόμενοι κατὰ τὸν Ἰλισσὸν ἴωμεν, εἶτα, ὅπου ἂν δόξῃ, ἐν ἡσυχίᾳ καθιζησόμεθα. ΦΑΙ. Εἰς καιρὸν, ὡς ἔοικεν, ἀνυπόδητος ὢν ἔτυχον· σὺ μὲν γὰρ δὴ ἀεί. Ῥᾷστον οὖν ἡμῖν κατὰ τὸ ὑδάτιον βρέχουσι τοὺς πόδας ἰέναι καὶ οὐκ ἀηδές, ἄλλως τε καὶ τήνδε τὴν ὥραν τοῦ ἔτους τε καὶ τῆς ἡμέρας. ΣΩ. Πρόαγε δὴ καὶ σκόπει ἅμα, ὅπου καθιζησόμεθα. ΦΑΙ. Ὁρᾷς οὖν ἐκείνην τὴν ὑψηλοτάτην πλάτανον; ΣΩ. Τί μήν; ΦΑΙ. Ἐκεῖ σκιά τ' ἐστὶ καὶ πνεῦμα μέτριον, καὶ πόα καθίζεσθαι ἤ, ἐὰν βουλώμεθα, κατακλιθῆναι. ΣΩ. Προά-

p. 229. a. b. 6.

---

lubet me tibi praebere, in quo te exerceas. ἐμμελετᾶν i. e. ὥστε σαυτὸν ἐμμελετᾶν ἐν ἐμοὶ, ut Alcib. I. p. 114. d. Ἴθι δὴ νῦν, ἐπειδὴ τοῦ αὐτοῦ φαίνεται πολλούς τε καὶ ἕνα πείθειν, ἐν ἐμοὶ ἐμμελέτησον καὶ ἐπιχείρησον ἐπιδεῖξαι. Non annotassem, nisi Ficinus ipseque Cornarius in hac planissima sententia errassent. — Mox *Παῦε (Halt)*, Attica est vox, Aristoph. Ran. 122, 271, 588. et alibi, similis illi ἔχε δή. Vid. L. Bos. Obss. Crit. V. p. 21. [In seqq. pro καθιζόμενοι Ven. *II* καθεζ. quod verum puto: vid. Gramm. ampl. in ἵζω. Sed mox καθιζησόμεθα dederunt omnes Bekkeri pro editorum καθιζώμεθα.]

5. σὺ μὲν γὰρ δὴ ἀεί. Adstrictioris vitae signum haec ἀνυποδησία: vid. Spanhem. ad Callim. in Cerer. v. 125. et de Socrate conf. Xenoph. Mem. I, 6. — τήνδε τὴν ὥραν — aestate et meridie. Cf. §. 42. et 90.

§. 6. Ἐκεῖ σκιά τ' ἐστί — Respexit huc Aristaenet. I, 3. p. 7. ἔνθα πλάτανος μὲν ἀμφιλαφής τε καὶ σύσκιος, πνεῦμα δὲ μέτριον καὶ πόα μαλθακὴ, ὥρᾳ θέρους ἐπανθεῖν εἰωθυῖα. Ac

γοις ἄν. ΦΑΙ. Εἰπέ μοι, ὦ Σώκρατες, οὐκ ἐνθένδε μέντοι ποθὲν ἀπὸ τοῦ Ἰλισσοῦ λέγεται ὁ Βορέας τὴν Ὠρείθυιαν ἁρπάσαι; ΣΩ. Λέγεται γάρ. ΦΑΙ. Ἆρ' οὖν ἐνθένδε; Χαρίεντα γοῦν καὶ καθαρὰ καὶ διαφανῆ τὰ ὑδάτια φαίνεται καὶ ἐπιτήδεια κόραις παίζειν παρ' αὐτά. ΣΩ. Οὔκ, ἀλλὰ κάτωθεν, c. ὅσον δύ' ἢ τρία στάδια, ἧ πρὸς τὸ τῆς Ἄγρας διαβαίνομεν, καί πού τίς ἐστι βωμὸς αὐτόθι Βορέου. ΦΑΙ. Οὐ πάνυ νενόηκα. Ἀλλ' εἰπὲ πρὸς Διός, ὦ Σώκρατες, σὺ τοῦτο τὸ μυθολόγημα πείθει ἀληθὲς εἶναι; ΣΩ. Ἀλλ' εἰ ἀπιστοίην, ὥσπερ οἱ σοφοί, 7. οὐκ ἂν ἄτοπος εἴην· εἶτα σοφιζόμενος φαίην αὐτὴν

Ficinus, *et mollis herba;* quanquam nolim hinc quidquam de scriptura h. l. existimari. — Paullo post prius ἐνθένδε explicatur ex nota illa veterum simplicitate verbis ἀπὸ τοῦ Ἰλισσοῦ. Ita Theaetet. p. 142. b. αὐτοῦ Μεγαροῖ κατέλυεν. Euthyd. p. 271. c. ἐντεῦθέν ποθέν εἰσιν ἐκ Χίου. V. Valck. ad Herod. p. 339. Posterius illud Ἆρ' οὖν ἐνθένδε est digito monstrantis. De raptu hoc Orithyiae locos veterum suppeditabit Wernsdorf. ad Himer. p. 358.

6. πρὸς τὸ τῆς Ἄγρας. [Ἄγρας Be. restituit e codd. suis omnibus loco editorum Ἀγραίας.] Templum Dianae, quae triplici nominis forma dicebatur Ἄγρα, Ἀγραία, Ἀγροτέρα, a loco Atticae, ubi colebatur, Ἄγρα vel Ἄγραι, ut docuit Ruhnken. ad Lex. Tim. p. 223. Pausan. Attic. p. 45. Διαβᾶσι τὸν Εἰλισσὸν χωρίον Ἄγραι καλούμενον καὶ ναὸς Ἀγροτέρας ἐστὶν Ἀρτέμιδος. Ἐνταῦθα Ἄρτεμιν πρῶτον θηρεῦσαι λέγουσιν ἐλθοῦσαν ἐκ Δήλου, καὶ τὸ ἄγαλμα διὰ τοῦτο ἔχει τόξον. Quod statim post memoratur *Borcae sacellum*, id huic ob opem sibi in proelio latam Athenienses ad Ilissum sacrasse narrat Herodot. VII, 189. ubi vid. Valcken. [In seqq. καὶ ante σὺ τοῦτο respuunt codd.]

§. 7. ὥσπερ οἱ σοφοί. Sophistas tangit sine dubio, atque vel ipsum Anaxagoram: vid Heyn. Comment. de Apoll.

πνεῦμα Βορέου κατὰ τῶν πλησίον πετρῶν σὺν Φαρμακείᾳ παίζουσαν ὦσαι, καὶ οὕτω δὴ τελευτήσασαν
d. λεχθῆναι ὑπὸ τοῦ Βορέου ἀνάρπαστον γεγονέναι· ἢ ἐξ Ἀρείου πάγου· λέγεται γὰρ αὖ καὶ οὗτος ὁ λόγος, ὡς ἐκεῖθεν ἀλλ' οὐκ ἐνθένδε ἡρπάσθη. Ἐγὼ δέ, ὦ Φαῖδρε, ἄλλως μὲν τὰ τοιαῦτα χαρίεντα ἡγοῦμαι, λίαν δὲ δεινοῦ καὶ ἐπιπόνου καὶ οὐ πάνυ εὐτυχοῦς ἀνδρὸς, κατ' ἄλλο μὲν οὐδέν, ὅτι δ' αὐτῷ ἀνάγκη

Bibl. T. III. p. 932. — Mox *σὺν Φαρμακείᾳ* est *cum Naiade Pharmacea;* nam Pharmacea etsi est fontis nomen, auctore Tim. Lex. p. 268., tamen h. l. haud dubie fontis eius Nympha intelligenda, ut sunt Naiades fontibus suis cognomines. Raptam autem esse Orithyiam cum puellis seu Nymphis ad Ilissum ludentem, satis ipse significavit ante Plato verbis *τὰ ὑδάτια ἐπιτήδεια κόραις παίζειν παρ' αὐτὰ*, et conf. Apollon. Rhod. I, 215., atque utriusque et Orithyiae et Pharmaceae simulacra ibi fuisse, videor intelligere ex verbis §. 9. *Νυμφῶν τέ τινων καὶ Ἀχελώου ἱερὸν ἀπὸ τῶν κορῶν τε καὶ ἀγαλμάτων ἔοικεν εἶναι.* Nollem igitur Platonem tentatum h. l. ab Heynio ad Apollod. T. II. p. 854., ubi Timaeum secutus coniectat *ἐπὶ Φαρμ.* Quanquam illud quod simpliciter sic diceretur a Platone *παίζουσα*, comite non addita, nunc non amplius moror, coll. Pausan. Boeot. 31. extr. Vulgatum tuetur etiam Theon Progymn. p. 68. ed. Camerar. *Πλάτων ἐν τῷ Φαίδρῳ τὸ περὶ τῆς Ὠρειθυίας καὶ τοῦ Βορέου διήγημα οὐκ ἀποδεχόμενός φησι τὴν Ὠρείθυιαν πνεῦμα Βορέου κατὰ τῶν πλησίον πετρῶν σὺν Φαρμακείᾳ παίζουσαν ὦσαι κ. τ. λ.*

7. *ἢ ἐξ Ἀρείου πάγου — ἡρπάσθη.* Ab aliena manu haec olim in contextum illata putabam, quoniam et male adiuncta videbantur (vulgo enim distinctum sic: *ἀνάρπ. γεγονέναι, ἢ ἐξ Ἀρείου πάγου*, ut Ficinus de suo addiderit *ἐνθένδε*, vertens: *atque ita mortuam, raptam hinc a Borea fingi, vel ex Arcopago)*, et incommode h. l. inculcata, supra potius inserenda, ubi de raptus loco ex Socrate Phaedrus quaesiverat, post illa §. 6. *Λέγεται γάρ.* Idemque suspicatum vidi deinde Bastium ad Plat. Sympos. p. 21. ex eo, quod Hermias in Scholl. inedd. totum hoc additamentum silentio praeter-

μετὰ τοῦτο τὸ τῶν Ἱπποκενταύρων εἶδος ἐπανορθοῦσθαι καὶ αὖθις τὸ τῆς Χιμαίρας, καὶ ἐπιῤῥεῖ δὲ ὄχλος τοιούτων Γοργόνων καὶ Πηγάσων καὶ ἄλλων ἀμηχάνων πλήθει τε καὶ ἀτοπίᾳ τερατολόγων τινῶν e. φύσεων, αἷς εἴ τις ἀπιστῶν προσβιβᾷ κατὰ τὸ εἰκὸς ἕκαστον, ἄτε ἀγροίκῳ τινὶ σοφίᾳ χρώμενος, πολλῆς

---

misit. Neque tamen praetermittitur in Scholl. Ruhnken. p. 55. et Siebenk. p. 56. Tum illud αὖ glossatoris non est, a quo nihil sane additum legeremus, nisi hoc ἢ ἐξ Ἀρείου πάγου· λέγεται γὰρ καὶ οὗτος ὁ λόγος. Denique mutata verborum distinctione, ut verba ἢ ἐξ Ἀρείου πάγου trahantur ad praegressa κατὰ τῶν πλησίον πετρῶν, quidni agnoscamus potius negligentiorem ipsius Platonis stilum, qualis dialogum decet vel maxime?

7. *Καὶ ἐπιῤῥεῖ δὲ ὄχλος τοιούτων Γοργόνων* — Laudat haec Galen. de Hippocr. et Plat. Decr. III. ad fin. ed. Bas. T. I. p. 274., scriptura tamen nihil mutata: it. Athen. V. p. 221. ubi cf. Anim. *Τοιούτων* Ficinus non expressit, Cornarius seiunxit a seqq.: *sed et turba affluit talium, Gorgonum et Pegasorum* etc. Sed non ita Graecus seiungebat lector, interpunctione nostra non usus. Igitur quum nihil subsequatur, quo possit *τοιούτων* referri, videbatur id olim sede sua demotum, et post *ἄλλων* transponendum. Nunc traho potius ad praegressa: *atque affluit turba huiusmodi Gorgonum*, i. e. Hippocentauris Chimaeraeque similium, monstrosarum non minus. Cf. Phaedo 138. De loco autem hoc Proclus in Plat. Theolog. I, 4. p. 11. *Τὸ γὰρ τοιοῦτον ἐπίπονον καὶ οὐ πάνυ, φησὶν (ὁ Πλάτων), ἀνδρὸς ἀγαθοῦ, τέλος ποιεῖσθαι τῆς μύθων ὑπονοίας τὰ φυσικὰ παθήματα, καὶ τὴν τε Χίμαιραν, εἰ τύχοι, καὶ τὴν Γοργόνα καὶ τῶν τοιούτων ἕκαστον ὑπὸ σοφίας εἰς ταυτὸν ἄγειν φυσικοῖς πλάσμασιν.* *πλήθει — ἀτοπίᾳ.* [Sic edd. cum Par. E et corr. F. Be. e ceteris omn. *πλήθη — ἀτοπίαι.*] *— τερατολόγων τινῶν φύσεων.* Athen. V. p. 221. laudat *τερατολογιῶν τινων φύσεως*, male, ut docuit Ruhnk. ad Tim. Lex. v. *τερατολόγοι* p. 253. quanquam mirum, quod *τερατολόγος* alias plerumque activo usurpatur significatu. An altera olim lectio fuit *τερατολογιῶν τινων*, altera *τερατολόγων τινῶν φύσεων?* *ἀγροίκῳ τινὶ σοφίᾳ*, *arte quadam minuta, liberali homine indi-*

8. αὐτῷ σχολῆς δεήσει. Ἐμοὶ δὲ πρὸς ταῦτα οὐδαμῶς ἐστι σχολή. Τὸ δὲ αἴτιον, ὦ φίλε, τούτου τόδε·
p. 230. a. οὐ δύναμαί πω κατὰ τὸ Δελφικὸν γράμμα γνῶναι ἐμαυτόν. Γελοῖον δή μοι φαίνεται, τοῦτο ἔτι ἀγνοοῦντα τὰ ἀλλότρια σκοπεῖν. Ὅθεν δὴ χαίρειν ἐάσας ταῦτα, πειθόμενος δὲ τῷ νομιζομένῳ περὶ αὐτῶν, ὃ νῦν δὴ ἔλεγον, σκοπῶ οὐ ταῦτα, ἀλλὰ ἐμαυτὸν, εἴτε τι θηρίον ὢν τυγχάνω Τυφῶνος πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον, εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῷον, θείας τινὸς καὶ ἀτύφου μοί-

---

gna, quae elegantissima ingenii inventa ieiuna et putida interpretatione pervertat, cuiusmodi exempla bene multa nostra quoque aetas vidit. Clerico igitur, Criticorum omnium infelicissimo, ἀγρευτικῇ emendanti Art. Crit. III. p. 34. inventi huius gratiam facimus.

§. 8. Ἐμοὶ δὲ πρὸς ταῦτα. Vindob. αὐτά [et sic Be. ex opt.] Deinde post γελοῖον malim δὲ pro δή. In verbis ἀγνοοῦντα τὰ ἀλλότρια memini qui articulum expungeret: male: de rep. IV. p. 433. e. ὅπως ἂν ἕκαστοι μήτ' ἔχωσι τὰ ἀλλότρια, μήτε τῶν αὐτῶν στέρωνται. Ad illa ὅθεν δὴ — ἐάσας respexit Strabo VII. p. 453. ed. Almelov. εἴτε τι θηρίον ὢν — πολυπλοκώτερον — Schol. Plat. Τυφὼν Ἰῆς καὶ Ταρτάρου υἱὸς, γενηθεὶς ἐν Σικελίᾳ, εἶδος ἔχων συμμιγὲς ἀνδρὸς καὶ θηρίων. Eodemque modo eum Apollod. Bibl. I, 6, 3. dicit μεμιγμένην ἔχοντα φύσιν ἀνδρὸς καὶ θηρίου: quo trahendum πολυπλοκώτερον. Deinde pro ἐπιτεθυμένον cum Fabricio ad Sext. Emp. p. 72. et Ruhnken. ad Lex. Tim. p. 250. [acc. codd. opt.] reposui ἐπιτεθυμμένον, *inflatum*, in quo originem vocis Τυφῶνος a Platone significari liquet. Neque displicet Ruhnkenii coniectura ἔτι τεθυμμ. Mox Ficinus: *sive placatius quoddam et simplicius animal*, ut possit videri legisse ἡμερώτερόν τι καὶ —: sed τε non muto. Ita Phaedo. p. 88. b. ἐστὶ ψυχὴ παντάπασιν ἀθάνατόν τε καὶ ἀνώλεθρον. Phileb. p. 66. e. εἶπον, ὡς ἡδονῆς γε νοῦς εἴη ἂν μακρῷ βέλτιόν τε καὶ ἄμεινον. ἀτύφου μοίρας. Vid. Lex. Tim. p. 54. ibiq. Ruhnk.

ρας φύσει μετέχον. Ἀτὰρ, ὦ ἑταῖρε, μεταξὺ τῶν λόγων, ἆρ' οὐ τόδε ἦν τὸ δένδρον, ἐφ' ὅπερ ἦγες ἡμᾶς; ΦΑΙ. Τοῦτο μὲν οὖν αὐτό. ΣΩ. Νὴ τὴν 9. Ἥραν, καλή γε ἡ καταγωγή. Ἥ τε γὰρ πλάτανος b. αὕτη μάλα ἀμφιλαφής τε καὶ ὑψηλὴ, τοῦ τε ἄγνου τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον, καὶ ὡς ἀκμὴν ἔχει τῆς ἄνθης, ὡς ἂν εὐωδέστατον παρέχοι τὸν τό-

---

8. *μεταξὺ τῶν λόγων*, alias *μεταξὺ λόγων*, v. Viger. de Gr. Diet. Idiot. p. 407. (à propos), colloquentium est formula, ab intpp. vulgo parum intellecta, in qua est excusatio quaedam abrupti subito sermonis et ad aliud deducti. Inde *μεταξυλογία* Suid. *τὸ πρὸς βραχὺ παραλιπόντα τὴν παροῦσαν ὑπόθεσιν πρὸς* (*περὶ* Toup.) *ἑτέρας κινῆσαι τὸν λόγον*: vid. Toup. Emendatt. in Suid. P. II. p. 265. ed. Lips.

§. 9. *Ἥ τε γὰρ πλάτανος* — Platanum hanc nobilitavit praeclarus ille Ciceronis locus de Orat. I, 7. *Cur non imitamur Socratem illum, qui est in Phaedro Platonis? Nam me haec tua platanus admonuit, quae non minus ad opacandum hunc locum patulis est diffusa ramis, quam illa, cuius umbram secutus est Socrates, quae mihi videtur non tam ipsa aquula, quae describitur, quam Platonis oratione crevisse.* De loci autem huius apud rhetores imitationibus, et de voce *ἀμφιλαφὴς* (*patula, ampla, laetaque coma virens*), platano quasi propria, eruditissime explicavit magnus Tim. Lex. interpres ad v. *ἀμφιλαφές* p. 26. sqq. *τοῦ τε ἄγνου.* Suid. v. *ἄγνος*, ubi haec verba profert, habet *καὶ τοῦ ἄγνου δὲ* —. *Ἄγνος*, *vitex*, saepe iuncta et permutata cum eiusdem generis arbuscula *λύγος*, Atticis usurpata *ἀρσενικῶς*. Vid. Niclas. ad Geopon. II, 4, 1. Quae adduntur *καὶ ὡς ἀκμὴν — τὸν τόπον*, si vitii nihil habent, hoc sensu sunt accipienda: *et quam lacto virct flore! ita ut suavissimis hunc locum perfundat odoribus.* In quo scabri aliquid Stephanus sentiens coniecit *ὡς ἔχον*, pro *ἅτε δὴ ἔχον*, ut posterius *ὡς* vim superlativi *εὐωδέστατον* augeat. Sed ita vereor ne potius scriptum legeremus *ὡς εὐωδέστατον ἂν παρέχοι* —. Neque ita locum accepit imitator Aristaenet. I, 3. p. 7. *ἦν μὲν οὖν ταῦτα καὶ ἕτερα δένδρα πλησίον· εὐανθῆ μὲν τοὺς ὄρπηκας, παμφόρα*

πον. Ἥ τε αὖ πηγὴ χαριεστάτη ὑπὸ τῆς πλατάνου ῥεῖ μάλα ψυχροῦ ὕδατος, ὥς γε τῷ ποδὶ τεκμήρασθαι. Νυμφῶν τέ τινων καὶ Ἀχελώου ἱερὸν ἀπὸ τῶν κορῶν τε καὶ ἀγαλμάτων ἔοικεν εἶναι. Εἰ δ' c. αὖ βούλει, τὸ εὔπνουν τοῦ τόπου ὡς ἀγαπητόν καὶ σφόδρα ἡδύ, θερινόν τε καὶ λιγυρὸν ὑπηχεῖ τῷ τῶν τεττίγων χορῷ. Πάντων δὲ κομψότατον τὸ τῆς πόας, ὅτι ἐν ἠρέμα προσάντει ἱκανὴ πέφυκε κατακλινέντι τὴν κεφαλὴν παγκάλως ἔχειν. Ὥστε ἄρι-

---

δὲ τὸν καρπὸν, ὡς (ita ut) ἂν εὐωδέστατον παρέχοι τὸν ἐράσμιον τόπον. Mihi igitur Platonis videtur καὶ οὕτως ἀκμὴν — atque ita flore viret, ut etc. Eryxias p. 392. c. ὑπὸ τῶν σμικρῶν τούτων ἂν μᾶλλον ὀργίζοιντο οὕτως, ὡς ἂν μάλιστα καλεπώτατοι εἶησαν. Xenoph. Oecon. XX, 7. διὰ πολεμίας πορευομένους βέλτιόν ἐστι τεταγμένους πορεύεσθαι οὕτως, ὡς ἂν ἄριστα μάχοιντο, εἰ δέοι. Nisi quis malit scribere ὡς ἀκμὴν — ὡς ἂν —, ut — ita. Ut de rep. VII. p. 530. d. Κινδυνεύει, ὡς πρὸς ἀστρονομίαν ὄμματα πέπηγεν, ὡς πρὸς ἐναρμόνιον φορὰν ὦτα παγῆναι: quae mihi tamen ratio non satisfacit.

9. Ἥ τε αὖ πηγή. Ita cum Stephano correxi. Vulgo ἥγε. Ad verbum prope haec exscripsit Aristaenet. Ep. I, 3. p. 8. ἡ δὲ πηγὴ χαριεστάτη ὑπὸ τῇ πλατάνῳ ῥεῖ ὕδατος εὖ μάλα ψυχροῦ, ὥς γε τῷ ποδὶ τεκμήρασθαι etc. Conf. Cic. de legg. II, 3. [ὥς γε editorum tantum est scriptura: codd. ὥς τέ γε.] — Mox κόραι, recentioribus Graecis κορακόσμια dictae, proprie sunt *in triviis imagines lignеae*, et ἀγάλματα *donaria*, *Nymphis et Acheloo consecrata*. Vid. Ruhnken. ad Tim. p. 166. et p. 6.

9. Εἰ δ' αὖ βούλει — Ficinum ita vertentem, *aestivum insuper quiddam et canorum cicadarum subresonat choro*, secutus Stephanus correxit θερινόν τέ τι καὶ —. Vulgatum tuetur Aristaeneti imitatio I, 3. p. 9. ἔτι δὲ τὸ ἔμπνουν τῆς αὔρας λιγυρὸν ὑπηχεῖ τῷ μουσικῷ τῶν τεττίγων χορῷ, δι' ἣν καὶ τὸ πνῖγος τῆς μεσημβρίας ἠπιώτερον ἐγεγόνει. Nam τὸ εὔπνουν refer ad illud πνεῦμα μέτριον §. 6. — κατακλινέντι. Vindob.

στά σοι ἐξενάγηται, ὦ φίλε Φαῖδρε. ΦΑΙ. Σὺ δέ 10.
γε, ὦ θαυμάσιε, ἀτοπώτατός τις φαίνει. Ἀτεχνῶς
γὰρ, ὃ λέγεις, ξεναγουμένῳ τινὶ καὶ οὐκ ἐπιχωρίῳ
ἔοικας. Οὕτως ἐκ τοῦ ἄστεος οὔτ' εἰς τὴν ὑπερορίαν
ἀποδημεῖς, οὔτ' ἔξω τείχους ἔμοιγε δοκεῖς τοπαρά- d.
παν ἐξιέναι. ΣΩ. Συγγίγνωσκέ μοι, ὦ ἄριστε.
Φιλομαθὴς γάρ εἰμι. Τὰ μὲν οὖν χωρία καὶ τὰ
δένδρα οὐδέν μ' ἐθέλει διδάσκειν, οἱ δ' ἐν τῷ ἄστει
ἄνθρωποι. Σὺ μέντοι δοκεῖς μοι τῆς ἐμῆς ἐξόδου
τὸ φάρμακον εὑρηκέναι. Ὥσπερ γὰρ οἱ τὰ πει-
νῶντα θρέμματα θαλλὸν ἢ τινα καρπὸν προσείοντες
ἄγουσι, σὺ ἐμοὶ λόγους οὕτω προτείνων ἐν βιβλίοις
τήν τε Ἀττικὴν φαίνει περιάξειν ἅπασαν καὶ ὅποι e.
ἂν ἄλλοσε βούλῃ. Νῦν οὖν ἐν τῷ παρόντι δεῦρ'
ἀφικόμενος ἐγὼ μέν μοι δοκῶ κατακείσεσθαι, σὺ δ',

κατακλίναντι. Perperam. Illud firmatur superiore illo κατακλιθῆναι §. 6. et structura ipsa; neque enim cum hoc iungendum τὴν κεφαλήν. Ad ἐξενάγηται conf. Ruhnk. ad Tim. Lex. p. 186.

§. 10. Οὕτως ἐκ τοῦ ἄστεος — Conf. Meno p. 80. b. et Crito p. 52. b. τὰ δένδρα οὐδέν μ' ἐθέλει — Conf. Gregor. Corinth. p. 56. ibique Koen. et not. ad Charmid. §. 5. Porro in verbis Ὥσπερ γὰρ οἱ etc. verborum est traiectio quaedam, sic ordinandorum: ὥσπερ γὰρ οἱ θαλλὸν ἢ τινα καρπὸν προσείοντες τὰ πεινῶντα θρέμματα ἄγουσι. Quod si vidisset Stephanus, non correxisset οἱ, qui, quo reposito deesset male ποιοῦσι post ἄγουσι. Προσείοντες autem reposui pro vitioso προσίοντες, quam praeclaram Casauboni ad Athen. I, 19. p. 59. emendationem recondita illa, qua pollebat, doctrina firmavit et illustravit Criticorum princeps ad Tim. Lex. p. 136. [Ita habet codex unus e Bekkerianis Palatinus.]

10. ἐγὼ μέν μοι δοκῶ κατακείσεσθαι placet mihi recumbere. Frequens est hic usus τοῦ δοκεῖν futuro iuncti. Protag.

ἐν ὁποίῳ σχήματι οἴει ῥᾷστα ἀναγνώσεσθαι, τοῦτο ἑλόμενος ἀναγίγνωσκε. ΦΑΙ. Ἄκουε δή.

11. Περὶ μὲν τῶν ἐμῶν πραγμάτων ἐπίστασαι, καὶ ὡς νομίζω συμφέρειν ἡμῖν γενομένων τούτων ἀκήκοας· ἀξιῶ δὲ μὴ διὰ τοῦτο ἀτυχῆσαι ὧν δέομαι, p. 231. a. ὅτι οὐκ ἐραστὴς ὢν σου τυγχάνω. Ὡς ἐκείνοις μὲν τότε μεταμέλει ὧν ἂν εὖ ποιήσωσιν, ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται· τοῖς δὲ οὐκ ἔστι χρόνος, ἐν ᾧ μεταγνῶναι προσήκει. Οὐ γὰρ ὑπ' ἀνάγκης ἀλλ' ἑκόντες, ὡς ἂν ἄριστα περὶ τῶν οἰκείων βουλεύσαιντο, πρὸς τὴν δύναμιν τὴν αὑτῶν εὖ ποιοῦσιν. Ἔτι δὲ οἱ μὲν ἐρῶντες σκοποῦσιν, ἃ τε κακῶς διέθεντο b. τῶν αὑτῶν διὰ τὸν ἔρωτα, καὶ ἃ πεποιήκασιν εὖ, καὶ ὃν εἶχον πόνον προστιθέντες ἡγοῦνται πάλαι τὴν ἀξίαν ἀποδεδωκέναι χάριν τοῖς ἐρωμένοις. Τοῖς δὲ μὴ ἐρῶσιν οὔτε τὴν τῶν οἰκείων ἀμέλειαν διὰ τοῦτο ἔστι προφασίζεσθαι, οὔτε τοὺς παρεληλυθότας πόνους ὑπολογίζεσθαι, οὔτε τὰς πρὸς τοὺς προσ-

---

p. 339. e. *Δοκῶ οὖν μοι ἐγὼ παρακαλεῖν σε.* Aristoph. Plut. 1187. *αὐτός μοι δοκῶ — ἐνθάδ' αὐτοῦ καταμενεῖν.* Isocrat. ad Philipp. p. 189. *ὀκνήσας εἰπεῖν, ὃν ἤδη μοι δοκῶ δηλώσειν.* Lucian. Piscat. 29. *εἰ — ἐγὼ μὴ πρότερον ἔφθην εἰρηκὼς, νῦν προσθήσειν μοι δοκῶ.* Iulian. Orat. I. p. 6. *τῶν μὲν ἄλλων τοὺς ἐπαίνους διὰ τοῦτ' ἀφήσειν μοι δοκῶ.* [In nostro tamen loco Bekkeriani optimi *κατακεῖσθαι.*]

§. 11. *Περὶ μὲν τῶν ἐμῶν* — Medio quasi sermone orditur Lysias, ut *μεταξὺ εἰπόντι* superveniat auditor; qui iusti exordii neglectus infra vituperatur a Socrate §. 104. *Οὐ γὰρ ὑπ' ἀνάγκης, ἀλλ' ἑκόντες, ὡς ἂν* — *ita ut de suis ipsorum rebus optime consulant.* Plene *οὕτως ὡς*, v. ad §. 9. — *πρὸς τὴν δύναμιν τὴν αὑτῶν pro facultate sua:* vid. Duk. ad Thucyd. VI, 31.

ἡκοντας διαφορὰς αἰτιάσασθαι· ὥστε, περιῃρημένων τοσούτων κακῶν, οὐδὲν ὑπολείπεται ἀλλ' ἢ ποιεῖν προθύμως ὅ,τι ἂν αὐτοῖς οἴωνται πράξαντες χαριεῖσθαι. Ἔτι δὲ εἰ διὰ τοῦτο ἄξιον τοὺς ἐρῶντας 12.
περὶ πολλοῦ ποιεῖσθαι, ὅτι τούτους μάλιστά φασι c.
φιλεῖν ὧν ἂν ἐρῶσι, καὶ ἕτοιμοί εἰσι καὶ ἐκ τῶν λόγων καὶ ἐκ τῶν ἔργων τοῖς ἄλλοις ἀπεχθανόμενοι τοῖς ἐρωμένοις χαρίζεσθαι, ῥᾴδιον γνῶναι, εἰ ἀληθῆ λέγουσιν, ὅτι, ὅσων ἂν ὕστερον ἐρασθῶσιν, ἐκείνους αὐτῶν περὶ πλείονος ποιήσονται, καὶ δῆλον ὅτι, ἐὰν ἐκείνοις δοκῇ, καὶ τούτους κακῶς ποιήσουσι. Καίτοι πῶς εἰκός ἐστι τοιοῦτον πρᾶγμα προέσθαι τοιαύτην ἔχοντι συμφορὰν, ἣν οὐδ' ἂν ἐπιχειρήσειεν οὐ-

---

§. 12. Ἔτι δὲ, εἰ διὰ τοῦτο — *Praeterea si ideo par est amatores magni facere, quod hos potissimum vulgo dicunt amare, quorumcunque consuetudinem concupiverint, paratosque esse et verbis et factis cum ceterorum offensione iis, quos amant, gratificari, ea vulgi opinio an vera sit, facile inde existimatur, quod verendum est, ne, quorumcunque amore postmodo aliquando incensi fuerint, illos his pluris sint aestimaturi.* Ad *φασὶ* intellige *οἱ πολλοὶ*, *homines; τούτους* autem sine dubio referendum ad *τοὺς ἐρῶντας*, non ad illos, qui significantur verbis *ὧν ἂν ἐρῶσι*: quanquam hic stilum accuratum magnopere desidero. Neque enim placet omissum *ὅτι* in verbis *καὶ ἕτοιμοί εἰσι*: pro quo omnino praestabat *καὶ ἑτοίμους εἶναι*: neque mox subaudiendi nominativi mutatio in *ἀληθῆ λέγουσι* et *ἐρασθῶσιν*. — *φιλεῖν* h. l. opponitur *τῷ ἐρᾶν*, ut omnino *ἡ ἰσχυρὰ ἐπιθυμία ἔρως καλεῖται*. Xenoph. Mem. III, 9, 7. — *ποιήσονται*. Vind. *ποιήσωνται*. Male. *ἐκείνους*, *illos, quos in posterum aliquando amaturi sunt*: *τούτους*, *hos, quorum cum maxime consuetudine fruuntur.*

12. *Καίτοι πῶς εἰκὸς* — Aliud infertur argumentum, cur fugienda sit amatoris consuetudo, atque eiusmodi est argumentationis tenor: *Si fidam sinceramque amatorum amici-*

d. δεὶς ἔμπειρος ὢν ἀποτρέπειν; Καὶ γὰρ αὐτοὶ ὁμολογοῦσι νοσεῖν μᾶλλον ἢ σωφρονεῖν, καὶ εἰδέναι, ὅτι κακῶς φρονοῦσιν, ἀλλ' οὐ δύνασθαι αὑτῶν κρατεῖν. Ὥστε πῶς ἂν εὖ φρονήσαντες ταῦτα καλῶς ἔχειν ἡγήσαιντο, περὶ ὧν οὕτω διακείμενοι βούλονται; 13. Καὶ μὲν δὴ εἰ μὲν ἐκ τῶν ἐρώντων τὸν βέλτιστον αἱροῖο, ἐξ ὀλίγων ἂν σοι ἡ ἔκλεξις εἴη· εἰ δ' ἐκ τῶν ἄλλων τὸν σαυτῷ ἐπιτηδειότατον, ἐκ πολλῶν. Ὥστε e. πολὺ πλείων ἐλπὶς ἐν τοῖς πολλοῖς ὄντα τυχεῖν τὸν ἄξιον τῆς σῆς φιλίας. Εἰ τοίνυν τὸν νόμον τὸν καθεστηκότα δέδοικας, μὴ πυθομένων τῶν ἀνθρώπων ἔνειδός σοι γένηται, εἰκός ἐστι, τοὺς μὲν ἐρῶντας,

---

tiam laudant vulgo, errant, quum nihil sit inconstantius amatore: at vero, hoc etiam omisso, periculosa est admodum amatoris consuetudo, ut qui insanabili quodam morbo teneatur, neque sui ipse sit compos. Sed obscura sunt illa τοιοῦτον πρᾶγμα προέσθαι, talem permittere rem, haud dubie tamen referenda ad χάριν illam seu usum amatorium, quem tota hac disputatione tangit magis oblique scriptor, quam diserte exprimit, ex quo saepius nascitur molesta obscuritas. Ita Aristaenet. I, 24. p. 58. προῖκα δὲ μόνῳ τῷ Λυσίᾳ τὴν σὴν ἐκδέδωκας ὥραν.

12. Ὥστε πῶς ἂν εὖ φρονήσαντες — [In his ἡγήσαιντο pro -ωνται repositum a Be. ex optimis.] Vulgo περὶ ὧν οὗτοι διακείμενοι βούλονται, sine sensu. In promptu erat οὕτω corrigere pro οἵτοι, et βουλεύονται pro βούλονται, ut §. 11. ὡς ἂν ἄριστα περὶ τῶν οἰκείων βουλεύσαιντο: quod Stephanum non fefellit, qui tamen reponens περὶ ὧν οὕτω διακείμενοι βουλεύονται, praegressum illud εὖ φρονήσαντες, postquam resipuerunt, non respexit. Legendum οὕτω διακ. βεβούλευνται. [Ex his cum Be. recepimus certissimum οὕτω, quanquam in uno tantum Par. F inventum in marg. Duo alii οὑτωσί, sed itidem a manu corrig.]

§. 13. Εἰ τοίνυν τὸν νόμον — Schol. in Anecd. Siebenk. p. 56. λέγει τὸν νόμον εἶναι τοιοῦτον, ὡς νενομισμένου αἰσχροῦ

οὕτως ἂν οἰομένους καὶ ὑπὸ τῶν ἄλλων ζηλοῦσθαι, ὥσπερ αὐτοὺς ὑφ' αὑτῶν, ἐπαρθῆναι τῷ λέγειν καὶ φιλοτιμουμένους ἐπιδείκνυσθαι πρὸς ἅπαντας, ὅτι οὐκ ἄλλως αὐτοῖς πεπόνηται· τοὺς δὲ μὴ ἐρῶντας, κρείττους αὑτῶν ὄντας, τὸ βέλτιστον ἀντὶ τῆς δό- p. 232. a.

τοῦ χαρίζεσθαι· τοῦτο δὲ πρῶτον μὲν παρ' ἱστορίαν ἐστὶν, ἔτι δὲ καὶ ἐναντίωμα ἔχει etc. Nam futilia haec, ut huc transcribere reliqua pigeat, nisi quod bene *νόμον* h. l. cepit de *communi illa hominum opinione*, id quod ipsa haec epexegesis arguit *μὴ πυθομ. τῶν ἀνθρ. ὄνειδ. σοι γένηται*, non de lege illa Attica ap. Petit. L. A. VI. V, 5. ὥσπερ αὐτοὺς ὑφ' αὑτῶν. Aut plene dicendum erat, ὥσπερ αὐτοὶ ὑφ' αὑτῶν ζηλοῦνται, aut sine verbo ὥσπερ αὐτοὺς ὑφ' αὑτῶν, ex legitimo illo veterum more in oratione obliqua. Pessime Ficinus: *qui ita se amandos censent, ut ipsi alios amant.* In seqq. ἐπαρθῆναι etc. part. ὅτι pertinet liquido etiam ad λέγειν, quod, ita simpliciter dictum, non vereor ne quis interpretetur: *evulgare illam consuetudinem.* Sed ad seqq. si traxeris hoc λέγειν, meo sensu languet admodum. Cur non scripsit ἐπαρθῆναι τῷ φιλοτιμ. ἐπιδείκνυσθαι πρὸς ἅπαντας, ὅτι οὐκ ἄλλως etc.? in quo tamen ipso haererem. Nam et ἐπαίρεσθαι, *efferri et inflari aliqua re*, adiunctam habere solet praepositionem, ut ἐπαίρεσθαι ἐπὶ πλούτῳ Xenoph. Mem. I, 2, 25. et ἐπαίρεσθαι πρὸς τὰς τύχας τῶν ἐναντίων Thucyd. VI, 11.; contra ἐπαίρεσθαί τινι est *incitari aliqua re:* vid. Tim. Lex. p. 119. ibiq. Ruhnk.: et ἐπαίρεσθαι, *superbire ipso illo amore*, commode dici poterant amatores; ἐπαίρεσθαι *illa in vulgus ostentatione*, τῷ φιλοτιμ. ἐπιδείκνυσθαι, non item. Corrigendum puto ἐπαρθῆναι τούτῳ λέγειν καὶ —, ut τούτῳ referatur ad praegressa οὕτως ἂν οἰομένους etc. hoc sensu: *verisimile est, eos illa opinione incitari, ut dicant atque adeo ambitiose se iactent apud omnes, non irritos labores suos fuisse.* [Ego veram scripturam nunc video esse, quam praebent codd. praestantes Ven. *II*, Par. D, et unus ex Hermiae codd., ἐπαρθῆναι τὸ λέγειν abundante articulo, ut in illo Sophoclis Aj. 1143. ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν, saepius in τὸ μὴ —. *Buttm.*] τὸ βέλτιστον, *clandestinum illum volu-*

14. ξης τῆς παρὰ τῶν ἀνθρώπων αἱρεῖσθαι. Ἔτι δὲ τοὺς μὲν ἐρῶντας πολλοὺς ἀνάγκη πυθέσθαι καὶ ἰδεῖν ἀκολουθοῦντας τοῖς ἐρωμένοις καὶ ἔργον τοῦτο ποι-
b. ουμένους, ὥστε, ὅταν ὀφθῶσι διαλεγόμενοι ἀλλή-λοις, τότε αὐτοὺς οἴονται ἢ γεγενημένης ἢ μελλούσης ἔσεσθαι τῆς ἐπιθυμίας συνεῖναι· τοὺς δὲ μὴ ἐρῶν-τας οὐδ' αἰτιᾶσθαι διὰ τὴν συνουσίαν ἐπιχειροῦσιν, εἰδότες, ὅτι ἀναγκαῖόν ἐστιν ἢ διὰ φιλίαν τῳ διαλέ-
15. γεσθαι ἢ δι' ἄλλην τινὰ ἡδονήν. Καὶ μὲν δὴ εἴ σοι δέος παρέστηκεν ἡγουμένῳ, χαλεπὸν εἶναι φιλίαν

---

ptatis *fructum*. ἀντὶ τῆς δόξης — τῶν ἀνθρώπ. Nam amor ille ut pueris tum turpis erat, ita amatoribus erat honorificentissimus: vid. Plat. Symp. p. 182. d.

§. 14. Ἔτι δὲ τοὺς μὲν ἐρῶντας — In his πολλούς Ficin. vertit *vulgus*, ex quo tamen corrigi nolim τοὺς πολλούς. — ἀκολουθοῦντας. Nam catervatim honoris causa pueros sectari in publico solebant amatores. Conf. §. 19. Charmid. 3. Euthyd. p. 273. a. — ἔργον τοῦτο ποιουμένους, *in eoque studii et operae plurimum ponentes*, quod loquendi genus vulgatum est apud Atticos. Xenoph. Hiero IX, 10. πολλοὺς ἂν — τοῦτο ἐξορμήσειεν ἔργον ποιεῖσθαι τὸ σκοπεῖν τι ἀγαθόν. Dio Chrys. p. 394. d. ed. Morell. Ταῦτα — ἀκούετε τῶν τε ποιητῶν καὶ ἄλλων ἀνδρῶν αὐτὸ τοῦτο ἔργον πεποιημένων ἐγκωμιάζειν. Themist. X. p. 234. ed. Petav. δεινότητα τοσαύτην — οὐδὲ ἐν ῥήτορι τοῦτο ἔργον ποιουμένῳ ῥᾳδίως κατεῖδον. Cf. Graev. ad Luc. de Salt. 21. et Periz. ad Ael. V. H. 4, 15, 11. Monui propter Lentzium, qui τοῦτο, ad praegressa trahendum, ad seqq. trahens coniecit τοιοῦτο pro τοῦτο, *et tale quid facientes, unde illa suspicio nascatur*, quo sensu scripsisset Lysias potius καὶ τοιαῦτα ποιοῦντας, ὥστε. — Mox pro τῆς ἐπιθυμίας magis placeret τῆς ἀπολαύσεως, et deinde ἢ δι' ἄλλην τινὰ ἀνάγκην seu χρείαν. Ita ne in singulis quidem verbis laudandus est libelli huius scriptor, ne quid dicam de absurdis sententiis, vix sophista dignis.

§. 15. Καὶ μὲν δὴ εἴ σοι — ἄλλῳ μὲν τρόπῳ, alias, *extra hanc inter amatum amasiumque coniunctionem*. κοινὴν

συμμένειν, καὶ ἄλλῳ μὲν τρόπῳ διαφορᾶς γενομένης κοινὴν ἀμφοτέροις καταστῆναι τὴν συμφοράν, προεμένου δέ σου ἃ περὶ πλείστου ποιεῖ, μεγάλην ἂν σοι c. βλάβην γενέσθαι, εἰκότως ἂν τοὺς ἐρῶντας μᾶλλον φοβοῖο. Πολλὰ γὰρ αὐτούς ἐστι τὰ λυποῦντα, καὶ πάντ' ἐπὶ τῇ αὑτῶν βλάβῃ νομίζουσι γίγνεσθαι. Διόπερ καὶ τὰς πρὸς τοὺς ἄλλους τῶν ἐρωμένων συνουσίας ἀποτρέπουσι, φοβούμενοι τοὺς μὲν οὐσίαν κεκτημένους, μὴ χρήμασιν αὐτοὺς ὑπερβάλωνται, τοὺς δὲ πεπαιδευμένους, μὴ συνέσει κρείττους γένωνται, τῶν d. δ' ἄλλο τι κεκτημένων ἀγαθὸν τὴν δύναμιν ἑκάστου φυλάττονται. Πείσαντες μὲν οὖν ἀπέχθεσθαί σε τούτοις, εἰς ἐρημίαν φίλων καθιστᾶσιν· ἂν δὲ τὸ σεαυτοῦ σκοπῶν ἄμεινον ἐκείνων φρονῇς, ἥξεις αὐτοῖς εἰς διαφοράν. Ὅσοι δὲ μὴ ἐρῶντες ἔτυχον, 16. ἀλλὰ δι' ἀρετὴν ἔπραξαν ὧν ἐδέοντο, οὐκ ἂν τοῖς συνοῦσι φθονοῖεν, ἀλλὰ τοὺς μὴ ἐθέλοντας μισοῖεν,

---

ἀμφοτ., *quatenus iam alter alterius caret amicitia et officiis.* προεμένου δέ σου ἃ — *in illo autem usu, ubi tu in amatoris gratiam carissima quaevis remiseris*, ut *famam* §. 13., *ceterorum familiaritates* etc. Sed in hac obscuritate harioli munere fungendum, non interpretis. [μᾶλλον φοβοῖο. Be. ex opt. ἄν iterum inserit ante φοβ.]

15. Διόπερ καὶ τὰς — [Vulgo contra codd. τῆς, cui seqq. aptaverat Hdf. scribendo τὸν ἐρώμενον.] Πείσαντες μὲν οὖν — In his corrigi saltem debebat τούτων: ego ex certa Schleiermacheri emendatione revocavi ἀπέχθεσθαι pro ἀπέχεσθαι. [Acc. Cod. Par. F.] Conf. §. 17.

§. 16. ἀλλὰ δι' ἀρετὴν — *qui suis meritis, non artificiis istis amatoriis assecuti sunt, quod cupiebant*, in quibus πράττειν haud dubie de impura consuetudine accipiendum. —

ἡγούμενοι ὑπ' ἐκείνων μὲν ὑπερορᾶσθαι, ὑπὸ τῶν
e. συνόντων δὲ ὠφελεῖσθαι. Ὥστε πολὺ πλείων ἐλπὶς,
φιλίαν αὐτοῖς ἐκ τοῦ πράγματος ἢ ἔχθραν γενήσε-
σθαι. Καὶ μὲν δὴ τῶν μὲν ἐρώντων πολλοὶ πρότε-
ρον τοῦ σώματος ἐπεθύμησαν, ἢ τὸν τρόπον ἔγνω-
σαν, καὶ τῶν ἄλλων οἰκείων ἔμπειροι ἐγένοντο, ὥστε
ἄδηλον αὐτοῖς εἰ ἔτι τότε βουλήσονται φίλοι εἶναι,
p. 233. a. ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται· τοῖς δὲ μὴ ἐρῶ-
σιν, οἳ καὶ πρότερον ἀλλήλοις φίλοι ὄντες ταῦτα
ἔπραξαν, οὐκ, ἐξ ὧν ἂν εὖ πάθωσι, ταῦτα εἰκὸς
ἐλάττω τὴν φιλίαν αὐτοῖς ποιῆσαι, ἀλλὰ ταῦτα μνη-

ἡγούμενοι ὑπ' ἐκείνων — *putantes ab illis te despici, a familiaribus autem adiuvari.* Nam σε ni excidit, tacite id subaudiendum ad ὑπερορᾶσθαι, ut ante σοι ad συνοῦσι, neque id dure omissum. Theaet. p. 151. c. Πολλοὶ γὰρ ἤδη, ὦ θαυμάσιε, πρὸς ἐμὲ οὕτω διετέθησαν, ὥστε ἀτεχνῶς δάκνειν ἕτοιμοι εἶναι, ἐπειδάν τινα λῆρον αὐτῶν ἀφαιρῶμαι, καὶ οὐκ οἴονται εὐνοίᾳ τοῦτο ποιεῖν sc. με. [Schleiermacher, quem vid. in Ed. sec., non ad amasium sed ad ipsos amatores refert istud ὑπερορᾶσθαι et ὠφελεῖσθαι.] Ὥστε πολὺ πλείων ἐλπὶς — ἐκ τοῦ πράγματος, *ex illa consuetudine.* Hanc quoniam neque amicitiam simplicem neque vero amorem esse vult, fingit enim se μὴ ἐρῶντα, eiusmodi opus erat vocabulo fluctuante et ambiguo. Conf. §. 12.

16. τοῖς δὲ μὴ ἐρῶσιν — Verborum ordo est hic: οὐκ εἰκὸς, τοῖς μὴ ἐρῶσιν, οἳ, ὄντες καὶ πρότερον ἀλλήλοις φίλοι, ταῦτα ἔπραξαν, ταῦτα, ἐξ ὧν ἂν εὖ πάθωσι, ἐλάττω (αὐτοῖς) τὴν φιλίαν ποιῆσαι. In quibus ταῦτα ἔπραξαν hic quoque obsceno significatu capiendum. ταῦτα, ἐξ ὧν — *istam voluptatem, qua alter alteri morigeratur.* Illud αὐτοῖς post dativum τοῖς μὴ ἐρῶσιν paullo remotiorem illatum est abundanter more pervulgato. Enimvero quae adduntur ἀλλὰ ταῦτα μνημεῖα καταλειφθῆναι τῶν μελλόντων ἔσεσθαι, in iis *monumenta rerum futurarum* non vereor ne quis oxymori nomine excuset; adeo hoc est absonum. Repone σημεῖα. [Nisi illud ar-

μεῖα καταλειφθῆναι τῶν μελλόντων ἔσεσθαι. Καὶ 17.
μὲν δὴ βελτίονί σοι προσήκει γενέσθαι ἐμοὶ πειθομένῳ, ἢ ἐραστῇ. Ἐκεῖνοι μὲν γὰρ καὶ παρὰ τὸ βέλτιστον τά τε λεγόμενα καὶ τὰ πραττόμενα ἐπαινοῦσιν, τὰ μὲν δεδιότες μὴ ἀπέχθωνται, τὰ δὲ καὶ αὐτοὶ χεῖρον διὰ τὴν ἐπιθυμίαν γιγνώσκοντες. Τοι- b.
αῦτα γὰρ ὁ ἔρως ἐπιδείκνυται· δυστυχοῦντας μέν, ἃ μὴ λύπην τοῖς ἄλλοις παρέχει, ἀνιαρὰ ποιεῖ νομίζειν, εὐτυχοῦντας δὲ, καὶ τὰ μὴ ἡδονῆς ἄξια παρ' ἐκείνων ἐπαίνου ἀναγκάζει τυγχάνειν. Ὥστε πολὺ μᾶλλον ἐλεεῖν τοὺς ἐρωμένους ἢ ζηλοῦν αὐτοὺς προσ- 18.
ήκει. Ἐὰν δ' ἐμοὶ πείθῃ, πρῶτον μὲν οὐ τὴν παρούσαν ἡδονὴν θεραπεύων συνέσομαί σοι, ἀλλὰ καὶ

---

gute dictum de monumentis praeteritorum quibus futurorum signa insunt. *Buttm.*]

§. 17. *Καὶ μὲν δὴ βελτίονι — Atque meliorem te fieri oportet, si mihi obedias, quam si amatori.* In quibus illud ἢ liquido pendet a *βελτίονι*, ut frustra Lentzius *μᾶλλον* ante *πειθομένῳ* excidisse coniecerit. — *παρὰ τὸ βέλτιστον.* Stob. Serm. LXII. p. 404. ubi haec *καὶ μὲν δὴ — αὐτοὺς προσήκει* laudat, scriptum habet *βέλτιον.* Male. Xenoph. Cyrop. V, 1, 8. *Οἴει — ἱκανὸν εἶναι κάλλος ἀνθρώπου, ἀναγκάζειν τὸν μὴ βουλόμενον πράττειν παρὰ τὸ βέλτιστον;* Mox post *εὐτυχοῦντας δὲ* quum sic procedere deberet structura: *καὶ τὰ μὴ ἡδονῆς ἄξια ἐπαινεῖν ἀναγκάζει*, quo rotundior exeat periodus, subito convertitur oratio, ut *εὐτυχοῦντας* haberi possit pro accusativo absoluto. Cf. de rep. VIII. p. 565. d. *ὡς ἄρα ὁ γενσάμενος τοῦ ἀνθρωπίνου σπλάγχνου ἐν ἄλλοις ἄλλων ἐρεῖων ἑνὸς ἐγκαταμεμιγμένου, ἀνάγκη δὴ τούτῳ λύκῳ γενέσθαι.* — *ἐπαίνου.* Stob. *ἐπαίνων.* [Pro *τοὺς ἐρωμένους* dativum miro consensu praebent codd. cui lectioni suffragatur sane subsequens *αὐτοὺς* otiosum in vulgata.]

§. 18. *Ἐὰν δ' ἐμοὶ πείθῃ — Mihi si obedias, non amatori.* Vulgo male *Ἐὰν δέ μοι.* *Εἰ δ' ἄρα — παρὲ-*

c. τὴν μέλλουσαν ὠφέλειαν ἔσεσθαι, οὐχ ὑπ' ἔρωτος ἡττώμενος, ἀλλ' ἐμαυτοῦ κρατῶν, οὐδὲ διὰ σμικρὰ ἰσχυρὰν ἔχθραν ἀναιρούμενος, ἀλλὰ διὰ μεγάλα βραδέως ὀλίγην ὀργὴν ποιούμενος, τῶν μὲν ἀκουσίων συγγνώμην ἔχων, τὰ δὲ ἑκούσια πειρώμενος ἀποτρέπειν. Ταῦτα γάρ ἐστι φιλίας πολὺν χρόνον ἐσομένης τεκμήρια. Εἰ δ' ἄρα σοι τοῦτο παρέστηκεν, ὡς οὐχ οἵόντε ἰσχυρὰν φιλίαν γενέσθαι, ἐὰν μή τις ἐρῶν τυγχάνῃ, ἐνθυμεῖσθαι χρὴ, ὅτι οὔτ' ἂν τοὺς υἱεῖς
d. περὶ πολλοῦ ἐποιούμεθα οὔτ' ἂν τοὺς πατέρας καὶ τὰς μητέρας, οὔτ' ἂν πιστοὺς φίλους ἐκεκτήμεθα, οἳ οὐκ ἐξ ἐπιθυμίας τοιαύτης γεγόνασιν, ἀλλ' ἐξ ἐτέ-
19. ρων ἐπιτηδευμάτων. Ἔτι δὲ εἰ χρὴ τοῖς δεομένοις μάλιστα χαρίζεσθαι, προσήκει καὶ τῶν ἄλλων μὴ τοὺς βελτίστους, ἀλλὰ τοὺς ἀπορωτάτους εὖ ποιεῖν. Μεγίστων γὰρ ἀπαλλαγέντες κακῶν πλείστην χάριν αὐτοῖς εἴσονται. Καὶ μὲν δὴ καὶ ἐν ταῖς ἰδίαις δα-

---

στηκε, *si vero illa animum subierit cogitatio.* Tritum est παρίστασθαι hac potestate, quam optime declaravit Hemsterh. ad Lucian. Contempl. 13. itemque Lennep. ad Phalarid. p. 244. Ipsa autem sententia hac nihil esse potest ieiunius aut languidius.

§. 19. Ἔτι δὲ εἰ χρὴ — τοῖς δεομένοις i. e. *iis qui hac re egent, qui huiusmodi consuetudinis cupiditate incensi sunt.* Cf. Xen. Mem. III, 11, 13. ubi Socr. loquitur cum meretrice. Argumentationis autem ratio huiusmodi est: *si verum est, egentibus potissimum obsequendum esse in amore, sequitur, ex ceterorum quoque numero non optimis esse benefaciendum, sed egentissimis, ut qui plurimum sint gratiae habituri. Ergo ad privata etiam convivia vocandi sunt non amici, sed mendici potius et esurientes. At vero longe aliter res se habet, ut non maxime egentibus obsequendum sit, sed iis, qui prae ceteris*

πάναις οὐ τοὺς φίλους ἄξιον παρακαλεῖν, ἀλλὰ τοὺς e.
προσαιτοῦντας καὶ τοὺς δεομένους πλησμονῆς. Ἐκεῖ-
νοι γὰρ καὶ ἀγαπήσουσι καὶ ἀκολουθήσουσι καὶ ἐπὶ
τὰς θύρας ἥξουσι καὶ μάλιστα ἡσθήσονται καὶ οὐκ
ἐλαχίστην χάριν εἴσονται καὶ πολλὰ ἀγαθὰ αὐτοῖς
εὔξονται. Ἀλλ' ἴσως προσήκει οὐ τοῖς σφόδρα δεο- 20.
μένοις χαρίζεσθαι, ἀλλὰ τοῖς μάλιστα ἀποδοῦναι
χάριν δυναμένοις· οὐδὲ τοῖς ἐρῶσι μόνον, ἀλλὰ τοῖς
τοῦ πράγματος ἀξίοις· οὐδὲ ὅσοι τῆς σῆς ὥρας ἀπο- p. 234.
λαύσονται, ἀλλὰ οἵτινες πρεσβυτέρῳ γενομένῳ τῶν a.
σφετέρων ἀγαθῶν μεταδώσουσιν· οὐδὲ οἳ διαπρα-
ξάμενοι πρὸς τοὺς ἄλλους φιλοτιμήσονται, ἀλλ' οἵ-
τινες αἰσχυνόμενοι πρὸς ἅπαντας σιωπήσονται· οὐδὲ
τοῖς ὀλίγον χρόνον σπουδάζουσιν, ἀλλὰ τοῖς ὁμοίως

---

gratiam referre valeant etc. — *καὶ τῶν ἄλλων* h. e. *τῶν μὴ ἐρώντων*. Tum in verbis *Μεγίστων γάρ — εἴσονται* pro *αὐτοῖς* mallem *οἵτοι*, ni mox eodem modo inferretur *αὐτοῖς* in illis *πολλὰ ἀγαθὰ αὐτοῖς εὔξονται*. Sed dure est utique hoc *οἵτοι* omissum. *αὐτοῖς* int. *τοῖς ἀπαλλάξασι κακῶν* seu *τοῖς εὖ ποιοῦσιν*. [Omni medeberis incommodo si cum Be. eiusque mss. pro *τῶν ἄλλων* legas *τοῖς ἄλλοις* h. e. iis quibus cetera omnia dispensandi copia est. Mirum tamen quod Cod. Clark. siletur: ut hic vulgatum habere videatur.]

§. 20. *Ἀλλ' ἴσως* — Mira et nimia videretur in verbo *ἴσως* modestia, ni id ita saepe in re certa adhiberet Attica urbanitas, ubi malles potius verbum *utique*, *sane*, *sine dubio* sonans: v. Locella ad Xenoph. Ephes. p. 188. — *τοῦ πράγματος, τοῦ χαρίζεσθαι.* Mox *διαπραξάμενοι* i. e. *expleta ista cupiditate*. Symp. p. 181. b. *Ἐρῶσι — τῶν σωμάτων μᾶλλον ἢ τῶν ψυχῶν, ἔπειτα ὡς ἂν δύνωνται ἀνοητοτάτων, πρὸς τὸ διαπράξασθαι μόνον βλέποντες, ἀμελοῦντες δὲ τοῦ καλῶς ἢ μή.* — Post paullo pro *σπουδάζουσι* Stephanus malebat *σπουδάσουσι*: contra usum pro *σπουδάσονται*. Verum recte

διὰ παντὸς τοῦ βίου φίλοις ἐσομένοις· οὐδὲ οἵτινες παυόμενοι τῆς ἐπιθυμίας ἔχθρας πρόφασιν ζητήσου-
b. σιν, ἀλλ' οἱ, παυσάμενοι τῆς ὥρας, τότε τὴν αὑτῶν
21. ἀρετὴν ἐπιδείξονται. Σὺ οὖν τῶν τε εἰρημένων μέμνησο καὶ ἐκεῖνο ἐνθυμοῦ, ὅτι τοὺς μὲν ἐρῶντας οἱ φίλοι νουθετοῦσιν, ὡς ὄντος κακοῦ τοῦ ἐπιτηδεύματος, τοῖς δὲ μὴ ἐρῶσιν οὐδεὶς πώποτε τῶν οἰκείων ἐμέμψατο, ὡς διὰ τοῦτο κακῶς βουλευομένοις περὶ ἑαυτῶν. Ἴσως ἂν οὖν ἔροιό με, εἰ ἅπασί σοι παραινῶ τοῖς μὴ ἐρῶσι χαρίζεσθαι· ἐγὼ δὲ οἶμαι, οὐδ'
c. ἂν τὸν ἐρῶντα πρὸς ἅπαντάς σε κελεύειν τοὺς ἐρῶν-

---

habet σπουδάζουσι, quod respondet superioribus δεομένοις, δυναμένοις, ἐρῶσιν. Ipsam locutionem σπουδάζειν τινά, *diligere et colere aliquem*, satis vulgarem, illustravit Bergler. ad Alciphron. p. 120. Sed in extrema hac verborum comprehensione vitium insedit manifestum. Nimirum amatores quomodo dici queant παυσάμενοι τῆς ὥρας, non intelligo, quum ὥρα h. l., ut paullo ante, dictum sit de *eximia corporis forma*. Cf. infra. §. 38. ὄψιν πρεσβυτέραν καὶ οὐκ ἐν ὥρᾳ, de amatore dictum. Immo παύεσθαι ἀπολαύσεως τῆς ὥρας dici hic poterant amatores: sed quod in hunc sensum rescribendum olim videbatur ἀπολαυσάμενοι pro παυσ. contra usum peccabat, perperamque Brunckius ap. Aristoph. Av. 1358. tacite reposuit ἀπελαυσάμην. Itaque redeo nunc ad illud quod primum conieci, παυσαμένῳ, velut Alcib. I. p. 131. e. dixit τὰ δὲ σὰ λήγει ὥρας, σὺ δ' ἄρχει ἀνθεῖν. Quanquam praegressa illa παυόμενοι τῆς ἐπιθυμίας requirere h. l. videntur aliud participium, quod ad ipsos referatur amatores. Τότε autem, *tum demum*, post participia illatum, ut οὕτως, εἶτα, ἔπειτα frequentissimi est usus.

§. 21. οἱ φίλοι νουθετοῦσιν — Symp. p. 183. c. παιδαγωγοὺς ἐπιστήσαντες οἱ πατέρες τοῖς ἐρωμένοις, οὐκ ἐῶσι διαλέγεσθαι τοῖς ἐραστάις —, ἡλικιῶται δὲ καὶ ἕτεροι (l. ἑταῖροι) ὀνειδίζουσιν, ἐάν τι ὁρῶσι τοιοῦτο γιγνόμενον καὶ τοὺς ὀνειδίζοντας αὖ οἱ πρεσβύτεροι οὐ διακωλύουσιν, οὐδὲ λοιδοροῦσιν, ὡς οὐκ

τας ταύτην ἔχειν τὴν διάνοιαν. Οὔτε γὰρ τῷ λαμβάνοντι χάριτος ἴσης ἄξιον, οὔτε σοι βουλομένῳ τοὺς ἄλλους λανθάνειν ὁμοίως δυνατόν. Δεῖ δὲ βλάβην μὲν ἀπ' αὐτοῦ μηδεμίαν, ὠφέλειαν δὲ ἀμφοῖν γίγνεσθαι. Ἐγὼ μὲν οὖν ἱκανά μοι νομίζω τὰ εἰρημένα· εἰ δ' ἔτι τι σὺ ποθεῖς, ἡγούμενος παραλελεῖφθαι, ἐρώτα.

Τί σοι φαίνεται, ὦ Σώκρατες, ὁ λόγος; οὐχ 22.
ὑπερφυῶς τά τε ἄλλα καὶ τοῖς ὀνόμασιν εἰρῆσθαι;
ΣΩ. Δαιμονίως μὲν οὖν, ὦ ἑταῖρε, ὥστε με ἐκπλα- d.
γῆναι. Καὶ τοῦτο ἐγὼ ἔπαθον διὰ σέ, ὦ Φαῖδρε, πρὸς σὲ ἀποβλέπων, ὅτι ἐμοὶ ἐδόκεις γάνυσθαι ὑπὸ τοῦ λόγου μεταξὺ ἀναγιγνώσκων. Ἡγούμενος γὰρ σὲ μᾶλλον ἢ ἐμὲ ἐπαΐειν περὶ τῶν τοιούτων σοὶ εἰπόμην, καὶ ἑπόμενος συνεβάκχευσα μετὰ σοῦ τῆς θείας κεφαλῆς. ΦΑΙ. Εἶεν, οὕτω δὴ δοκεῖ παίξειν; ΣΩ. Δοκῶ γάρ σοι παίζειν καὶ οὐχὶ ἐσπου-

---

ὀρθῶς λέγοντας. Οὔτε γὰρ τῷ λαμβάνοντι — [Be. ex opt. τῷ λόγῳ λαμβάνοντι. Schlei. dem der es sich recht überlegt.] Mox pro vulg. εἰ δέ τι σὺ ὑποθῇς, sensus et ratio sermonis flagitant εἰ δ' ἔτι τι σὺ ποθεῖς. Protag. 50. τοῦτ' ἔστι ὃ ἔτι ἐπιποθῶ. de rep. IX. init. Οἶσθ' οὖν ὃ ποθῶ ἔτι; [Sic Hdf. ad Theaet. 100., cuius crisis postea confirmata est codice Ven. Σ, qui dat εἰ δέ τι σὺ ποθεῖς, suffragantibus aliis qui habent σὺ ὑποθείς. Refinximus itaque locum ad mentem Heindorfii, qui voculam ἔτι quoque bene astruxisse videbatur.]

§. 22. [γάνυσθαι, veram scripturam loco vulgati γάννυσθαι, dederunt optimi Clark. et Vat.] — σοὶ εἰπόμην — *tecum in furorem quendam rapi me passus sum.* Mox illud τῆς θείας κεφαλῆς, a posterioribus certatim adhibitum, illustravit Bergler. ad Alciphr. p. 250., in quibus voc. θεῖος ad

e. δακέναι; ΦΑΙ. Μηδαμῶς, ὦ Σώκρατες, ἀλλ' ὡς ἀληθῶς εἰπὲ πρὸς Διὸς Φιλίου, οἴει ἄν τινα ἔχειν εἰπεῖν ἄλλον τῶν Ἑλλήνων ἕτερα τούτων μείζω καὶ
23. πλείω περὶ τοῦ αὐτοῦ πράγματος; ΣΩ. Τί δέ; καὶ ταύτη δεῖ ὑπ' ἐμοῦ τε καὶ σοῦ τὸν λόγον ἐπαινεθῆναι, ὡς τὰ δέοντα εἰρηκότος τοῦ ποιητοῦ, ἀλλ' οὐκ ἐκείνη μόνον, ὅτι σαφῆ καὶ στρογγύλα καὶ ἀκριβῶς ἕκαστα τῶν ὀνομάτων ἀποτετόρνευται; Εἰ γὰρ δεῖ, συγχωρητέον χάριν σήν. Ἐπεὶ ἔμεγε ἔλαθεν ὑπὸ
p. 235. a. τῆς ἐμῆς οὐδενίας. Τῷ γὰρ ῥητορικῷ αὐτοῦ μόνῳ

---

divinum refer *furorem*. Eurip. Hecub. 87. *θεία Ἑλένου ψυχά*. [*Μηδαμῶς* — Non expediverat hanc locutionem Hdf. quam recte nunc explicuit Engelhardus ad Menex. 4. p. 236. c. ubi leguntur haec: *Ἀλλ' ὅπως μή μοι χαλεπανεῖ ἡ διδάσκαλος, ἂν ἐξενέγκω αὐτῆς τὸν λόγον.* M. *Μηδαμῶς, ὦ Σώκρ., ἀλλ' εἰπὲ καὶ πάνυ μοι χαριεῖ.* Apparet ex forma *μή* in *μηδαμῶς*, ellipsin ante imperativum explendam esse sensu itidem imperativo, quem facile ministrant proxima: cf. alteram formam per *οὐδαμῶς* eodem Menexeni loco, quam perite distinguit Engelh. Itaque nostro loco supplendum *Μηδαμῶς οὕτω παίζε. Buttm.*] Illud *Φίλιος* frequens est Iovis cognomen, cuius templum apud Megalopolitas memorat Pausan. VIII, 31. Conf. Gottleb. ad Plat. Alcib I. 6. [Deinde in verbis *ἄλλον τῶν Ἑλλήνων* vulgatum fuerat *ἄλλων* ex mero Stephanianae mendo.]

§. 23. *ὅτι σαφῆ καὶ στρογγύλα καὶ ἀκριβῶς* — Plutarch. de Audit. p. 45. a. *Καὶ γὰρ ὁ Πλάτων τὸν Λυσίου λόγον οὔτε κατὰ τὴν εὕρεσιν ἐπαινῶν καὶ τῆς ἀταξίας αἰτιώμενος, ὅμως αὐτοῦ τὴν ἐπαγγελίαν ἐπαινεῖ καὶ ὅτι τῶν ὀνομάτων σαφῶς καὶ στρογγύλως ἕκαστον ἀποτετόρνευται*, in quibus hoc *ἀκριβῶς* omisit, quod post adiectiva illa *σαφῆ καὶ στρογγύλα* parum placet. De voc. *στρογγύλος* vid Ernesti Lex. Tech. Gr. Rhet. p. 320. et de illo *ἀποτορνεύειν* Bentlei. ad Hor. A. P. 441. Superius autem illud *ποιητὴς* de *scriptore* omnino itidem adhibitum §. 27. Euthyd. p. 305. b. *ποιητὴς λόγων, οἷς οἱ ῥήτορες ἀγωνίζονται.* Et conf. Dorvill. ad Charit. p. 289. *Τῷ*

τὸν νοῦν προσεῖχον. Τοῦτο δὲ οὐδὲ αὐτὸν ᾠμην Λυσίαν οἴεσθαι ἱκανὸν εἶναι. Καὶ δὴ οὖν μοι ἔδοξεν, ὦ Φαῖδρε, εἰ μή τι σὺ ἄλλο λέγεις, δὶς καὶ τρὶς τὰ αὐτὰ εἰρηκέναι, ὡς οὐ πάνυ εὐπορῶν τοῦ πολλὰ λέγειν περὶ τοῦ αὐτοῦ, ἢ ἴσως οὐδὲν αὐτῷ μέλον τοῦ τοιούτου· καὶ ἐφαίνετο δή μοι νεανιεύεσθαι ἐπιδεικνύμενος ὡς οἷόστε ὢν ταυτὰ ἑτέρως τε καὶ ἑτέρως λέγων ἀμφοτέρως εἰπεῖν ἄριστα. ΦΑΙ. Οὐδὲν λέ- 24.
γεις, ὦ Σώκρατες. Αὐτὸ γὰρ τοῦτο καὶ μάλιστα b.
ὁ λόγος ἔχει. Τῶν γὰρ ἐνόντων ἀξίως ῥηθῆναι ἐν τῷ πράγματι οὐδὲν παραλέλοιπεν. Ὥστε παρὰ τὰ ἐκείνῳ εἰρημένα μηδὲν ἄν ποτε δύνασθαι εἰπεῖν ἄλλα πλείω καὶ πλείονος ἄξια. ΣΩ. Τοῦτο ἐγώ σοι οὐκέτι οἷόστε ἔσομαι πείθεσθαι. Παλαιοὶ γὰρ καὶ σοφοὶ ἄνδρες τε καὶ γυναῖκες περὶ αὐτῶν εἰρηκότες καὶ γεγραφότες ἐξελέγξουσί με, ἐάν σοι χαριζόμενος συγχωρῶ. ΦΑΙ. Τίνες οὗτοι, καὶ ποῦ σὺ βελτίω τούτων ἀκήκοας; ΣΩ. Νῦν μὲν οὕτως οὐκ ἔχω εἰ- c.

γὰρ ῥητορικῷ, *alteri disputationis parti, cui persuadendi vis inesse debet.* Τοῦτο δὲ οὐδέ — *in hoc autem ne ipse quidem Lysias, opinor, satisfecisse se putabit.* Haec est verborum sententia, male a Ficino et Cornario declarata, in qua tamen aegre careo particula ἄν. Καὶ δὴ οὖν — Vind. δίκαιον οὖν, natum ex verbis transpositis δὴ καὶ οὖν. Post correxi ταὐτὰ ἑτέρως τε. Ficin. *eandem rem.* Vulgo ταῦτα [quod servant Be. et Schlei.].

§. 24. Τῶν γὰρ ἐνόντων — i. e. τῶν δυναμένων, *quae dici poterant*, ut est in formula illa ἐκ τῶν ἐνόντων. Νῦν μὲν οὕτως — *sic ut nunc sum*, ἐξ ὑπογυίου. Conf. §. 127. Theaet. p. 158. b. εἴ τις ἔροιτο νῦν οὕτως ἐν τῷ παρόντι. de legg. IV. p. 712. d. Οὐκ ἔχω σοι φράζειν οὕτως, et deinde ἐγὼ οὕτω νῦν ἐξαίφνης ἂν ἐρωτηθεὶς (l. ἀνερωτηθεὶς) ὄντως, ὅπερ

πειν· δῆλον δέ, ὅτι τινῶν ἀκήκοα, ἢ που Σαπφοῦς τῆς καλῆς ἢ Ἀνακρέοντος τοῦ σοφοῦ, ἢ καὶ συγγραφέων τινῶν. Πόθεν δὴ τεκμαιρόμενος λέγω; Πλῆρές πως, ὦ δαιμόνιε, τὸ στῆθος ἔχων αἰσθάνομαι παρὰ ταῦτα ἂν ἔχειν εἰπεῖν ἕτερα μὴ χείρω. Ὅτι μὲν οὖν παρά γε ἐμαυτοῦ οὐδὲν αὐτῶν ἐννενόηκα, εὖ οἶδα, συνειδὼς ἐμαυτῷ ἀμαθίαν. Λείπεται δή, οἶμαι, ἐξ ἀλλοτρίων ποθὲν ναμάτων διὰ τῆς ἀκοῆς
d. πεπληρῶσθαί με δίκην ἀγγείου· ὑπὸ δὲ νωθείας αὖ καὶ αὐτὸ τοῦτο ἐπιλέλησμαι, ὅπως τε καὶ ὧντινων
25. ἤκουσα. ΦΑΙ. Ἀλλ', ὦ γενναιότατε, κάλλιστα εἴρηκας. Σὺ γὰρ ἐμοί, ὧντινων μὲν καὶ ὅπως ἤκουσας, μηδ' ἂν κελεύω εἴπῃς. Τοῦτο δὲ αὐτὸ ὃ λέγεις ποίησον· τῶν ἐν τῷ βιβλίῳ βελτίω τε καὶ μὴ ἐλάττω ἕτερα ὑποσχέθητι εἰπεῖν, τούτων ἀπεχόμενος.

εἶπον, οὐκ ἔχω διορισάμενος εἰπεῖν. Xenoph. Memor. III, 6, 9. οὐκ ἂν ἔχοιμί σοι οὕτως γε ἀπὸ στόματος εἰπεῖν. συγγραφέων, *ex prosae orationis scriptoribus.* V. ad Lysid. 3. Tum malim Πόθεν δέ. Ficin. *unde vero.*

24. Πλῆρές πως — [Sic omnes libri: vulgo Πλῆρές περ ex mendo Stephanianae.] Max. Tyr. Diss. XXIV, 7. Ἐπιδειξαμένου αὐτῷ τοῦ Μυρρινουσίου Φαίδρου λόγον ὑπὸ Λυσίου τοῦ Κεφάλου συγγεγραμμένον ἐρωτικὸν, οὐκ ἔφη θαυμάζειν, πλῆρες τὸ στῆθος ἔχων, ὥσπερ ἀγγεῖον, ἀλλοτρίων ναμάτων, ἢ που Σαπφοῦς τῆς καλῆς, οὕτω γὰρ αὐτὴν ὀνομάζων χαίρει διὰ τὴν ὥραν τῶν μελῶν, καίτοι μικρὰν οὖσαν καὶ μέλαιναν, ἢ Ἀνακρέοντος, φησὶ, τοῦ σοφοῦ. Conf. intpp. ad Aelian. V. H. XII, 19. Respexit huc Themist. Or. I. p. 13. ἰδοὺ γὰρ αἰσθάνομαι, ὦ μακάριοι, τὸ στῆθος ὑποπιμπλάμενος etc. Porro in illis παρά γε ἐμαυτοῦ ex Vindob. γε restitui pro τε.

§. 25. μηδ' ἂν κελεύω — *ne iussus quidem a me.* Pro ὑποσχέθητι εἰπεῖν Lentzius legendum coniecit ὑποσχόμενος εἰπὲ, male offensus, opinor, praegresso illo ποίησον. Neque enim

Καί σοι ἐγὼ, ὥσπερ οἱ ἐννέα ἄρχοντες, ὑπισχνοῦ-
μαι χρυσῆν εἰκόνα ἰσομέτρητον εἰς Δελφοὺς ἀναθή-
σειν, οὐ μόνον ἐμαυτοῦ ἀλλὰ καὶ σήν. ΣΩ. *Φίλ-* e.
τατος εἶ καὶ ὡς ἀληθῶς χρυσοῦς, ὦ Φαῖδρε, εἴ με
οἴει λέγειν, ὡς Λυσίας τοῦ παντὸς ἡμάρτηκε καὶ
οἷόντε δή παρὰ πάντα ταῦτα ἄλλα εἰπεῖν. Τοῦτο
δὲ οἶμαι οὐδ' ἂν τὸν φαυλότατον παθεῖν συγγραφέα.
Αὐτίκα περὶ οὗ ὁ λόγος, τίνα οἴει λέγοντα, ὡς χρὴ 26.
μὴ ἐρῶντι μᾶλλον ἢ ἐρῶντι χαρίζεσθαι, παρέντα

---

id se facturum iam promiserat Socrates. Sensus est: *id unum autem, quod dicis, facias quaeso: meliora iis quae Lysias scripsit, neque pauciora alia, illis omissis, dicturum te promitte. Quod si promiseris, ego tibi repromitto auream statuam Delphis ponendam.* τούτων, τῶν ἐν τῷ βιβλίῳ, quod perperam Lentzius explicat τοῦ εἰπεῖν ὄντινων καὶ ὅπως ἤκουσας. [Illud ὑποσχέθητι, inauditam loco legitimi ὑπόσχου formam, solus Ven. Ξ praebet, proximum ἕτερα praeter Stephanum nemo. Be. restituit scripturam codicum ἑτέρᾳ ὑποσχέσει εἰπεῖν.] ὥσπερ οἱ ἐννέα ἄρχοντες. Pertinet huc Suidae glossa Χρυσῆ εἰκών. ὤμνυον οἱ Ἀθήνησιν ἄρχοντες, ἂν μὴ παρέλθωσιν, ἐφ' οἷς ἂν ἄρχωσιν, χρυσῆν εἰκόνα αὑτῶν ἀναθήσειν ἐν ἄστει, ἐν Πυθοῖ, ἐν Ὀλυμπίᾳ. ubi vid. Toup. E. C. p. 300. ed. Lips. Hinc intelligitur illud ἐμαυτοῦ mox illatum. ἰσομέτρητον, *magnitudine parem*, v. Dorvill. ad Charit. p. 314.

§. 26. Αὐτίκα περὶ οὗ ὁ λόγος, τί [sic enim vulgo] οἴει—; *Verbi causa, de quo nunc sermo est, quid censes, si quis non amanti potius quam amatori gratificandum esse dicat, cum, si de alterius sapientia nihil, nihil de alterius insania proferat, quae tamen proferre necesse est, nihilo minus alia quaedam, quae dicat, habiturum?* Similem infra habebis §. 118. Τί δαί; τὸν μελίγηρ. structurae tenorem; quanquam ibi post Τί δαί verbo πότερον interrogatio retexitur. Cic. de Off. II, 7, 12. *Quid enim censemus superiorem illum Dionysium, quo cruciatu timoris angi solitum* etc.? ubi vid Heusing. et conf. Manut. ad Cic. Or. pro Rosc. Amer. §. 17. Scilicet h. l. post verba ἀναγκαῖα γοῦν ὄντα propter illud

τοῦ μὲν τὸ φρόνιμον ἐγκωμιάζειν, τοῦ δὲ τὸ ἄφρον
p. 236. a. ψέγειν, ἀναγκαῖα γοῦν ὄντα, εἶτ' ἄλλ' ἄττα ἔξειν
λέγειν; Ἀλλ', οἶμαι, τὰ μὲν τοιαῦτα ἐατέα καὶ
συγγνωστέα λέγοντι, καὶ τῶν μὲν τοιούτων οὐ τὴν
εὕρεσιν ἀλλὰ τὴν διάθεσιν ἐπαινετέον, τῶν δὲ μὴ
ἀναγκαίων τε καὶ χαλεπῶν εὑρεῖν πρὸς τῇ διαθέσει
καὶ τὴν εὕρεσιν. ΦΑΙ. Συγχωρῶ ὃ λέγεις. Με-
τρίως γάρ μοι δοκεῖς εἰρηκέναι. Ποιήσω οὖν καὶ
ἐγὼ οὕτω· τὸ μὲν τὸν ἐρῶντα τοῦ μὴ ἐρῶντος μᾶλ-
b. λον νοσεῖν, δώσω σοι ὑποτίθεσθαι· τῶν δὲ λοιπῶν
ἕτερα πλείω καὶ πλείονος ἄξια εἰπὼν τῶν Λυσίου πα-
ρὰ τὸ Κυψελιδῶν ἀνάθημα σφυρήλατος ἐν Ὀλυμπίᾳ

εἶτα interrogandi particulam iterare neglexit. [Praestabat tamen hic quidem, quam ex opt. et plur. restituit Be. lectio τίνα.] In seqq. pro τὰ μέντοι τοιαῦτα repone τὰ μὲν τοιαῦτα. [Fecimus, accedente codicum auctoritate.] — Schol. Plat. p. 57. Τοιαῦτα καὶ τοιούτων περὶ τῶν ἀναγκαίων φησὶν, ὧν τὴν εὕρεσιν ἡ φύσις πορίζει, τὴν δὲ διάθεσιν ἡμεῖς κ. τ. λ. Nam reliqua transscribere taedet.

26. παρὰ τὸ Κυψελιδῶν ἀνάθημα. Schol. Ruhnk. p. 57. Κύψελος Περιάνδρου πατὴρ ἦν, οἵπερ οἱ υἱεῖς Κορίνθου τύραννοι γεγονότες ὑπὸ Κορινθίων κατελύθησαν· ἠύξαντο οὖν οὗτοι, εἰ πάλιν τὴν ἀρχὴν ἀνακτήσαιντο, χρυσοῦν ἀνδριάντα τῷ θεῷ ἀναθήσειν ἐν Ὀλυμπίᾳ ὁλόσφυρον· οἳ δὴ κρατήσαντες Κορίνθου, ἀνέθεσαν ἐκεῖσε μέγιστον ἄγαλμα χρυσοῦν τοῦ Διός. Quam Iovis statuam videtur significare Pausan. V. p. 378. τούτων (τῶν λόγων) ὁ μὲν Κύψελον τὸν τυραννήσαντα Κορινθίων φησὶν ἄγαλμα ἀναθεῖναι τῷ Διὶ χρυσοῦν ἐς Ὀλυμπίαν etc. Strabo VIII. p. 580. c. τοῦ δὲ περὶ τὸν οἶκον τοῦτον (τοῦ Κυψέλου) πλούτου μαρτύριον τὸ Ὀλυμπίασι ἀνάθημα Κυψέλου, σφυρήλατος χρυσοῦς ἀνδριὰς ἐυμεγέθης. Conf. ibid. p. 542. b. Et pertinet huc [illegible]dae glossa Κυψελιδῶν ἀνάθημα, cum epigrammate de quo vid. Jacobs. ad Brunck. Anal. III. p. 189. CXCIII. Add. Aristot. Polit. 5, 9, 4. De formula hac χρυσοῦν, χαλκοῦν τινα στῆσαι vid. Bergler. ad Alciphr. p. 127.

στάθητι. ΣΩ. Ἐσπούδακας, ὦ Φαῖδρε, ὅτι σου 27.
τῶν παιδικῶν ἐπελαβόμην ἐρεσχηλῶν σε, καὶ οἴει δή
με ὡς ἀληθῶς ἐπιχειρήσειν εἰπεῖν παρὰ τὴν ἐκείνου
σοφίαν ἕτερόν τι ποικιλώτερον. ΦΑΙ. Περὶ μὲν
τούτου, ὦ φίλε, εἰς τὰς ὁμοίας λαβὰς ἐλήλυθας.
Ῥητέον μέν γάρ σοι παντὸς μᾶλλον οὕτως ὅπως οἷός
τε εἶ· ἵνα δὲ μὴ τὸ τῶν κωμῳδῶν φορτικὸν πρᾶγμα c.
ἀναγκαζώμεθα ποιεῖν, ἀνταποδιδόντες ἀλλήλοις, εὐ-
λαβήθητι καὶ μὴ βούλου με ἀναγκάσαι λέγειν ἐκεῖνο,
τὸ Εἰ ἐγὼ, ὦ Σώκρατες, Σωκράτην ἀγνοῶ, καὶ
ἐμαυτοῦ ἐπιλέλησμαι, καὶ ὅτι Ἐπεθύμει μὲν λέγειν,

---

§. 27. τῶν παιδικῶν. Schol. ad Aristoph. Vesp. 1021. *Οὐχὶ δὲ μόνον οἱ ἐρώμενοι καλοῦνται διὰ τούτων τῶν ὀνομάτων, ἀλλὰ καὶ πάντες οἱ σπουδαζόμενοι πάνυ κατὰ μεταφορὰν τὴν ἀπ' ἐκείνων. Πλάτων Φαίδρῳ·* deinde haec laudat *Ἐσπούδακας — σε*, sed vitiose postrema. Eadem fere habet Schol. Ruhnk. ad Parmenid. p. 39. et conf. Bibl. Coislin. p. 475. — ἐρεσχηλῶν. [Veram hanc verbi scripturam, de qua vid. Piers. ad Moer. p. 159., hic et aliis locis auctoritate opt. librorum restituit Be.] Illud δὴ post οἴει ironiae inservit, ut saepe.

27. εἰς τὰς ὁμοίας λαβάς. Schol. Ruhnk. p. 58. *ἀπὸ μεταφορᾶς εἴρηται τῶν παλαιόντων, οἳ τοῦ ἀφωρισμένου αὐτοῖς πρὸς τὸ παλαίειν τόπου ὁπόταν ἐκπέσοιεν, εἶτα ἐπὶ τοῦ αὐτοῦ καὶ τόπου καὶ σχήματος εἰ πάλιν ἔλθοιεν, εἰς ὁμοίας ἐληλυθέναι λέγονται λαβὰς, ὡς καὶ νῦν ὁ Σωκράτης εἰς τὴν αὐτὴν τῷ Φαίδρῳ περιῆλθε προοποίησιν τοῦ μὴ δύνασθαι λέγειν.* Similisque est et accuratior, sed mendis plena proverbii huius explicatio, quam ex *Hermiae* Comment. protulit Siebenk. in Anecdot. Gr. p. 95. Recte autem habet, quod non satis olim perspexeram, haec veterum explicatio, modo deflexum paullulum agonisticae formulae sensum a Platone existimes. Conf. de rep. VIII. p. 544. b. *Πάλιν τοίνυν, ὥσπερ παλαιστὴς, τὴν αὐτὴν λαβὴν πάρεχε, καὶ τὸ αὐτὸ ἐμοῦ ἐρομένου πειρῶ εἰπεῖν, ἅπερ τότε ἔμελλες λέγειν.* τὸ τῶν κωμῳδῶν — Schol. Ruhnk. p. 58. *Ἔθος ἦν αὐτοῖς τὸ τοῖς ἐρωτῶσιν, οἷον, Δέδωκάς μοι*

ἐθρύπτετο δέ· ἀλλὰ διανοήθητι, ὅτι ἐντεῦθεν οὐκ ἄπιμεν, πρὶν ἂν σὺ εἴπῃς, ἃ ἔφησθα ἐν τῷ στήθει ἔχειν. Ἐσμὲν δὲ μόνω ἐν ἐρημίᾳ, ἰσχυρότερος δὲ
d. ἐγὼ καὶ νεώτερος. Ἐκ δ' ἁπάντων τούτων ξύνες ὅ σοι λέγω, καὶ μηδαμῶς πρὸς βίαν βουληθῇς μᾶλλον
28. ἢ ἑκὼν λέγειν. ΣΩ. Ἀλλ', ὦ μακάριε Φαῖδρε, γελοῖος ἔσομαι παρ' ἀγαθὸν ποιητὴν ἰδιώτης αὐτοσχεδιάζων περὶ τῶν αὐτῶν. ΦΑΙ. Οἶσθ' ὡς ἔχει; παῦσαι πρός με καλλωπιζόμενος· σχεδὸν γὰρ ἔχω, ὃ εἰπὼν ἀναγκάσω σε λέγειν. ΣΩ. Μηδαμῶς τοίνυν εἴπῃς. ΦΑΙ. Οὔκ, ἀλλὰ καὶ δὴ λέγω· ὁ δέ μοι λό-

---

τόδε; πάλιν τὸ αὐτὸ λέγειν τοὺς ἀποκρινομένους, Δέδωκας μοι τοῦτο. Οὕτως οὖν καὶ πρὸς Σωκράτη Φαῖδρον εἰπεῖν, ὡς εἰ ἐγὼ Σωκράτην ἀγνοῶ, καὶ τὰ ἑξῆς. Cf. Sophocl. Oed. T. 547. sqq. Aristoph. Eq. 286. sqq. 361. seqq.

27. Ἐσμὲν δὲ μόνω. Simili lepore de rep. I. p. 327. c. Ὁρᾷς οὖν ἡμᾶς, ἔφη, ὅσοι ἐσμέν; Πῶς γὰρ οὔ; Ἢ τοίνυν τούτων, ἔφη, κρείττους γένεσθε, ἢ μένετ' αὐτοῦ. et Phileb. p. 16. a. Ἆρ', ὦ Σώκρ., οὐχ ὁρᾷς ἡμῶν τὸ πλῆθος, ὅτι νέοι πάντες ἐσμέν, καὶ οὐ φοβεῖ, μή σοι μετὰ Φιλήβου ξυνεπιθώμεθα, ἐὰν ἡμᾶς λοιδορῇς; — Proxima illa Ἐκ δ' ἁπάντων τούτων — λέγω, cum gravitate quadam dicta facetissime, e Pindaro sumpsit. Vid. Meno 9. p. 76. d. [Boeckh. ad Pind. fr. 71.]

§. 28. Οἶσθ' ὡς ἔχει; *Nosti, quomodo res se habet.* Ita Cornarius sine interrogatione, quae tamen commoda satis, sensu tali: *Scin', quid sim facturus? desine delicias facere, alioquin dicam, quo te sum ad dicendum coacturus.* Verum in his Οὔκ, ἀλλὰ καὶ δὴ etc. interrogandi signum post οὔκ sustuli. Parmenid. p. 128. a. ἦ ἐγὼ οὐκ ὀρθῶς καταμανθάνω; Οὔκ, ἀλλά, φάναι τὸν Ζήνωνα, καλῶς συνῆκας ὅλον τὸ γράμμα ὃ βούλεται. Gorg. p. 453. d. Ὅστις διδάσκει ὁτιοῦν πρᾶγμα, πότερον, ὃ διδάσκει, πείθει ἢ οὔ; Οὐ δῆτα, ἀλλὰ πάντων μάλιστα πείθει. Tum illa ὁ δέ μοι λόγος ὅρκος ἐστὶ videntur colorem duxisse ex Hom. Iliad. α, 233. et 239.

γος ὅρκος ἔσται. Ὄμνυμι γάρ σοι τίνα μέντοι, τίνα θεῶν; ἢ βούλει τὴν πλάτανον ταυτηνί; ἢ μήν, ἐάν e.
μοι μὴ εἴπῃς τὸν λόγον ἐναντίον αὐτῆς ταύτης, μηδέποτέ σοι ἕτερον λόγον μηδένα μηδενὸς μήτ' ἐπιδείξειν μήτ' ἐξαγγελεῖν. ΣΩ. Βαβαί, ὦ μιαρέ, ὡς εὖ ἀνεῦρες τὴν ἀνάγκην ἀνδρὶ φιλολόγῳ ποιεῖν ὃ ἂν κελεύῃς. ΦΑΙ. Τί δῆτα ἔχων στρέφει; ΣΩ. Οὐδὲν ἔτι, ἐπειδὴ σύγε ταῦτα ὀμώμοκας. Πῶς γὰρ ἂν οἷός τ' εἴην τοιαύτης θοίνης ἀπέχεσθαι; ΦΑΙ. p. 237.
Λέγε δή. ΣΩ. Οἶσθ' οὖν ὡς ποιήσω; ΦΑΙ. Τοῦ a.

---

28. Ὄμνυμι γάρ σοι — In edd. horum haec est scriptura: Ὄμνυμι γάρ σοι τινὰ μέντοι τινὰ θεῶν, εἰ βούλει etc., in quibus Steph. corr. ἢ εἰ βούλει seu εἰ δὲ βούλει. Ald. et Bas. 1. 2. [et codd. omnes] ἢ βούλει et Ficin. *vel si vis:* ut arrideat illud ἢ εἰ βούλει. Sed praegressa quoque τινὰ — θεῶν iure Stephano suspecta erant de mendo, in quibus duplex τινὰ non poterit excusari per diplasiasmum illum veteribus adamatum, de quo vid. Dorvill. ad Charit p. 311. Ac fortasse ex Aristaeneto locum hunc ita imitato II, 2. p. 75. ὄμνυμι δέ σοι, φιλτάτη, τίνα μέντοι θεῶν; εἰ βούλει, μᾶλλον ἐπηυξάμην ἀρτίως θεούς, videatur alicui h. l. scribendum ὄμνυμι γάρ σοι τινὰ μέντοι θεῶν, ἢ εἰ βούλει etc. Sed Aristaeneti quoque locus corruptus est, et mire admodum illatum ita istud μέντοι. Igitur secutus sum Abreschii rationem, Obss. Misc. V. X. T. II. p. 212. haec ita scribentis; Ὄμνυμι γάρ σοι τίνα μέντοι, τίνα θεῶν; nisi quod ἢ βούλει recepi pro εἰ βούλει, quod interrogative accipi posse falso putavit Abreschius. Hoc ergo dicit: *iuro enim tibi per quem, per quemnam deorum? an vis me iurare per platanum hanc etc.?*

28. Τί δῆτα ἔχων — Vide de hoc loquendi genere Tim. Lex. p. 257. ibiq Ruhnk. Illud στρέφεσθαι satis est vulgare de *fallaci tergiversatione*. Aristoph. Acharn. 384. Τί ταῦτα στρέφει τεχνάζει τε καὶ πορίζεις τριβάς; Conf. Bud. Comm. Ling. Gr. p. 319. Aliud longe est μεταστρέφεσθαι, incommode huc allatum a Lentzio. Mox in formula Τοῦ

πέρι; ΣΩ. Ἐγκαλυψάμενος ἐρῶ, ἵνα ὅτι τάχιστα διαδράμω τὸν λόγον, καὶ μὴ βλέπων πρὸς σὲ ὑπ' αἰσχύνης διαπορῶμαι. ΦΑΙ. Λέγε μόνον, τὰ δ' ἄλ-
29. λα ὅπως βούλει ποίει. ΣΩ. Ἄγετε δή, ὦ Μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γένος μουσικὸν τὸ Λιγύων ταύτην ἔσχετ' ἐπωνυμίαν, ξύμ μοι λάβεσθε τοῦ μύθου, ὃν με ἀναγκάζει ὁ βέλτιστος
b. οὑτοσὶ λέγειν, ἵνα ὁ ἑταῖρος αὐτοῦ, καὶ πρότερον δοκῶν τούτῳ σοφὸς εἶναι, νῦν ἔτι μᾶλλον δόξῃ.

πέρι; Platoni frequentissima, subaudiendum λέγεις, ut de legg. II. p. 658. b. et IV. p. 708. e. τοῦ πέρι λέγεις; — Ad illa Ἐγκαλυψάμ. ἐρῶ etc. conf. Gell. Noct. Att. XIX, 9.

§. 29. Ἄγετε δή, ὦ Μοῦσαι — Duo supersunt Stesichori fragmenta, quae h. l. adumbrata videntur, alterum apud Eustath. II, α, p. 10. ed. Rom. Δεῦρ' ἄγε Καλλιόπεια λιγεῖα, alterum apud Strabonem VIII. p. 534. c. Ἄγε Μοῦσα λιγεῖα ἄρξον ἀοιδᾶς etc. Quae cum his comparanti mihi oborta est olim suspicio, illud λίγειαι reponendum esse post Μοῦσαι, idemque placuisse postmodo vidi Heerenio ad Menand. Rhet. p. 34. ex corrupta ibi Aldinae scriptura ἄτε δήμους καὶ λίγειαι. Nunc neque hac mutatione opus videtur, neque omnino hic quidquam movendum. Quippe ad λίγειαι petendum haud dubie ἐπονομάζεσθε vel tale aliquid ex proximis his ταύτην ἔσχετ' ἐπωνυμίαν, velut post §. 31. in illis περὶ — ἐδωδὴν — κρατοῦσα — ἐπιθυμία γαστριμαργία τε καὶ τὸν ἔχοντα ταυτὸν τοῦτο κεκλημένον παρέξεται, ad γαστριμαργία subaudiendum ex postremis κληθήσεται. Pro Λιγύων male Stob. Serm. LXII. p. 404. λιγὺ ὄν, neque adstipulor Stephano ex Ficino coniicienti λιγυρῶν aut Cornario corrigenti λιγυρόν. Schol. Plat. p. 58. Ἔθνος τι ἠπειρωτικὸν τῶν ἑσπερίων οὕτω μουσικώτατον τὸ Λιγύων εἶναι φασὶν, ὡς καὶ μηδ' ἐν τοῖς πολέμοις πανστρατιᾷ μάχεσθαι, ἀλλὰ τὸ μέν τι τοῦ στρατεύματος πολεμοῦντος ἀγωνίζεσθαι, τὸ δὲ ᾄδειν. Quod commentum unde ductum sit, ignoro, nisi forte originem habuit ex etymologia vocis λιγὺς et λιγυρὸς translatae ad gentem Λιγύων, Ligurum seu Ligusticam. Equidem traho hoc γένος μουσικὸν τὸ

Ἦν οὕτω δὴ παῖς, μᾶλλον δὲ μειρακίσκος μάλα καλός· τούτῳ δὲ ἦσαν ἐρασταὶ πάνυ πολλοί· εἷς δέ τις αὐτῶν αἱμύλος ἦν, ὃς οὐδενὸς ἧττον ἐρῶν ἐπεπείκει τὸν παῖδα, ὡς οὐκ ἐρῴη, καί ποτε αὐτὸν αἰτῶν ἔπειθε τοῦτ' αὐτό, ὡς μὴ ἐρῶντι πρὸ τοῦ ἐρῶντος δέοι χαρίζεσθαι, ἔλεγέ τε ὧδε· Περὶ παντὸς, ὦ παῖ, μία ἀρχὴ τοῖς μέλλουσι καλῶς βουλεύεσθαι·

Λιγύων ad *canoros illos apud Ligures cygnos*, de quibus vide illud ad unguem expolitum opus I. H. Vossii, Mythol. Br. T. II. p. 98. Atque pertinet huc in primis Pausaniae locus I, 31. p. 76. *ἔστι κύκνῳ τῷ ὄρνιθι μουσικῆς δόξα, ὅτι Λιγύων τῶν Ἠριδανοῦ πέραν ὑπὲρ γῆς τῆς Κελτικῆς Κύκνον ἄνδρα μουσικὸν γενέσθαι βασιλέα φασὶ, τελευτήσαντα δὲ Ἀπόλλωνος γνώμῃ μεταβαλεῖν λέγουσιν αὐτὸν ἐς τὸν ὄρνιθα κ. τ. λ.* — Dionys. Halic p. 128. et p. 166. *διὰ γένος τὸ Λιγύων μουσικὸν* et deinde *ἐσχ. τὴν ἐπωνυμίαν.* — Illa *ξύμ μοι λάβεσθε τοῦ μύθου* pro *ξυλλάβεσθέ μοι τοῦ μύθου*, ex poeta manifesto desumpta sunt, ut recte monuit Stephanus. Adhibuit autem haec Themist. Or. V. p. 138. *Δεῦρ' ἴτε οὖν, ὦ φίλαι Μοῦσαι, — σύν μοι λάβεσθε τοῦ ὕμνου* etc. Denique verba *ἵνα ὁ ἑταῖρος*, male in vulgatis *στιγμῇ μέσῃ* seiuncta ab antecedentibus, pertinent ad illa *ὅν με ἀναγκάζει ὁ βέλτιστος οὑτοσὶ λέγειν, quam orationem habere me cogit optimus hicce eo consilio, ut amicus ipsius Lysias, quem iam ante habebat scriptorem praestantissimum, nunc aemulum me nactus magis etiam illa dicendi virtute emineat.*

29. *Ἦν οὕτω δή* — Laudat haec Schol. ad Aristoph. Vesp. 1177., ob usum hunc vocis *οὕτω*, de quo monui ad Lysid. 29. Mox *μειρακίσκος* Atticis usurpatur de *molli et pathico* potissimum adolescente: v. Oudendorp. ad Thom. Mag. p. 604. [Post *μειρακίσκος* quod vulgo insertum legitur *ἁπαλὸς* non inventum in opt. et plur. omisit Be.] — *αἰτῶν* int. *τὴν χάριν, tentans eum.* *Περὶ παντὸς* — Simillima est sententia in Theage p. 122. b. hinc fortasse ducta (v. ad Lysid. 2.) *πρῶτον μὲν οὖν ἐγώ τε καὶ σὺ συνομολογήσωμεν, τί ποτε οἰόμεθα τοῦτο εἶναι, περὶ οὗ βουλευόμεθα. Μὴ γὰρ πολλάκις ἐγὼ μὲν ἄλλο τι αὐτὸ ὑπολαμβάνω, σὺ δὲ ἄλλο, κἄπειτα*

εἰδέναι δεῖ, περὶ οὗ ἂν ᾖ ἡ βουλὴ, ἢ ἅπαντος ἁμαρ-
c. τάνειν ἀνάγκη. Τοὺς δὲ πολλοὺς λέληθεν, ὅτι οὐκ
ἴσασι τὴν οὐσίαν ἑκάστου. Ὡς οὖν εἰδότες οὐ διο-
μολογοῦνται ἐν ἀρχῇ τῆς σκέψεως, προελθόντες δὲ
τὸ εἰκὸς ἀποδιδόασιν· οὔτε γὰρ ἑαυτοῖς οὔτε ἀλλή-
λοις ὁμολογοῦσιν. Ἐγὼ οὖν καὶ σὺ μὴ πάθωμεν ἃ
ἄλλοις ἐπιτιμῶμεν, ἀλλ' ἐπειδὴ σοὶ καὶ ἐμοὶ ὁ λόγος
πρόκειται, πότερα ἐρῶντι ἢ μὴ μᾶλλον εἰς φιλίαν
ἰτέον, περὶ ἔρωτος, οἷόν τε ἐστὶ καὶ ἣν ἔχει δύνα-
d. μιν, ὁμολογίᾳ θέμενοι ὅρον, εἰς τοῦτο ἀποβλέπον-
τες καὶ ἀναφέροντες τὴν σκέψιν ποιώμεθα, εἴτε ὠφέ-
30. λειαν εἴτε βλάβην παρέχει. Ὅτι μὲν οὖν δὴ ἐπιθυ-

πόῤῥω που τῆς συνουσίας αἰσθώμεθα γελοῖοι ὄντες, ἐγώ τε ὁ συμβουλεύων καὶ σὺ ὁ συμβουλευόμενος, μηδὲν τῶν αὐτῶν ἡγούμενοι· cuius tamen praecepti, ita studiose explicati, in iis, quae sequuntur ibi, nulla plane ratione habita ad alia statim abire scriptorem, si quidem Plato is fuit, admodum miror. Platonis autem hoc monitum in primis commendat Cicero: v. de Fin. II, 2, 4. de Off. I, 2, 12. εἰδέναι δεῖ, περὶ οὗ — h. e. εἰδέναι δεῖ περὶ τούτου s. τοῦτο, περὶ οὗ ἂν ᾖ ἡ βουλή, oportet cognitum habere, quid sit id, de quo deliberatur, quidquid id est. Tum illud τοὺς δὲ — λέληθεν ὅτι, male interpretatum ab Hoogeven. Part. Gr. p. 588. ed. Schütz., dictum puta pro οἱ δὲ πολλοὶ λελήθασιν ἑαυτοὺς οὐκ εἰδότες. οὐ διομολογοῦνται, non conveniunt inter se de re, de qua sunt disputaturi. — τὸ εἰκὸς ἀποδιδ. exhibent s. faciunt quod poterat expectari, ut Theaet. 83. τὰ ἀντίστροφα ἀποδίδωσιν simile praebet spectaculum. Iam in seqq. οὔτε ἀλλήλοις ex Vindob. restitui, etsi Ficinus quoque vulgatum ἄλλοις expressit. Alcib. I. p. 111. e. Τί δὲ δὴ νῦν — οἱ πολλοὶ δοκοῦσί σοι ὁμολογεῖν αὐτοὶ ἑαυτοῖς ἢ ἀλλήλοις; Mox in his οἷόν τε ἐστὶ malim τι pro τε: atque ὁμολογίᾳ, tertio casu, cum Stephano rescripsi loco nominativi. Verum quod idem εἰς τοῦτον scribendum putavit pro εἰς τοῦτο, huic adversatur satis vulgata utriusque sermonis consuetudo, vulgatumque etiam Ficinus expressit.

μία τις ὁ ἔρως, ἅπαντι δῆλον, ὅτι δ' αὖ καὶ μὴ ἐρῶντες ἐπιθυμοῦσι τῶν καλῶν, ἴσμεν. Τῷ δὴ τὸν ἐρῶντά τε καὶ μὴ κρινοῦμεν; Δεῖ αὖ νοῆσαι, ὅτι ἡμῶν ἐν ἑκάστῳ δύο τινέ ἐστον ἰδέα ἄρχοντε καὶ ἄγοντε, οἷν ἑπόμεθα, ᾗ ἂν ἄγητον· ἡ μὲν ἔμφυτος οὖσα ἐπιθυμία ἡδονῶν, ἄλλη δὲ ἐπίκτητος δόξα, ἐφιεμένη τοῦ ἀρίστου. Τούτω δὲ ἐν ἡμῖν τοτὲ μὲν ὁμονοεῖτον, ἔστι δὲ ὅτε στασιάζετον, καὶ τοτὲ μὲν e. ἡ ἑτέρα, ἄλλοτε δὲ ἡ ἑτέρα κρατεῖ. Δόξης μὲν οὖν ἐπὶ τὸ ἄριστον λόγῳ ἀγούσης καὶ κρατούσης τῷ κράτει σωφροσύνη ὄνομα· ἐπιθυμίας δὲ ἀλόγως ἑλκού- p. 238. a.

---

§. 30. *Τῷ δὴ τὸν ἐρ. — κρινοῦμεν;* Apposui his cum Stephano interrogandi notam, quo structura verborum expediatur; neque quidquam frequentius est apud Platonem hac, qua oratio animatur, interrogandi forma. Conf. §. 24. de legg. I. p. 630. b. III. p. 701. c. Protag. p. 343. b. atque ita sexcenties. — *δύο τινέ ἐστον ἰδέα ἄρχοντε.* Pro *ἰδέα* Stob. Serm. LXII. p. 404. *εἴδεε.* Male propter seqq.: neque offendere debet dualis numerus *ἄρχοντε καὶ ἄγοντε* masculino genere *τῇ ἰδέᾳ* iunctus, de quo more vid. Valcken. ad Eurip. Hippol. 386. Add. Xen Mem. II, 3, 18. Nihili autem est a Stephano prolata scriptura *ἰδίᾳ*, aut illa *ῥάχοντε* in Ald. Bas. 1.; *ἄρχοντε* habet Bas. 2. cum Ficino: *dominantes atque ducentes*, idque reponebat Cornarius, idem tamen male coniectans etiam *φέροντε*, ut referretur ad formulam illam *ἄγειν καὶ φέρειν*, quae locum hic habet nullum. Bene his comparavit Lentzius illud *ἄγειν καὶ δεσπόζειν* in Phaedone p. 94. e.: et gemino modo in Xenoph. Mem. II, 2, 11. iunctim legitur *ἕπεσθαι* et *πείθεσθαι*, ubi vulgatum non muto. — *ᾗ ἂν ἄγητον.* Ficin. *quocunque ducunt*, ut *οἷ ἂν* placeret, ni post §. 31. itidem legeremus *ἐπιθυμία — τὸν κεκτημένον ταύτῃ ἄγουσα.*

30. *Δόξης μὲν οὖν* — Perperam haec ita distinguuntur in vulgatis: *δόξης — κρατούσης τῷ κράτει, σωφροσύνη ὄνομα.* Liquet enim inter se respondere illa *τῷ κράτει σωφροσύνη ὄνομα*, et *τῇ ἀρχῇ ὕβρις ἐπωνομάσθη.* Ita in Sympos. p. 192. e. *τοῦ ὅλου οὖν τῇ ἐπιθυμίᾳ καὶ διώξει ἔρως ὄνομα.* — *τῇ ἀρχῇ ὕβρις*

σης ἐπὶ ἡδονὰς καὶ ἀρξάσης ἐν ἡμῖν τῇ ἀρχῇ ὕβρις ἐπωνομάσθη. Ὕβρις δὲ δὴ πολυώνυμον, πολυμε-
31. ρὲς γὰρ καὶ πολυειδές. Καὶ τούτων τῶν ἰδεῶν ἐκ-
πρεπὴς ἥ ἂν τύχῃ γενομένη, τὴν αὑτῆς ἐπωνυμίαν
ὀνομαζόμενον τὸν ἔχοντα παρέχεται, οὔτε τινὰ κα-
λὴν οὔτε ἐπαξίαν κεκτῆσθαι. Περὶ μὲν γὰρ ἐδωδὴν
κρατοῦσα τοῦ τε λόγου τοῦ ἀρίστου καὶ τῶν ἄλλων
b. ἐπιθυμιῶν ἐπιθυμία γαστριμαργία τε καὶ τὸν ἔχοντα
ταυτὸν τοῦτο κεκλημένον παρέξεται. Περὶ δὲ αὖ
μέθας τυραννεύσασα, τὸν κεκτημένον ταύτῃ ἄγουσα

ἐπωνομάσθη h. e. *nomen ὕβρις imponitur*, ut Theaet. p. 185. c. *ᾧ τὸ ἔστιν ἐπονομάζεις καὶ τὸ οὐκ ἔστιν.* Cratyl. p. 420. b. *Δύξα μὲν — τῇ διώξει ἐπωνόμασται.*

§. 31. *Πολυμερές.* Stob. *πολυμελές.* Illud praestat, quum proprie alias iungantur *μέρη* et *εἴδη*. [Sed cum *πολυμελές* exhibeant etiam codd. opt., hoc reposuit Be.] In proximis tamen ex eodem Stob. *ἐπονομαζόμενον* praetulerim vulgato *ὀνομαζόμενον*. *ἐπαξίαν κεκτῆσθαι.* Sic optime Vindob. Vulgo *κεκλῆσθαι.* Nimirum ut dici possit *ἐπωνυμία* ipsa *ἀξία κεκλῆσθαι*, quod dubito, tamen post *καλὴν* misere hoc friget additamentum. Et cur non scripsit *καλεῖσθαι*, ut de legg. I. p. 644. a. dicit *παιδείαν οὐκ ἀξίαν τοπαράπαν παιδείαν καλεῖσθαι*? Alterum contra firmatur frequenti usu v. c. de rep. II. p. 367. c. *ὡμολόγησας τῶν μεγίστων ἀγαθῶν εἶναι δικαιοσύνην, ἃ τῶν ἀποβαινόντων ἀπ' αὐτῶν ἕνεκα ἄξια κεκτῆσθαι.* Xenoph. Sympos. V, 65. *Οὗτος ἄν μοι δοκεῖ — πολλοῦ ἂν ἄξιος εἶναι καὶ πόλεσι καὶ φίλοις καὶ συμμάχοις κεκτῆσθαι.*

31. *Περὶ μὲν γὰρ ἐδωδὴν — Ὁ λόγος τοῦ ἀρίστου* est *ratio honesti*, quod alias dicit *τὸ βέλτιστον.* [*τοῦ τε λόγου τοῦ* — ex optimis Bekkeri recepi pro vulg. *τοῦ λόγου τε τοῦ* —. *Buttm.*] Mox *ταυτὸν τοῦτο* est *eodem nomine*, ut semper Graeci dicunt *καλεῖσθαί τι*, vanaque est Stephani suspicio, ad *κεκλημένον* hoc deesse *γαστρίμαργον* putantis, ut *ταυτόν τοῦτο* significet *eodem modo*. Ad *τὸν ἔχοντα — παρέξεται* cf. Soph. 19. De verbo autem *κληθήσεται* similive ad *γαστριμαργία* subaudiendo monui ad §. 29. *Τὸν κεκτημένον* int. *αὐτὴν*,

δῆλον οὗ τεύξεται προσρήματος· καὶ τἆλλα δὴ τὰ τούτων ἀδελφὰ καὶ ἀδελφῶν ἐπιθυμιῶν ὀνόματα, τῆς ἀεὶ δυναστευούσης, ᾗ προσήκει καλεῖσθαι πρόδηλον. Ἧς δ' ἕνεκα πάντα τὰ πρόσθεν εἴρηται, σχεδὸν μὲν ἤδη φανερὸν, λεχθὲν δὲ ἢ μὴ λεχθὲν πάντως σαφέστερον. Ἡ γὰρ ἄνευ λόγου δόξης ἐπὶ τὸ 32.
ὀρθὸν ὁρμώσης κρατήσασα ἐπιθυμία, πρὸς ἡδονὴν c.
ἀχθεῖσα κάλλους καὶ ὑπὸ αὖ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων κάλλος, ἐῤῥωμένως ῥωσθεῖσα, νικήσασα ἀγωγῇ, ἀπ' αὐτῆς τῆς ῥώμης ἐπω-

---

ut paullo ante τὸν ἔχοντα dixit. Paullo post Stob. Cod. Paris. A ὃ προσήκει καλ. pro ᾗ προσήκ., idque antiquorum ratio flagitare videtur. — Denique in his λεχθὲν δὲ — σαφέστερον vulgo πᾶν πως. Ex Vindob. et Stob. admisi πάντως. [Accedunt e XXI Bekkerianis nonnisi Ven. Σ et Par. T.]

§. 32. Ἡ γὰρ ἄνευ λόγου — Excerpsit haec Dionys. Halic. de Demosth. Gravit. p. 167., ibi pro ἐπὶ τὸ ὀρθὸν exhibens ἐπὶ τἀγαθὸν; deinde ἄγουσα pro ἀχθεῖσα, et καὶ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμίαν λαβοῦσα. Sed idem haec profert Epist. ad Pomp. p. 128. ne minima quidem scripturae mutatione. Stob. Cod. Paris. A καὶ αὖ τῶν ἑαυτῆς. Illud autem ἄγουσα multo sane rectius est propter et praegressum κρατήσασα et illa in seqq. νικήσασα ἀγωγῇ [rectius nunc e mss. ἀγωγῇ], idque expressum est a Ficino: *rapitque ad voluptatem formae*; quo tamen reposito in proximis καὶ ὑπὸ αὖ — κάλλος male deerit participium. Platonis manum restituit, opinor, Schleiermacherus corrigendo: — πρὸς ἡδονὴν ἄγουσα κάλλους, καὶ ὑπὸ αὖ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων κάλλος ἀχθεῖσα —. Verba τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν de γαστριμαργίᾳ illaque περὶ μέθας τυραννευσάσῃ cupiditate §. 31. accipio, ut sine Cerere et Libero Venus frigere dicitur. De ipsa vero sententia, mirum mehercule, quod ex solo hoc additamento ἐῤῥωμένως ῥωσθεῖσα, quo ipso commode careremus, vocabuli ἔρως originem duxit.

νυμίαν λαβοῦσα, ἔρως ἐκλήθη. Ἀτὰρ, ὦ φίλε Φαῖδρε, δοκῶ τι σοὶ, ὥσπερ ἐμαυτῷ, θεῖον πάθος πεπονθέναι; ΦΑΙ. Πάνυ μὲν οὖν, ὦ Σώκρατες, παρὰ τὸ εἰωθὸς εὔροιά τίς σε εἴληφε. ΣΩ. Σιγῇ τοίνυν μου ἄκουε. Τῷ ὄντι γὰρ θεῖος ἔοικεν ὁ τόπος εἶναι, ὥστε, ἐὰν ἄρα πολλάκις νυμφόληπτος
d. προϊόντος τοῦ λόγου γένωμαι, μὴ θαυμάσῃς. Τὰ νῦν γὰρ οὐκέτι πόρρω διθυράμβων φθέγγομαι. ΦΑΙ.
33. Ἀληθέστατα λέγεις. ΣΩ. Τούτων μέντοι σὺ αἴτιος. Ἀλλὰ τὰ λοιπὰ ἄκουε· ἴσως γὰρ κἂν ἀποτράποιτο τὸ ἐπιόν. Ταῦτα μὲν οὖν θεῷ μελήσει· ἡμῖν δὲ πρὸς τὸν παῖδα πάλιν τῷ λόγῳ ἰτέον.

Εἶεν, ὦ φέριστε. Ὃ μὲν δὴ τυγχάνει ὂν περὶ οὗ βουλευτέον, εἴρηταί τε καὶ ὥρισται. Βλέποντες
e. δὲ δὴ πρὸς αὐτὸ τὰ λοιπὰ λέγωμεν, τίς ὠφέλεια ἢ βλάβη ἀπό τε ἐρῶντος καὶ μὴ τῷ χαριζομένῳ ἐξ εἰκότος συμβήσεται. Τῷ δὴ ὑπὸ ἐπιθυμίας ἀρχομένῳ

---

32. Ἀτὰρ, ὦ φίλε — Vulgo in his θεῖον omissum, quod sensu incolumi abesse non poterat. Igitur ex Vindob. et Ficino [quibus accedunt codd. Be. omnes] in sedem suam reduxi. Mox de εὐροίᾳ, *oratione libere fluente*, vid. Valcken. Diatrib. in Eurip. Fragm. p. 148. Paullo post Dionys. Halic. p. 167. ἔοικεν εἶναι ὁ τόπος, deinde νυμφόλ. γένωμαι προϊόντος τοῦ λόγου, et διθυράμβων τινῶν. De voce πολλάκις, h. e. forte, vid. ad Phaedo. 11. Ad illa autem Τὰ νῦν γὰρ etc. conf. Aristid. T. II. p. 295. ed. Jebb.

§. 33. Ἴσως γὰρ ἂν — *Fortassis enim averti poterit id, quod me adoritur.* Ita Cornarius, a sensu longe aberrans. Immo, ne divinus ille, quo incaluerit, pectoris fervor restinguatur, ut silentio ipsum audiat monet Phaedrum Socrates.

33. Τῷ δὴ ὑπὸ ἐπιθ. — ἡδονῇ. [Editi Τῷ μὲν δὴ —: sed media particula carent codd. Be. praeter unum Ven. Ξ.] Vulgo

δουλεύοντί τε ἡδονῇ ἀνάγκη που τὸ ἐρώμενον ὡς ἥδιστον ἑαυτῷ παρασκευάζειν. Νοσοῦντι δὲ πᾶν ἡδὺ τὸ μὴ ἀντιτεῖνον, κρεῖττον δὲ καὶ ἴσον ἐχθρόν. Οὔτε δὴ κρείττω οὔτε ἰσούμενον ἑκὼν ἐραστὴς παι- p. 239. a.
δικὰ ἀνέξεται, ἧττω δὲ καὶ ὑποδεέστερον ἀεὶ ἀπεργάζεται. Ἥττων δὲ ἀμαθὴς σοφοῦ, δειλὸς ἀνδρείου, ἀδύνατος εἰπεῖν ῥητορικοῦ, βραδὺς ἀγχίνου. Τοσού- 34.
των κακῶν καὶ ἔτι πλειόνων κατὰ τὴν διάνοιαν ἐραστὴν ἐρωμένῳ ἀνάγκη γιγνομένων τε καὶ φύσει

---

in his ἀρχομένῳ ἢ δουλεύοντί τε ἡδονῇ: in quibus γε vel τῇ pro τε scribendum Stephano videbatur. Equidem, quum praegressum quoque ἐπιθυμίας articulo careat, malui cum Stob. Serm. LXII. p. 405. omittere ἥ [accedit Be. cum IX codd.]. Ex eodemque corrigendum puto τὸν ἐρώμ. pro τὸ ἐρώμ. In prioribus post παρασκευάζειν Cod. Stob. Par. A inserit κρείττοσι, male natum ex proximis. οὔτε ἰσούμενον. Bas. 2. ἰσούμενα, quae imperiti correctio videtur, ne proxima quidem ἧττω δὲ καὶ ὑποδεέστερον attendentis. Lysid. 4. ἃ χρὴ ἐραστὴν περὶ παιδικῶν πρὸς αὐτὸν ἢ πρὸς ἄλλους λέγειν. [Tum Steph. ἀπεργάσεται, contra codd.]

§. 34. Τοσούτων κακῶν — Vulgata horum scriptura haec est: Τοσούτων κακῶν καὶ ἔτι πλειόνων κατὰ τὴν διάνοιαν τοῦ ἐραστοῦ τῷ ἐρωμένῳ ἀνάγκη γιγνομένων τε καὶ φύσει ἐνόντων, τῶν μὲν ἥδεσθαι, τὰ δὲ παρασκευάζειν· quae dubitari non potest quin pluribus mendis laborent. Nam primum istud τοῦ ἐραστοῦ in vitio esse, satis arguunt verba post illata Τὰ μὲν οὖν κατὰ διάνοιαν ἐπίτροπος — δεῖ μετὰ ταῦτα ἰδεῖν, quibus verbis hanc ipsam sententiam τοσούτων κακῶν etc. iterari praegressamque argumentationem concludi liquet. Ibi autem τὰ κατὰ διάνοιαν manifesto opponuntur τῇ τοῦ σώματος ἕξει, usu perquam vulgari. Theaet. p. 173. e. τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπιδημεῖ· ἡ δὲ διάνοια ταῦτα πάντα ἡγησαμένη σμικρὰ καὶ οὐδέν, ἀτιμάσασα πανταχῇ φέρεται. de rep. II. p. 371. d. Ἔτι δή τινες — εἰσὶ καὶ ἄλλοι διάκονοι, οἳ ἂν τὰ μὲν τῆς διανοίας μὴ πάνυ ἀξιοκοινώνητοι ὦσιν, τὴν δὲ

ἐνόντων τῶν μὲν ἥδεσθαι, τὰ δὲ παρασκευάζειν, ἢ
στέρεσθαι τοῦ παραυτίκα ἡδέος. Φθονερὸν δὴ ἀνάγ-
b. κη εἶναι, καὶ πολλῶν μὲν ἄλλων συνουσιῶν ἀπείρ-

τοῦ σώματος ἰσχὺν ἱκανὴν ἐπὶ τοὺς πόνους ἔχωσι. Et conf. Hipp. Min. p. 364. a. de legg. VII. p. 816. d. XI. p. 916. a. p. 925. e. Charmid. 11. Accedit, quod hoc τοῦ ἐραστοῦ non agnoscit Ficinus, sententiam, quae h. l. requiritur, in universum bene declarans: *haec et plura insuper animi mala cum natura insunt vel fiunt amato, gaudet amator, atque alia insuper inferre conatur.* Igitur ex Vindob. et Cod. Stob. Paris. A rescripsi ἐραστὴν, atque art. τῷ ante ἐρωμένῳ cum Stob. abieci. [Accedunt in hac scriptura ἐραστὴν ἐρωμένῳ sine τῷ codd. Be. opt. et plur.] Iam unum restat mendum, τῶν istud post ἐνόντων, qui genitivus τῷ ἥδεσθαι iunctus ferri non potest. Error autem hic ortus est haud dubie ex proxima syllaba, corrigendumque τοῖς. [In quo tamen Heindorfio non obsecundavi: nam dativum servant codd. omnes: et cf. Soph. Philoct. 715. ὃς μηδ' οἰνοχύτου πώματος ἥσθη δεκέτη χρόνον. *Buttm.*] Neque iam quidquam in his, quod offendat, supererit, praeter turbatum mire verborum ordinem cuius tamen exempla apud Atticos non adeo rara esse eruditi sciunt. Nimirum sic potius verba ordinanda: τοσούτων κακῶν καὶ ἔτι πλειόνων κατὰ τὴν διάνοιαν ἐρωμένῳ γιγνομένων τε καὶ φύσει ἐνόντων, τοῖς [τῶν] μὲν ἐραστὴν ἀνάγκη ἥδεσθαι, τὰ δὲ παρασκευάζειν. Atque ἐραστὴν illud ante ἐρωμένῳ positum est ex more illo antiquorum, iungendi praeponendique verbum verbo, nomen nomini, quae sunt inter se aut contraria aut similia, aut aliquo modo sibi respondent, unde nobis quidem moleste interdum verborum ordo turbatur. Cuius rei luculenti me monuit exempli Buttmannus meus ex Xenoph. Anab. V, 6, 2. συνεβουλεύοντο (αὐτοῖς) καὶ ἠξίουν, Ἕλληνας ὄντας Ἕλλησι τούτῳ πρῶτον καλῶς δέχεσθαι τῷ εὖνους τε εἶναι καὶ τὰ βέλτιστα συμβουλεύειν, in quibus Ἕλλησι pertinet ad εὖνους εἶναι. — Iam τοῖς μὲν int. τοῖς φύσει ἐνοῦσι [τῶν — τῶν — ἐνόντων]· τὰ δὲ int. τὰ γιγνόμενα, *quae accedunt extrinsecus:* et τὸ παραυτίκα ἡδὺ est *voluptas, cuius brevissimus est fructus:* conf. §. 37. et Xenoph. Cyrop. II, 2, 24. ibiq. Schneider.

γοντα καὶ ὠφελίμων, ὅθεν ἂν μάλιστα ἀνὴρ γίγνοιτο, μεγάλης αἴτιον εἶναι βλάβης, μεγίστης δὲ τῆς ὅθεν ἂν φρονιμώτατος εἴη. Τοῦτο δὲ ἡ θεία φιλοσοφία τυγχάνει ὄν, ἧς ἐραστὴν παιδικὰ ἀνάγκη πόρρωθεν εἴργειν, περίφοβον ὄντα τοῦ καταφρονηθῆναι, τά τε ἄλλα μηχανᾶσθαι, ὅπως ἂν ᾖ πάντα ἀγνοῶν καὶ πάντα ἀποβλέπων εἰς τὸν ἐραστήν, οἷος ὢν τῷ μὲν ἥδιστος, ἑαυτῷ δὲ βλαβερώτατος εἴη. Τὰ μὲν οὖν κατὰ διάνοιαν ἐπίτροπός τε καὶ κοινωνὸς οὐδαμῇ λυσιτελὴς ἀνὴρ ἔχων ἔρωτα. Τὴν δὲ τοῦ c. σώματος ἕξιν τε καὶ θεραπείαν οἵαν τε καὶ ὡς θεραπεύσει οὗ ἂν γένηται κύριος, ὃς ἡδὺ πρὸ ἀγαθοῦ ἠνάγκασται διώκειν, δεῖ μετὰ ταῦτα ἰδεῖν. Ὀφθή- 35. σεται δὲ μαλθακόν τινα καὶ οὐ στερεὸν διώκων οὐδ' ἐν ἡλίῳ καθαρῷ τεθραμμένον, ἀλλὰ ὑπὸ συμμιγεῖ

---

34. ὅθεν ἂν μάλιστα ἀνὴρ — Sensu eminenti h. l. ἀνὴρ dictum, ut saepissime apud utriusque sermonis scriptores. V. Valcken. ad Herodot. VII, 210. Brunck. ad Soph. Oed. Col. 393. — μεγίστης δὲ, subaudi βλάβης, et deinde συνουσίας ad art. τῆς, ut plena oratio haec sit: μεγίστης δὲ βλάβης ἀνάγκη αἴτιον εἶναι, ἀπείργοντα τῆς συνουσίας, ὅθεν ἄν —. [Ad τῆς ὅθεν vid. Gramm. §. 112. Obs. 4.] De sententiâ ipsa pertinent huc illa in Symp. p. 181. b., ubi in verbis ἐρῶσι — ὡς ἂν δύνωνται ἀνοητοτάτων hoc ἀνοητοτάτων, male a viro docto tentatum, nostro loco satis firmatur. Pro φιλοσοφία Vind. σοφία. Post paullo Stob. βλέπων pro ἀποβλέπων.

§. 35. ὑπὸ συμμιγεῖ σκιᾷ, in crassa quasi et concreta umbra, quo sensu crassos dies lucemque palustrem Persius dixit Sat. V, 60. ubi vid. Casaub. p. 346. Unde ἐσκιατραφηκὼς oppositus τῷ ἡλιωμένῳ de rep. VIII. p. 556. d. Max. Tyr. XXVIII, 3. σώματα παραλαβόντες ἁπλᾶ ὑφ' ἡλίῳ καθαρῷ καὶ ἀέρι ἐλευθέρῳ τεθραμμένα, σκιατροφοῦντες ταῦτα καὶ λεαίνοντες,

σκιᾷ, πόνων μὲν ἀνδρείων καὶ ἱδρώτων ξηρῶν ἄπειρον, ἔμπειρον δὲ ἀπαλῆς καὶ ἀνάνδρου διαίτης, ἀλλο-
d. τρίοις χρώμασι καὶ κόσμοις χήτει οἰκείων κοσμούμενον, ὅσα τε ἄλλα τούτοις ἕπεται, πάντα ἐπιτηδεύοντα. Ἃ δῆλα, καὶ οὐκ ἄξιον περαιτέρω προβαίνειν, ἀλλὰ ἓν κεφάλαιον ὁρισαμένους ἐπ' ἄλλο ἰέναι· τὸ γὰρ τοιοῦτον σῶμα ἐν πολέμῳ τε καὶ ἄλλαις χρείαις, ὅσαι μεγάλαι, οἱ μὲν ἐχθροὶ θαῤῥοῦσιν, οἱ δὲ φίλοι καὶ αὐτοὶ οἱ ἐρασταὶ φοβοῦνται.
36. e. Τοῦτο μὲν οὖν, ὡς δῆλον, ἐατέον· τὸ δὲ ἐφεξῆς ῥητέον, τίνα ἡμῖν ὠφέλειαν ἢ τίνα βλάβην περὶ τὴν

λυμαίνονται etc. — ἱδρώτων ξηρῶν. Stob. Cod. Paris. A omisit ξηρῶν. Male. Suidas: ξηρὸς ἱδρώς, ὁ μὴ ὑπὸ λουτρῶν, ἀλλ' ὑπὸ γυμνασίων καὶ πόνων γινόμενος, quae glossa hinc ducta fortasse. Inde huiusmodi sudorem ἀνδρικὸν ἱδρῶτα dicit Aristoph. Acharn. v. 697. Conf. id. Nub. 1041. sq.

35. ἀλλοτρίοις χρ. — Plutarch. de Adul. et Am. Discr. p. 51. d., ubi haec ἀλλοτρ. — κοσμούμενον laudat, habet χρώμασι καὶ σχήμασιν. Atque ita sexcenties iunctim χρώματα καὶ σχήματα apud Graecos leguntur, sed ibi tamen, ubi de corporis alicuius conformatione et figura externa agitur. Conf. Cratyl. p. 431. c. Sophist. p. 251. a. Phileb. p. 47. a. p. 51. b. de legg. II. p. 669. a. de rep. X. p. 601. a. Igitur h. l. κόσμοις unice verum. De verbo χῆτις vid. Lex. Tim. p. 275. ibiq. Ruhnken. — Deinde Stob. ὅσα τε καὶ ἄλλα.

35. Τὸ γὰρ τοιοῦτον σῶμα — Accusativus hic ad θαῤῥοῦσι trahendus ex Platonis etiam usu est. Euthyd. p. 275. c. ἐπιεικῶς θαῤῥεῖ τὸ ἀποκρίνεσθαι. Phaedo. p. 88. b. οὐδενὶ προσήκει θάνατον θαῤῥοῦντι μὴ οὐκ ἀνοήτως θαῤῥεῖν. Stat. Theb. II, 573. Terrigenas confisus avos, ubi vid. Gronov. Ad φοβοῦνται autem subaudiendum περὶ αὐτῷ, quae paullo durior est ellipsis. Sic tamen etiam Soph. Trach. 296. sq. Ὅμως δ' ἔνεστι τοῖσιν εὖ σκοπουμένοις Ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ σφαλῇ ποτε: et Eurip. Suppl. 328. Ὡς οὔτε ταρβῶ σὺν δίκῃ σ' ὁρμώμενον—, ubi male corr. Markl.

κτῆσιν ἡ τοῦ ἐρῶντος ὁμιλία τε καὶ ἐπιτροπεία παρέξεται. Σαφὲς δὴ τοῦτό γε παντὶ μὲν, μάλιστα δὲ τῷ ἐραστῇ, ὅτι τῶν φιλτάτων τε καὶ εὐνουστάτων καὶ θειοτάτων κτημάτων ὀρφανὸν πρὸ παντὸς εὔξαιτ' ἂν εἶναι τὸν ἐρώμενον. Πατρὸς γὰρ καὶ μητρὸς καὶ ξυγγενῶν καὶ φίλων στέρεσθαι ἂν αὐτὸν δέξαιτο, διακωλυτὰς καὶ ἐπιτιμητὰς ἡγούμενος τῆς ἡδίστης πρὸς αὐτὸν ὁμιλίας. Ἀλλὰ μὴν οὐσίαν γε p.240. a.
ἔχοντα χρυσοῦ ἢ τινος ἄλλης κτήσεως οὔτε εὐάλωτον ὁμοίως, οὔτε ἁλόντα εὐμεταχείριστον ἡγήσεται. Ἐξ ὧν πᾶσα ἀνάγκη ἐραστὴν παιδικοῖς φθονεῖν μὲν οὐσίαν κεκτημένοις, ἀπολλυμένης δὲ χαίρειν. Ἔτι τοίνυν ἄγαμον, ἄπαιδα, ἄοικον ὅτι πλεῖστον χρόνον παιδικὰ ἐραστὴς εὔξαιτο ἂν γενέσθαι, τὸ αὐτοῦ γλυκὺ ὡς πλεῖστον χρόνον καρποῦσθαι ἐπιθυμῶν. Ἔστι μὲν δὴ καὶ ἄλλα κακὰ, ἀλλά τις δαίμων ἔμιξε 37.
τοῖς πλείστοις ἐν τῷ παραυτίκα ἡδονήν· οἷον κόλακι, δεινῷ θηρίῳ καὶ βλάβῃ μεγάλῃ, ὅμως ἐπέ- b.
μιξεν ἡ φύσις ἡδονήν τινα οὐκ ἄμουσον. Καί τις ἑταίραν ὡς βλαβερὸν ψέξειεν ἂν καὶ ἄλλα πολλὰ τῶν

---

§. 36. *Σαφὲς δὴ τοῦτο* — Haec *μάλιστα δὲ τῷ ἐραστῇ* mire sane addita a Platone, quae tamen tribuenda puto antitheta componendi studio, quo in hac *ἐπιδείξει* Lysiam rhetoresque manifesto aemulatur. — *φιλτάτων καὶ* omisso *τε* Stob. Mox idem *πραγμάτων* pro *κτημάτων*, et *πρὸ πάντων*. *ἀπολλυμένης δὲ χαίρειν*. Ita verissime Stob. Cod. Paris. A [et Platonis ipsius codd. pl. et opt.] Vulgo *ἀπολλυμένοις*, pro quo ipsa grammatica sermonis ratio requirebat *ἀπολλύντος* seu *ἀπολλύντι*. §. 69. *οὐσίας δι' ἀμέλειαν ἀπολλυμένης*.

§. 37. *κόλακι* — *ἄμουσον*. Profert haec Athen. VI. p. 254. d. — Mox Vind. *ὡς βλαβερὸν μὲν ἕξειεν*, vitiose. — *οἷς τύχε*

τοιουτοτρόπων θρεμμάτων τε καὶ ἐπιτηδευμάτων, οἷς τόγε καθ' ἡμέραν ἡδίστοισιν εἶναι ὑπάρχει· παιδικοῖς δὲ ἐραστὴς πρὸς τῷ βλαβερῷ καὶ εἰς τὸ συνημερεύειν πάντων ἀηδέστατον. Ἥλικα γὰρ καὶ ὁ c. παλαιὸς λόγος τέρπειν τὸν ἥλικα. Ἡ γάρ, οἶμαι, χρόνου ἰσότης, ἐπὶ ἴσας ἡδονὰς ἄγουσα, δι' ὁμοιότητα φιλίαν παρέχεται· ἀλλ' ὅμως κόρον γε καὶ ἡ τούτων συνουσία ἔχει. Καὶ μὴν τόγε ἀναγκαῖον αὖ βαρὺ παντὶ περὶ πᾶν λέγεται, ὃ δὴ πρὸς τῇ ἀνο- 38. μοιότητι μάλιστα ἐραστὴς πρὸς παιδικὰ ἔχει. Νεωτέρῳ γὰρ πρεσβύτερος συνὼν οὔθ' ἡμέρας οὔτε νυκτὸς ἑκὼν ἀπολείπεται, ἀλλ' ὑπ' ἀνάγκης τε καὶ οἴστρου ἐλαύνεται, ὃς ἐκείνῳ μὲν ἡδονὰς ἀεὶ διδοὺς d. ἄγει, ὁρῶντι, ἀκούοντι, ἁπτομένῳ, καὶ πᾶσαν αἴσθησιν αἰσθανομένῳ τοῦ ἐρωμένου, ὥστε μεθ' ἡδο-

---

καθ' ἡμέρ. etc. *in quibus tamen quotidianus est voluptatis maximae fructus.* Pro ἡδίστοισιν Vind. et Stob. ἡδίστοις. Illud tractum ex Ionismo frequentatur ab Atticis, Platone in primis: v. Dorvill. ad Charit. p. 237. Ἥλικα γάρ — Ita et Cod. Stob. Paris. A, nisi quod δὴ post γὰρ insertum habet; nam vulgata hic Stobaei scriptura in vitio est. Aristaenet. Ep. I, 18. p. 46. ἥλικα γὰρ δεῖ (l. δὴ) καὶ ὁ παλαιὸς λόγος τέρπειν τὸν ἥλικα· ἡ γάρ, οἶμαι, χρόνου ἰσότης ἐπὶ ἴσας ἡδονὰς ἄγουσα δι' ὁμοιότητα φιλίαν παρέχεται, ubi Abresch. Lectt. p. 112. monuit, inversum hic esse Graecorum more ordinem pro καὶ γὰρ ὁ παλαιὸς λόγος, ἥλικα τέρπειν τὸν ἥλ. De proverbio ipso vid. Wolf. ad Plat. Symp. p. 58. Plene hoc ita profert Schol. Plat. ad h. l. Ἥλιξ ἥλικα τέρπει, γέρων δέ τ' ἕτερπε γέροντα. Mox cum Aristaeneto Stob. χρόνου ἰσότης, quod vulgato ἰσότης χρόνων praetulerim [nos accedentibus codd. reposuimus]. — Deinde Cod. Stob. Paris. A ἀναγκαῖον εἶναι βαρύ.

νῆς ἀραρότως αὐτῷ ὑπηρετεῖν· τῷ δὲ δὴ ἐρωμένῳ
ποῖον παραμύθιον ἢ τίνας ἡδονὰς διδοὺς ποιήσει τὸν
ἴσον χρόνον συνόντα μὴ οὐχὶ ἐπ' ἔσχατον ἐλθεῖν ἀη-
δίας, ὁρῶντι μὲν ὄψιν πρεσβυτέραν καὶ οὐκ ἐν ὥρᾳ,
ἑπομένων δὲ τῶν ἄλλων ταύτῃ, ἃ καὶ λόγῳ ἔστιν
ἀκούειν οὐκ ἐπιτερπές, μὴ ὅτι δὴ ἔργῳ, ἀνάγκης ἀεὶ
προκειμένης μεταχειρίζεσθαι, φυλακάς τε δὴ καχυ- e.
ποτόπους φυλαττομένῳ διὰ παντὸς καὶ πρὸς ἅπαν-
τας, ἀκαίρους τε ἐπαίνους καὶ ὑπερβάλλοντας ἀκού-
οντι, ὡς δ' αὖτως ψόγους, νήφοντος μὲν οὐκ ἀνε-
κτούς, εἰς δὲ μέθην ἰόντος πρὸς τῷ μὴ ἀνεκτῷ ἐπ'
αἴσχει, παῤῥησίᾳ κατακορεῖ καὶ ἀναπεπταμένῃ χρω-

---

§. 38. *τῷ δὲ δὴ ἐρωμένῳ — Illa, qua ardet amator, cupiditas ipsi quidem plurima affert oblectamenta: at vero amato quale solatium quasve afferens voluptates faciet, ut ne eum, dum usque et usque cum amatore versari cogitur, maxima aliquando capiat satietas? — διδοὺς* trahendum ad *οἴστρον*, illaque *τὸν ἴσον χρόνον*, quae mutari olim frustra malebam in *τὸν ἄνισον χρόνον (aetatis inaequalitatem)*, referuntur ad praegressa *οὔθ' ἡμέρας οὔτε νυκτὸς ἀπολείπεται ἐκών.* Ad rem cf. Xenoph. Symp. 8, 21.

38. *φυλακάς τε δὴ καχυποτόπους.* [Ita scriptum adjectivum dedit Be. ex opt. et pl. Vulgo *καχυπόπτους.*] Suid. *Καχυπότοπος, καχύποπτος. τοπάσαι γὰρ, τὸ ὑπονοῆσαι.* et, *Καχυποτοπεῖσθαι, τὸ τέλειον, κακὰ ὑπονοεῖσθαι, παρ' Ἀριστοφάνει:* Ran. 958., quanquam ibi variat scriptura. Alterum *καχύποπτος* est in Plat. de rep. III. p. 409. c. et Aristot. Rhet. II, 13. idque ex Aristoph. laudat Pollux II, 57. Sunt autem hae *φυλακαὶ* haud dubie dictae de amatore ipso male suspicioso, amatumque ubivis acriter observante. Vulgo scriptum est *φύλακάς τε.* — Mox Bas. 2. *ἀκαίρους καὶ ἐκκαίρους* ex glossemate. Porro ad *ἐπ' αἴσχει* subaud. *ὄντας*, velut paullo ante dixerat *ὄψιν πρέσβυτέραν καὶ οὐκ ἐν ὥρᾳ*, sed magis tamen placeret *ἐπαισχεῖς.* At cur *ἐπ' αἴσχει*? Nimirum ebrius non

39. μένου. Καὶ ἐρῶν μὲν βλαβερός τε καὶ ἀηδὴς, λήξας δὲ τοῦ ἔρωτος εἰς τὸν ἔπειτα χρόνον ἄπιστος, εἰς
p. 241. a. ὃν πολλὰ καὶ μετὰ πολλῶν ὅρκων τε καὶ δεήσεων ὑπισχνούμενος, μόγις κατεῖχε τὴν ἐν τῷ τότε ξυνουσίαν ἐπίπονον οὖσαν φέρειν δι' ἐλπίδα ἀγαθῶν. Τότε δὴ δέον ἐκτίνειν, μεταβαλὼν ἄλλον ἄρχοντα ἐν αὑτῷ καὶ προστάτην, νοῦν καὶ σωφροσύνην ἀντ' ἔρωτος καὶ μανίας, ἄλλος γεγονὼς λέληθε τὰ παιδικά. Καὶ ὁ μὲν αὐτὸν χάριν ἀπαιτεῖ τῶν τότε, ὑπομιμνήσκων τὰ πραχθέντα καὶ λεχθέντα, ὡς τῷ αὐτῷ διαλεγόμενος· ὁ δὲ ὑπὸ αἰσχύνης οὔτε εἰπεῖν τολμᾷ, ὅτι ἄλλος γέγονεν, οὔθ' ὅπως τὰ τῆς προτέρας ἀνοή-
b. του ἀρχῆς ὁρκωμόσιά τε καὶ ὑποσχέσεις ἐμπεδώσει ἔχει, νοῦν ἤδη ἐσχηκὼς καὶ σεσωφρονηκὼς, ἵνα μὴ πράττων ταυτὰ τῷ πρόσθεν ὅμοιός τε ἐκείνῳ καὶ ὁ

---

erubescit clandestinum illum amoris fructum apud omnes effutire. — *κατακορεῖ*, *ἀπλήστῳ*. Suid.

§. 39. *ἄπιστος*, *εἰς ὃν* — Non *χρόνον* intelligendum, supplendo ad seq. *κατεῖχεν αὐτόν*: sed *εἰς ὃν* h. e. *εἰς τοῦτον ὃν* refertur ad amasium. Cf. Xen. Mem. II, 6, 34. 35. (*πρὸς οὓς ἂν*—). — Deinde in his *μεταβαλὼν ἄλλον ἄρχοντα* nolim propter additum *ἄλλον* corrigi *μεταλαβών*. Euripid. Iphig. Aul. 343. *Κᾆτ' ἐπεὶ κατέσχες ἀρχάς, μεταβαλὼν ἄλλους τρόπους, Τοῖς φίλοισιν οὐκέτ' ἦσθα τοῖς πρὶν ὡς πρόσθεν φίλος.* 363. *Κᾆθ' ὑποστρέψας λέλησαι, μεταβαλὼν ἄλλας γραφάς.* Eodemque modo Plat. de rep. IV. p. 424. c. *Εἶδος καινὸν μουσικῆς μεταβάλλειν (permutando recipere) εὐλαβητέον.* de legg. X. p. 904. d. — *ψυχὴ — διαφέροντα — μετέβαλε (nanciscitur) τόπον, ἄγιον ὅλον.* Sic *mutare* Hor. Carm. II, 16, 18. ibique Bentl. [Dedit tamen *μεταλαβών* Be. inventum in textu qui in binis codd. additus est Hermiae commentario, et tanquam v. l. in tribus ipsius Platonis codd.]

αὐτὸς πάλιν γένηται. Φυγὰς δὴ γίγνεται ἐκ τούτων, 40.
καὶ ἀπεστερηκὼς ὑπ' ἀνάγκης ὁ πρὶν ἐραστής, ὀστράκου μεταπεσόντος, ἴεται φυγῇ μεταβαλών. Ὁ δὲ ἀναγκάζεται διώκειν ἀγανακτῶν καὶ ἐπιθεάζων, ἠγνοηκὼς τὸ ἅπαν ἐξ ἀρχῆς, ὅτι οὐκ ἄρα ἔδει ποτὲ ἐρῶντι καὶ ὑπ' ἀνάγκης ἀνοήτῳ χαρίζεσθαι, ἀλλὰ πολὺ μᾶλλον μὴ ἐρῶντι καὶ νοῦν ἔχοντι· εἰ δὲ μή, ἀναγκαῖον c.
εἴη ἐνδοῦναι ἑαυτὸν ἀπίστῳ, δυσκόλῳ, φθονερῷ, ἀηδεῖ, βλαβερῷ μὲν πρὸς οὐσίαν, βλαβερῷ δὲ πρὸς τὴν τοῦ σώματος ἕξιν, πολὺ δὲ βλαβερωτάτῳ πρὸς τὴν τῆς ψυχῆς παίδευσιν, ἧς οὔτε ἀνθρώποις οὔτε θεοῖς τῇ ἀληθείᾳ τιμιώτερον οὔτε ἐστὶν οὔτε ποτὲ ἔσται.

---

§. 40. *Φυγὰς δὴ* — Mendose in his scriptum *ἀπεστερηκὼς* Stephanus recte animadvertit, quod ita simpliciter adhibitum tolerari non potest. Dorvillius ad Charit. p. 499. corrigebat *ἀπεστερχὼς*, *amore deposito*: sed hanc formam respuit usus; legitima *ἀπεστοργώς* nimium recedit. Seqq. *ὀστράκου μεταπεσόντος*, ex ludo illo *ὀστρακίνδα* s. *ὀστράκου περιστροφὴ* ducta, lucem accipiunt ex Schol. Plat. ad h. l. p. 59. *Ὀστράκου περιστροφὴ* (conf. de rep. VII. p. 521. c.) *ἐπὶ τῶν διὰ τάχους εἰς φυγὴν ὁρμώντων. Εἴρηται δὲ ἀπὸ παιδιᾶς τοιαύτης. Διελόντες ἑαυτοὺς οἱ παῖδες, ὡς ἰσαρίθμους ἑκατέρους γενέσθαι, οἱ μὲν πρὸς ἀνατολὴν ἵστανται, οἱ δὲ πρὸς δυσμάς. Ἄλλος δέ τις μεταξὺ ἑκατέρων καθήμενος ὄστρακον εἶχεν, ἐκ μὲν τοῦ ἑνὸς μέρους κεχρισμένον λευκῷ, ἐκ δὲ θατέρου μέλανι, καὶ ἐρίπτε τοῦτο ὀρθόν. Καὶ εἰ μὲν κατεφέρετο τὸ λευκὸν μέρος ἄνω, οἱ πρὸς ἀνατολὰς ἑστῶτες ἐδίωκον τοὺς πρὸς ταῖς δυσμαῖς· εἰ δὲ τὸ μέλαν ἄνω, οἱ πρὸς ταῖς δυσμαῖς ἐδίωκον, ἕως καταλάβοιεν. Καταληφθέντες δὲ ἐβαστάζοντο ὑπ' αὐτῶν ἀφ' οὗ κατελήφθησαν τόπου, ἕως ἐπανέλθωσιν ἐπὶ τὸν τόπον, ἀφ' οὗ τὴν ἀρχὴν ἔφυγον.* Conf. Pollux IX, 3. ibiq. intpp. *ὅτι οὐκ ἄρα — εἰ δὲ μή* — V. ad Hipp. maj. 12. *ἧς οὔτε — ἔσται.* In his subaudiendum *οὐδέν*, non *τι*, quod male aliquis inserere iubebat ante *ἐστί*. de legg. XII. p. 942. c. *Τού-*

Ταῦτά τε οὖν χρὴ, ὦ παῖ, ξυννοεῖν καὶ εἰδέναι τὴν ἐραστοῦ φιλίαν, ὅτι οὐ μετ' εὐνοίας γίγνεται, ἀλλὰ σιτίου τρόπον χάριν πλησμονῆς

d. Ὡς λύκοι ἄρν' ἀγαπῶσ', ὡς παῖδα φιλοῦσιν ἐρασταί.

Τοῦτ' ἐκεῖνο, ὦ Φαῖδρε. Οὐκέτ' ἂν πέρα ἀκουσαις ἐμοῦ λέγοντος, ἀλλ' ἤδη σοι τέλος ἐχέτω ὁ λό-

---

του γὰρ οὔτ' ἔστιν οὔτε ποτὲ μὴ γένηται κρεῖττον οὔτε ἄμεινον οὔτε τεχνικώτερον εἰς σωτηρίαν τὴν κατὰ πόλεμον καὶ νίκην.

40. ἀλλὰ σιτίου — Cornarium, θηρίου τρόπον corrigentem, recte refutavit Stephanus. Verborum enim hic est ordo: ὅτι οὐ μετ' εὐνοίας γίγν., ἀλλ' ἐρασταὶ φιλοῦσι παῖδα σιτίου τρόπον χάριν πλησμονῆς etc. — Vindob. ἄρν' ἀγαπῶσιν [immo, cum levicula varietate, sic omnes codd., certe Bekkeriani, pro ἄρνα φιλοῦσ', quod est in editis]: atque Aristaenet. II, 20. p. 104. ὡς γὰρ λύκοι τοὺς ἄρνας ἀγαπῶσιν, οὕτω τὰ γύναια ποθοῦσιν οἱ νέοι, καὶ λυκοφιλία τούτων ὁ πόθος. Schol. Il. χ, 263. ἐντεῦθεν ἡ παροιμία φησὶν, οὕτω φιλοῦσι λύκοι τοὺς ἄρνας, ὡς φιλέουσιν ἀντερασταί. Schol. Plat. p. 59. Παρῳδεῖ τὸ Ὁμηρικὸν εἰρημένον ἐν τῇ χ ῥαψῳδίᾳ. Nugae.

40. Τρῦτ' ἐκεῖνο. *Hoc illud est.* [Da haben wir's!] Alias τοῦτ' ἔστιν ἐκεῖνο, v. Charmid. §. 30. ibiq. not. Sed ita Aristoph. Acharn. 41. τοῦτ' ἐκεῖν', οὑγὼ 'λεγον, Εἰς τὴν προεδρίαν πᾶς ἀνὴρ ὠστίζεται. Plat. Symp. p. 210. e. Τοῦτο ἐκεῖνο, ὦ Σώκρ., οὗ δὴ ἕνεκα καὶ οἱ ἔμπροσθεν πάντες πόνοι ἦσαν: et suppressa tali ad superiora relatione Arist. Av. 354. Eurip. Med. 97. Nempe hic quoque refertur hoc ad versum hunc, quo disputationem finierat Socrates Ὡς λύκοι etc. *Ecce me versus loquentem! Hoc illud est, quod ante dixeram, me dithyrambos propemodum loqui.* §. 32. Igitur hanc formulam seiunxi a seqq., in quibus πέρα ad λέγειν pertinet: v. Valcken. ad Eurip. Hippol. 1032. [Be. ex opt. et pl. τὸ πέρα.] — Mox pro πέρας ἐχέτω Vindob. [et Be. omnes praeter Par. EF] τέλος ἐχέτω, quod altero illo usitatius Platoni. Conf. Polit. p. 274. d. de legg. III. p. 698. a. V. p. 734. e. et locis aliis quam plurimis. Sed recte videtur Lentzius in verbis πέρα et πέρας paronomasiam agnoscere, Platoni quoque satis frequentatam: e. g. Hipp. māi. 48. Ἡμεῖς γὰρ, ὦ βέλτιστε, οὕτως ἀβέλτεροι ἦμεν. Charm. 49. Οὐ γὰρ ἄν που — τοῦτο ἡμῖν

γος. ΦΑΙ. Καίτοι ὤμην γε μεσοῦν αὐτὸν, καὶ 41.
ἐρεῖν τὰ ἴσα περὶ τοῦ μὴ ἐρῶντος, ὡς δεῖ ἐκείνῳ χα-
ρίζεσθαι μᾶλλον, λέγων ὅσα αὖ ἔχει ἀγαθά. Νῦν
δὲ δὴ, ὦ Σώκρατες, τί ἀποπαύει; ΣΩ. Οὐκ ἤσθου,
ὦ μακάριε, ὅτι ἤδη ἔπη φθέγγομαι, ἀλλ' οὐκέτι δι- e.
θυράμβους, καὶ ταῦτα ψέγων; Ἐὰν δ' ἐπαινεῖν
τὸν ἕτερον ἄρξωμαι, τί με οἴει ποιήσειν; Ἆρ' οἶσθ',
ὅτι ὑπὸ τῶν Νυμφῶν, αἷς με σὺ προὔβαλες ἐκ προ-
νοίας, σαφῶς ἐνθουσιάσω; Λέγω οὖν ἐνὶ λόγῳ ὅτι,
ὅσα τὸν ἕτερον λελοιδορήκαμεν, τῷ ἑτέρῳ τἀναντία
τούτων ἀγαθὰ πρόσεστι. Καὶ τί δεῖ μακροῦ λόγου;
Περὶ γὰρ ἀμφοῖν ἱκανῶς εἴρηται, καὶ οὕτω δὴ ὁ

ἀνωφελὲς ἐφάνη, εἴ τι ἐμοῦ ὄφελος ἦν. [Hic tamen hujus lusus tam parum gratiae esset, simulque codicum E F tam exigua est auctoritas, ut nefas foret ceterorum omnium τέλος prae illo spernere.]

§. 41. *Καίτοι ὤμην — καὶ ἐρεῖν* sc. *τὸν λόγον.* Mox *λέγων*, pro quo sane accuratior stili ratio requirebat accusativum, nolim tamen cum Stephano mutare in *λέγοντα.* Quidni hic potius *ἀνακολουθίαν* quandam esse putemus, Platoni quidem non adeo raram? Sophist. p. 219. d. *Ξ. Τί δέ; τὴν χειρωτικὴν ἆρ' οὐ δικῇ τιμητέον; Θ. Πῇ; Ξ. Τὸ μὲν ἀναφανδὸν ὅλον ἀγωνιστικὸν θέντες* etc. de legg. X. p. 885. c. *ἀξιοῦμεν δὴ, καθάπερ ὑμεῖς ἠξιώκατε περὶ νόμων, πρὶν ἀπειλεῖν ἡμῖν σκληρῶς ἡμᾶς πρότερον ἐπιχειρεῖν πείθειν καὶ διδάσκειν ὡς εἰσὶ θεοὶ, τεκμήρια λέγοντες ἱκανά.* *ὅτι ἤδη ἔπη — versus ipsos, legitimo numero adstrictos;* quod spectat ad versum illum *Ὡς λύκοι — ἐρασταί.* Ad *διθυράμβους* conf. §. 32. In seqq. autem vulgatam distinctionem hanc *προὔβαλες, ἐκ προνοίας σαφῶς ἐνθουσιάσω* correxerat iam Lennep. ad Phalar. p. 143. *Ἐκ προνοίας* est *dedita opera:* de legg. XI. p. 932. e. *Εἴ τις — ἑκὼν ἐκ προνοίας πημαίνει. — ὑπὸ τῶν Νυμφ.* Conf. §. 9.

41. *καὶ οὕτω δὴ ὁ μῦθος — atque ita haec disputatio seu laudabitur, seu vituperabitur, quamcunque in partem accipi*

p. 242. a. μῦθος, ὅτι πάσχειν προσήκει αὐτῷ, τοῦτο πείσεται, κἀγὼ τὸν ποταμὸν τοῦτον διαβὰς ἀπέρχομαι, πρὶν 42. ὑπό σοῦ τι μεῖζον ἀναγκασθῆναι. ΦΑΙ. Μήπω γε, ὦ Σώκρατες, πρὶν ἂν τὸ καῦμα παρέλθῃ. Ἢ οὐχ ὁρᾷς, ὡς σχεδὸν ἤδη μεσημβρία ἵσταται ἡ δὴ καλουμένη σταθερά; Ἀλλὰ περιμείναντες καὶ ἅμα περὶ τῶν εἰρημένων διαλεχθέντες, τάχα ἐπειδὰν ἀποψύξῃ ἴωμεν. ΣΩ. Θεῖός γ' εἶ περὶ τοὺς λόγους, ὦ Φαῖδρε, καὶ ἀτεχνῶς θαυμάσιος. Οἶμαι γὰρ ἐγὼ τῶν b. ἐπὶ τοῦ σοῦ βίου γεγονότων λόγων μηδένα πλείους ἢ σὲ πεποιηκέναι γεγενῆσθαι, ἤτοι αὐτὸν λέγοντα ἢ

---

merebitur, accipiatur. — τι μεῖζον ἀναγκασθῆναι. Miror, Stephanum, virum Graece doctissimum, εἰς ante τι vel εἰπεῖν excidisse putantem. Nihil hac structura frequentius est. Ita §. 75. ἀγανακτοῦντε ὡς δεινὰ καὶ παράνομα ἀναγκαζομένω. de rep. V. p. 473. a. Τοῦτο μὲν δὴ μὴ ἀνάγκαζέ με. Sympos. p. 181. e. χρὴ δὲ καὶ τούτους — προσαναγκάζειν τὸ τοιοῦτον. Atque ita Latinis quoque dicitur *aliquis aliquid cogi*, de quo vid. Gronov. ad Liv. IV, 26. Hunc in modum, opinor, scripturam h. l. tueri debebat Dorvill. ad Charit. p. 455. Iam intellige Socratem surgentem et versus Ilissum discedentem. Conf. §. 43.

§. 42. ἡ δὴ καλουμένη σταθερά. Vid. de hoc grammatici alicuius additamento, locutionem μεσημβρία ἵσταται explicantis, Ruhnken. ad Tim. Lex. p. 235. [Verba haec ipsa, quae ejecerat Hdf., cum Bekkero restituimus, vel ob id, quod, siquidem glossema hoc est, perantiqui, ut ipse ait Ruhnkenius, est grammatici. Et quid si, quod Platonem fortasse dedecet, non item a persona quam loquentem ille facit, abhorrere pronuntiamus? *Buttm.*] Deinde τάχα ἐπειδὰν Attice dictum pro ἐπειδὰν τάχιστα, in quo τάχα, *statim*, *mox*: v. Ruhnk. ad Tim. p. 151. et p. 266. [Tum Be. meliores suos secutus ἀποψυχῇ ἴμεν.]

42. Οἶμαι γὰρ ἐγὼ — Facilem haec habent explicatum, ut in his non videam cur Stephanus haeserit: οἶμαι γὰρ

ἄλλους ἐνί γέ τῳ τρόπῳ προσαναγκάζοντα. Σιμμίαν Θηβαῖον ἐξαιρῶ λόγου, τῶν δὲ ἄλλων πάμπολυ κρατεῖς. Καὶ νῦν αὖ δοκεῖς αἴτιός μοι γεγενῆσθαι λόγῳ τινὶ ῥηθῆναι. ΦΑΙ. Οὐ πόλεμόν γε ἀγγέλλεις. Ἀλλὰ πῶς δὴ καὶ τίνι τούτῳ; ΣΩ. Ἠνίκ' ἔμελλον, 43.
ὦ ἠγαθέ, τὸν ποταμὸν διαβαίνειν, τὸ δαιμόνιόν τε καὶ τὸ εἰωθὸς σημεῖόν μοι γίγνεσθαι ἐγένετο· ἀεὶ δέ με ἐπίσχει, ὃ ἂν μέλλω πράττειν· καί τινα φωνὴν c.
ἔδοξα αὐτόθεν ἀκοῦσαι, ἣ με οὐκ ἐᾷ ἀπιέναι, πρὶν ἂν ἀφοσιώσωμαι, ὥς τι ἡμαρτηκότα εἰς τὸ θεῖον. Εἰμὶ δὴ οὖν μάντις μέν, οὐ πάνυ δὲ σπουδαῖος, ἀλλ'

ἐγὼ, ὡς μηδεὶς πλείους τῶν ἐπὶ τοῦ σοῦ βίου γεγονότων λόγων γεγενῆσθαι πεποίηκεν, ἢ σύ. [Vocem λόγων omisit Be. cum optimis.] ἐνί γέ τῳ τρόπῳ. Meno. p. 96. d. ζητητέον ὅστις ἡμᾶς ἐνί γε τῳ τρόπῳ βελτίους ποιήσει. Add. Aristoph. Plut. 402. et cf. Thesm. 430. ibique Brunck. et Bergl. — Mox de *Simmia Thebano*, Socratis familiari, conf. Phaedo. p. 59. c. Crito. p. 45. b. Diog. Laert. II, 124. — ἐξαιρῶ. Vulg. ἐξαίρω: vid. ad Theaet. 51. Omissio articuli ante λόγου in hac phrasi sollemnis. Vid. de rep. VI. p. 492. e. Symp. 176. c. cod. Par. Paullo post λόγῳ τινὶ, in quo offendit Lentzius, cape de ea, quae mox a Socrate proferetur, amoris laudatione. — Οὐ πόλεμόν γε ἀγγέλλεις. Schol. οὐ πόλ. ἀγγ., ἐπὶ τῶν ἀγαθὰ ἀγγελλόντων. Ἐμνήσθη ταύτης καὶ ἐν τῷ τρίτῳ τῶν Νόμων. p. 702. d.

§. 43. Ἠνίκ' ἔμελλον — De Socratis hoc δαιμονίῳ conf. Apolog. p. 31. d. Theag. p. 128. d. Xenoph. Mem. I, 1, 4. Plutarch. de Genio Socr., Maxim. Tyr. Diss. XIV. et XV. Appulei. de Deo Socr. Sed haereo in verbis ἀεὶ δέ με — πράττειν. Quid? num dicere eum putas, *semper se illo signo deterreri, quidquid sit facturus?* Ergo obsequenti nihil plane facere licebat. Quanto melius in Apolog. p. 31. d. Ἐμοὶ δὲ τοῦτό ἐστιν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη, ἣ ὅταν γένηται, ἀεὶ ἀποτρέπει με τούτου, ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔποτε? Illinc igitur verba haec intrusa

ὥσπερ οἱ τὰ γράμματα φαῦλοι, ὅσον ἐμαυτῷ μόνον ἱκανός. Σαφῶς οὖν ἤδη μανθάνω τὸ ἁμάρτημα· ὡς δή τοι, ὦ ἑταῖρε, μαντικόν γέ τι καὶ ἡ ψυχή. Ἐμὲ γὰρ ἔθραξε μέν τι καὶ πάλαι λέγοντα τὸν λόγον, καί πως ἐδυσωπούμην κατ' Ἴβυκον, μή τι παρὰ θεοῖς ἀμπλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψω· d. νῦν δ' ἤσθημαι τὸ ἁμάρτημα. ΦΑΙ. Λέγεις δὲ δὴ τί; ΣΩ. Δεινὸν, ὦ Φαῖδρε, δεινὸν λόγον αὐτός τε ἐκόμισας, ἐμέ τε ἠνάγκασας εἰπεῖν. ΦΑΙ. Πῶς δή; ΣΩ. Εὐήθη καὶ ὑπό τι ἀσεβῆ, οὗ τίς ἂν εἴη δεινό- 44. τερος; ΦΑΙ. Οὐδείς, εἴ γε σὺ ἀληθῆ λέγεις. ΣΩ. Τί οὖν; τὸν Ἔρωτα οὐκ Ἀφροδίτης καὶ θεόν τινα e. ἡγεῖ; ΦΑΙ. Λέγεταί γε δή. ΣΩ. Οὔτι ὑπό γε Λυ-

---

suspicor. [Cum relativus fere sit vocis *ἀεί* sensus, verba *ὅταν γένηται* non praeter usum, opinor, etiam subaudiuntur. *Buttm.*]

43. *ὅσον ἐμαυτῷ.* [Be ex opt. *ὅσον μὲν ἐ.*] — *Ὡς δή τι, ὦ ἑταῖρε.* Vindob. *ὡς δή ποι.* An *ὡς δή τοι*? [sic nos cum Be. et codd.] ut de rep. II. p. 366. c. *ὡς δή τοι εἴ τις ἔχοι ψευδῆ* — *ἀποφῆναι* etc.: atque *δή τι* et *δή τοι* permutata frequenter: v. Wessel. ad Herodot. p. 292. m. Sed itidem in Tim. p. 26. b. *ὡς δή τι* [ibi quoque *τοι* Be. ex opt. et pl.] *τὸ λεγόμενον τὰ παίδων μαθήματα θαυμαστὸν ἔχει τι μνημεῖον.* *Ἐγὼ γὰρ* etc. Et sic *οὕτω δή τι*: vid. Hemsterh. ad Lucian. Dial. Deor. XX, 14. idemque de formula *ὡς δή τί τοῦτο* ibid. Necyom. §. 8. Deinde de *Ibyci hac sententia* v. Ruhnk. ad Tim. Lex. p. 90. Orationis colorem hinc sumpsit Themist. XIV. p. 333. *ἐμὲ ἀποστοματίζοντα τὴν Πλάτωνος ῥῆσιν ἔθραξέ τι καὶ ἔνυξε τὴν διάνοιαν καὶ οὐκ ἀνέχεται ἡρεμεῖν* etc. *ὑπό τι ἀσεβῆ.* Gorg. p. 493. c. *ταῦτ' ἐπιεικῶς μέν ἐστιν ὑπό τι ἄτοπα.*

§. 44. *Οὔτι ὑπό γε Λυσ.* Malim *Οὔτοι.* Eicin. *non tamen.* Idem mox: *qui per os meum — prolatus est,* ut *ὃς* pro

σίου οὐδὲ ὑπὸ τοῦ σοῦ λόγου, ὃς διὰ τοῦ ἐμοῦ στόματος καταφαρμακευθέντος ὑπὸ σοῦ ἐλέχθη. Εἰ δ' ἔστιν, ὥσπερ οὖν ἐστι, θεὸς ἤ τι θεῖον ὁ Ἔρως, οὐδὲν ἂν κακὸν εἴη· τὼ δὲ λόγω τὼ νῦν δὴ περὶ αὐτοῦ εἰπέτην ὡς τοιούτου ὄντος. Ταύτη τε οὖν ἡμαρτανέτην περὶ τὸν Ἔρωτα, ἔτι τε ἡ εὐήθεια αὐτοῖν πάνυ ἀστεία, τὸ μηδὲν ὑγιὲς λέγοντε μηδὲ ἀληθὲς σεμνύνεσθαι ὥς τι ὄντε, εἰ ἄρα ἀνθρωπίσκους τινὰς ἐξαπατήσαντε εὐδοκιμήσετον ἐν αὐτοῖς. Ἐμοὶ μὲν οὖν, ὦ φίλε, καθήρασθαι ἀνάγκη. Ἔστι δὲ τοῖς p. 243. a. ἁμαρτάνουσι περὶ μυθολογίαν καθαρμὸς ἀρχαῖος, ὃν Ὅμηρος μὲν οὐκ ἤσθετο, Στησίχορος δέ. Τῶν γὰρ ὀμμάτων στερηθεὶς διὰ τὴν Ἑλένης κακηγορίαν, οὐκ ἠγνόησεν, ὥσπερ Ὅμηρος, ἀλλ' ἅτε μουσικὸς ὢν ἔγνω τὴν αἰτίαν, καὶ ποιεῖ εὐθύς, Οὐκ ἔστ' ἔτυμος λόγος οὗτος, οὐδ' ἔβας ἐν νηυσὶν εὐσέλμοις, οὐδ' ἵκεο Πέργαμα Τροίας. Καὶ ποιήσας δὴ πᾶσαν τὴν κα- b. λουμένην παλινῳδίαν παραχρῆμα ἀνέβλεψεν. Ἐγὼ

ὡς [ὡς διὰ τοῦ — vulg.] legisse videatur; neque male. [Sic codd. omnes praeter unum Par. E. Reposuimus igitur.] Deinde idem: *at sermones*: unde recepi τὼ δὲ λόγω. Vulgo [cum codd. omnibus] δή.

44. ἔτυμος λόγος. [Sic Be. ex optimis: vulgo insertus articulus.] παλινῳδίαν. Isocrat. Encom. Helen. p. 431. Ἐπεδείξατο (ἡ Ἑλένη) καὶ Στησιχόρῳ τῷ ποιητῇ τὴν ἑαυτῆς δύναμιν. Ὅτε μὲν γὰρ ἀρχόμενος τῆς ᾠδῆς ἐβλασφήμησέ τι περὶ αὐτῆς, ἀνέστη τῶν ὀφθαλμῶν ἀπεστερημένος. Ἐπεὶ δὲ γνοὺς τὴν αἰτίαν τῆς συμφορᾶς τὴν καλουμένην παλινῳδίαν ἐποίησε, πάλιν αὐτὸν εἰς τὴν αὐτὴν φύσιν κατέστησε. Conf. Plat. de rep. IX. p. 586. c. Epist. III. fin. Horat. Epod. XVII. Dio Chrysost. p. 156. Pausan. III, 19. p. 260. Max. Tyr. Diss. XXVII.

οὖν σοφώτερος ἐκείνων γενήσομαι κατ' αὐτό γε τοῦτο. Πρὶν γάρ τι παθεῖν διὰ τὴν τοῦ Ἔρωτος κακηγορίαν, πειράσομαι αὐτῷ ἀποδοῦναι τὴν παλινῳδίαν γυμνῇ τῇ κεφαλῇ, καὶ οὐχ ὥσπερ τότε, ὑπ' αἰσχύνης
45. ἐγκεκαλυμμένος. ΦΑΙ. Τουτωνὶ, ὦ Σώκρατες, οὐκ ἔστιν ἅττ' ἂν ἐμοὶ εἴπῃς ἡδίω. ΣΩ. Καὶ γὰρ, ὦ
c. γαθὲ Φαῖδρε, ἐννοεῖς, ὡς ἀναιδῶς εἰρησθον τῷ λόγῳ, οὗτός τε καὶ ὁ ἐκ τοῦ βιβλίου ῥηθείς. Εἰ γὰρ ἀκούων τις τύχοι ἡμῶν γεννάδας καὶ πρᾷος τὸ ἦθος, ἑτέρου δὲ τοιούτου ἐρῶν ἢ καὶ πρότερόν ποτε ἐρασθείς, λεγόντων ὡς διὰ σμικρὰ μεγάλας ἔχθρας οἱ ἐρασταὶ ἀναιροῦνται καὶ ἔχουσι πρὸς τὰ παιδικὰ φθονερῶς τε καὶ βλαβερῶς, πῶς οὐκ ἂν οἴει αὐτὸν ἡγεῖσθαι ἀκούειν ἐν ναύταις που τεθραμμένων καὶ οὐδένα ἐλεύθερον ἔρωτα ἐωρακότων, πολλοῦ δ' ἂν δεῖν
d. ἡμῖν ὁμολογεῖν ἃ ψέγομεν τὸν Ἔρωτα; ΦΑΙ. Ἴσως νὴ Δί', ὦ Σώκρατες. ΣΩ. Τοῦτόν γε τοίνυν ἔγωγε αἰσχυνόμενος καὶ αὐτὸν τὸν Ἔρωτα δεδιὼς ἐπιθυμῶ ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι.

---

init. σοφώτερος ἐκείνων. [Unus Ven. Ξ ἐκείνου. Vid. Schleierm.] — κατ' αὐτό γε τοῦτο, *in hoc uno.*

§. 45. λεγόντων ὡς διὰ — v. §. 18. 40. ἐν ναύταις, *in vilissimo hominum genere.* Isocrat. de Pace p. 335. εἰ τριήρεις πληροῖεν, τοὺς μὲν ξένους καὶ τοὺς δούλους ναύτας εἰσεβίβαζον, τοὺς δὲ πολίτας μεθ' ὅπλων ἐξέπεμπον. Plato de legg. IV. p. 707. a. Κυβερνητικὴ καὶ πεντηκονταρχία καὶ ῥητορικὴ παντοδαπῶν καὶ οὐ πάνυ σπουδαίων ἀνθρώπων γιγνομένη. Plutarch. Demosth. 4. κραιπαλῶντες ἄνθρωποι, ναῦται καὶ ἀμαθεῖς. Cf. Theopomp. ap. Athen. VI. p. 254. b. Iuvenal. VIII, 174. *Invenies aliquo cum percussore iacentem, Permixtum nautis et furibus ac fugitivis.* Deinde ad illa ἐπιθυμῶ — ἀπο-

Συμβουλεύω δὲ καὶ Λυσίᾳ ὅτι τάχιστα γράψαι, ὡς χρὴ ἐραστῇ μᾶλλον ἢ μὴ ἐρῶντι ἐκ τῶν ὁμοίων χαρίζεσθαι. ΦΑΙ. Ἀλλ' εὖ ἴσθι ὅτι ἔξει τοῦθ' οὕτως· σοῦ γὰρ εἰπόντος τὸν τοῦ ἐραστοῦ ἔπαινον, πᾶσα ἀνάγκη Λυσίαν ὑπ' ἐμοῦ ἀναγκασθῆναι γράψαι αὖ περὶ τοῦ αὐτοῦ λόγον. ΣΩ. Τοῦτο μέν πιστεύω, ἔωσπερ ἂν ἦς ὃς εἶ. ΦΑΙ. Λέγε τοίνυν θαῤῥῶν. ΣΩ. Ποῦ δή μοι ὁ παῖς, πρὸς ὃν ἔλεγον, ἵνα καὶ τοῦτο ἀκούσῃ, καὶ μὴ ἀήκοος ὢν φθάσῃ χαρισάμενος τῷ μὴ ἐρῶντι; ΦΑΙ. Οὗτος παρὰ σοὶ μάλα πλησίον ἀεὶ πάρεστιν, ὅταν σὺ βούλῃ. 46. e. p. 244. a.

ΣΩ. Οὕτωσὶ τοίνυν, ὦ παῖ καλέ, ἐννόησον, ὡς ὁ μὲν πρότερος ἦν λόγος Φαίδρου, τοῦ Πυθοκλέους, Μυῤῥινουσίου ἀνδρός· ὃν δὲ μέλλω λέγειν, Στησιχόρου, τοῦ Εὐφήμου, Ἱμεραίου. Λεκτέος δὲ ὧδε, ὅτι οὐκ ἔστ' ἔτυμος λόγος, ὃς ἂν παρόντος ἐραστοῦ

καλέσασθαι vid. Wittenbach. Ep. Crit. p. 55. ἐκ τῶν ὁμοίων, si cetera paria sint, ut ἐκ τῶν παρόντων, ἐκ τῶν δυνατῶν, ἐκ τῶν ἐνόντων.

§. 46. ἔωσπερ ἂν ἦς ὃς εἶ, audiendi orationes cupidissimus. Conf. §. 42. Pro ὃς autem cave corrigas οἷος. Theaet. p. 197. a. οὐδένα τρόπον διαλέξομαι, ὧν γε ὃς εἰμι. Euthyd. p. 283. d. Οὐκοῦν, ὃς μὲν οὐκ ἔστι, βούλεσθε αὐτὸν γενέσθαι· ὃς δ' ἔστι νῦν, μηκέτι εἶναι. de rep. VII. p. 529. a. Οὐκ ἀγεννῶς μοι δοκεῖς τὴν — μάθησιν λαμβάνειν παρὰ σαυτῷ ἥ ἐστι. καὶ τοῦτο ἀκ. [Sic Be. ex optimis: vulgo τούτου.]

46. ὡς ὁ μὲν πρότερος — Phaedri dicit eum, quem ipse ab illo coactus protulit, sermonem, quo piaculum in eum transferat. Conf. §. 44. *Myrrhinusii* nomen is habet a *Myrrhinunte*, tribus *Pandionidis* pago. — τοῦ Εὐφήμου. Suid. Στησίχορος, Εὐφόρβου ἢ Εὐφήμου· ὡς δὲ ἄλλοι, Εὐκλείδου ἢ Τέτους ἢ Ἡσιόδου. καλεῖται γοῦν Ἱμεραῖος. [Mox iterum iisdem auctoribus quibus supra §. 44. e vulgata lectione ἔτυμος ὁ

τῷ μὴ ἐρῶντι μᾶλλον φῇ δεῖν χαρίζεσθαι, διότι δὴ
47. ὁ μὲν μαίνεται, ὁ δὲ σωφρονεῖ. Εἰ μὲν γὰρ ἦν
ἁπλοῦν τὸ μανίαν κακὸν εἶναι, καλῶς ἂν ἐλέγετο·
νῦν δὲ τὰ μέγιστα τῶν ἀγαθῶν ἡμῖν γίγνεται διὰ
μανίας, θείᾳ μέντοι δόσει διδομένης. Ἥ τε γὰρ δὴ
b. ἐν Δελφοῖς προφῆτις αἱ τ' ἐν Δωδώνῃ ἱέρειαι μανεῖ-
σαι μὲν πολλὰ δὴ καὶ καλὰ ἰδίᾳ τε καὶ δημοσίᾳ τὴν
Ἑλλάδα εἰργάσαντο, σωφρονοῦσαι δὲ βραχέα ἢ οὐ-
δέν. Καὶ ἐὰν δὴ λέγωμεν Σίβυλλάν τε καὶ ἄλλους,
ὅσοι μαντικῇ χρώμενοι ἐνθέῳ πολλὰ δὴ πολλοῖς προ-
λέγοντες εἰς τὸ μέλλον ὤρθωσαν, μηκύνοιμεν ἂν,
48. δῆλα παντὶ λέγοντες. Τόδε μὴν ἄξιον ἐπιμαρτύρα-
σθαι, ὅτι καὶ τῶν παλαιῶν οἱ τὰ ὀνόματα τιθέμε-
c. νοι οὐκ αἰσχρὸν ἡγοῦντο οὐδὲ ὄνειδος μανίαν. Οὐ
γὰρ ἄν τῇ καλλίστῃ τέχνῃ, ᾗ τὸ μέλλον κρίνεται,

λόγος articulum expunximus, magis etiam hinc alienum, ubi in universum subjungitur ὅς ἂν φῇ.] παρόντος ἐραστοῦ, *quando quis habeat amatorem.* Hic igitur amorem manifesto ponit unum *μανίας* genus, cujus statim tria praeterea genera profert, *divinationem mysticorumque sacrorum initiationem et poesin.*

§. 47. *Εἰ μὲν γὰρ ἦν ἁπλοῦν, si dici simpliciter posset et sine ulla exceptione.* Conf. Phaedo p. 62. a. et Sympos. p. 180, c. Mox Cod. Aristidis Orat. Plat. I. ed. Jebb. T. II. p. 13. αἵ τε — προφήτεις al. αἵ τε προφήτιδες: male, quum unam fere Pythiam memorent veteres. — ἐν Δωδώνῃ. Dodonaeis sacris feminas fuisse antistites, firmat Herodot. II, 53. ubi vid. Wessel. — Paullo post Vindob. ἐνθέοις, unde coniectabat aliquis ἔνθεοι. Sed *μαντικὴν ἔνθεον* opponit τῇ παρ' ἀνθρώπων γιγνομένῃ. πολλὰ δὴ — ὤρθωσαν [Sic codd. longe plur. cum Aristide, item cum Ficino: *quam multa praedicentes in futurum profuerint:* unus Ven. Ξ dat vulgatam π. δ. π. προὔλεγον ε. τ. μ. ὀρθῶς.]

αὐτὸ τοῦτο τοὔνομα ἐμπλέκοντες μανικὴν ἐκάλεσαν, ἀλλ' ὡς καλοῦ ὄντος, ὅταν θείᾳ μοίρᾳ γίγνηται, οὕτω νομίσαντες ἔθεντο. Οἱ δὲ νῦν ἀπειροκάλως τὸ ταῦ ἐπεμβάλλοντες μαντικὴν ἐκάλεσαν. Ἐπεὶ καὶ τήνγε τῶν ἐμφρόνων ζήτησιν τοῦ μέλλοντος διά τε ὀρνίθων ποιουμένων καὶ τῶν ἄλλων σημείων, ἅτ' ἐκ διανοίας οριζομένων ἀνθρωπίνῃ οἰήσει νοῦν τε καὶ

---

§. 48. *μανικὴν ἐκάλεσαν.* Conf. Davis. ad Cic. de Divinat. c. I. *Ἐπεὶ καὶ τήνγε τῶν ἐμφρόν.* Edd. haec habent sic scripta: *ἐπεὶ καὶ τήνγε τῶν ἐμφρόνων ζήτησιν τοῦ μέλλοντος διά τε ὀρνίθων ποιουμένων καὶ τῶν ἄλλων σημείων, ἅτ' ἐκ διανοίας οριζομένων ἀνθρωπίνῃ νοήσει νοῦν τε καὶ ἱστορίαν οἰονοηστικὴν ἐπωνόμασαν.* Quibus in verbis scripturam codicis Vindob. [cui accedunt alii complures cum Clarkiano] et Aristidis, *οἰήσει*, et, pro *οἰονοηστικὴν*, Buttmanni correctionem, *οἰονοϊστικὴν* [firmatam hanc quoque hodie codicibus, scriptura per *η* in edd. tantum, ut videtur, prostante] indubitanter recepi. Nam tria haec, *οἴησιν*, *νοῦν*, *ἱστορίαν*, in hoc vocabulo inesse satis aperte significat Plato: cuius vox alibi quoque est *οἴησις*. Theaet. p. 171. a. *Ἐκεῖνος περὶ τῆς αὐτοῦ οἰήσεως τὴν τῶν ἀντιδοξαζόντων οἴησιν — συγχωρεῖ που ἀληθῆ εἶναι.* Alcib. I. p. 120. c. *τὴν οἴησιν ταύτην σπόπει οἵαν ἔχεις.* In verbis autem proxime superioribus pro vulgatis *ποιουμένων — οριζομένων* Stephanus conjectabat *ποιουμένην* et *οριζομένην*: quorum illud, quod est etiam ap. Aristid., recepi [in Ed. priori]; neque enim quisquam maluerit ad *ποιουμένων* animo repetere *ζήτησιν* (*τῶν ἐμφρόνων — ποιουμένων ζήτησιν*), ratione durissima: loco alterius autem, quum illud *ἱστορίαν* subsequentibus verbis jungi nequeat, *οριζόμενον* scripsi. [Nos cum neutram harum mutationum codd. firment, utramque vocem, cum Bekkero, exhibuimus uti vulgatae sunt; inclinantes tamen in Aristideam scripturam *ποιουμένην*, illud autem *οριζομένων*, vel sic ad *ἔμφρονας* commode referri posse, censentes.] Pro *καὶ τῶν ἄλλων σημ.* Cod. Aristid. *καὶ δι' α. σ.* adstipulante Ficino: *per aves et alia ostenta:* quanquam huius in talibus nulla auctoritas. Liquet autem proferri h. l. aliud exemplum pravae nominum mu-

ἱστορίαν, οἰονοϊστικὴν ἐπωνόμασαν, ἣν νῦν οἰωνιστι-
d. κὴν τῷ ω σεμνύνοντες οἱ νέοι καλοῦσιν. Ὅσῳ δὴ
οὖν τελεώτερον καὶ ἐντιμότερον μαντικὴ οἰωνιστικῆς,
τό τε ὄνομα τοῦ ὀνόματος ἔργον τε ἔργου, τόσῳ κάλ-
λιον μαρτυροῦσιν οἱ παλαιοὶ μανίαν σωφροσύνης τὴν
49. ἐκ θεοῦ τῆς παρ' ἀνθρώπων γιγνομένης. Ἀλλὰ μὴν
νόσων γε καὶ πόνων τῶν μεγίστων, ἃ δὴ παλαιῶν ἐκ
μηνιμάτων ποθὲν ἔν τισι τῶν γενῶν, ἡ μανία ἐγ-

---

tationis, hoc sensu: *nam illam quoque hominum furore non correptorum investigationem futuri, quae per aves ceteraque instituitur ostenta, velut mentem quandam et cognitionem humanae opinioni ex sobria animi agitatione proficiscentem,* οἰονοϊστικὴν *veteres illi appellarunt, quod nomen prave mutatum est a posterioribus in* οἰωνιστικήν. — τὸ ω σεμνύνοντες, *illud praeclarum suum ω cum ostentatione quadam iactantes*, ut Protagoras dicitur ἀποσεμνύνων τὸ πάντων μέτρον Theaet. p. 168. d. [Praeferenda tamen utique erat optimorum Codd. scriptura τῷ ω σεμν.] Respexit autem h. l. Plato antiquiorem aetatem, illud Ω μέγα ignorantem, de quo vid. Muret. Var. Lectt. XVIII, 1.

§. 49. Ἀλλὰ μὴν νόσων γε — Alterum sequitur divini furoris genus, quod in expiandis sceleribus sacrorumque mysticorum celebratione versatur. In ipsis verbis pro πόνων Valcken. ad Eurip. Hippol. 141. ποινῶν coniecit, acutius quam verius. Eurip. Orest. 281. Αἰσχύνομαί σοι μεταδιδοὺς πόνων ἐμῶν, Ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς. Verum quae hic vulgo leguntur — τῶν μεγίστων δι' ἁμαρτήματα ἐκ μηνιμάτων που θεῶν ἔν τισι γενομένων ἡ μανία — a Stephano in contextum recepta, e Cornarii correctione sunt (Eclog. III. p. 48.), quae non liquet ingenii an librorum quoque ope concinnaverit audacior saepe Platonis hic emendator; neque huic scripturae patrocinatur prorsus Ficinus, vertens ita: *atqui adversus morbos et labores maximos, ob antiqua delicta quandoque divina indignatione mortalibus imminentes, gentibus quibusdam* etc., aut Schol. Aristid., apud quem leguntur παλαιῶν μηνιμάτων λέγει τῶν προγονικῶν. Itaque restituenda erat lectio Aldinae et Bas. 2. [et omnium quotquot

γενομένη καὶ προφητεύσασα, οἷς ἔδει, ἀπαλλαγὴν e.
εὕρετο, καταφυγοῦσα πρὸς θεῶν εὐχάς τε καὶ λα-
τρείας, ὅθεν δὴ καθαρμῶν τε καὶ τελετῶν τυχοῦσα
ἐξάντη ἐποίησε τὸν αὐτὴν ἔχοντα πρός τε τὸν πα-
ρόντα καὶ τὸν ἔπειτα χρόνον, λύσιν τῷ ὀρθῶς μα-
νέντι τε καὶ κατασχομένῳ τῶν παρόντων κακῶν εὑ-
ρομένη. Τρίτη δὲ ἀπὸ Μουσῶν κατοκωχή τε καὶ p. 245. a.
μανία, λαβοῦσα ἁπαλὴν καὶ ἄβατον ψυχὴν, ἐγείρουσα
καὶ ἐκβακχεύουσα κατά τε ᾠδὰς καὶ κατὰ τὴν ἄλλην

---

sunt manu scriptorum]: unde, si coniecturae locus est in scriptura incerta, haec coniicio: *ἅτε δὴ παλαιῶν ἐκ μνημάτων ποθὲν ἔν τισι τῶν γενῶν γενομένων.* [Manifesta sunt poetae alicujus vestigia; et nisi ipsos versus, facili sane negotio, tentandos censes, *Ἃ δὴ παλαιῶν ἔκ ποθεν μνημάτων Ἔν τισι γενῶν*, qua ratione fortasse suppressionem quoque verbi in vocula *ἐν* non aegre feras; certe Euripidis versum Phoen. 941. *Κάδμον παλαιῶν Ἄρεος ἐκ μνημάτων*, in mente habuit Plato. Cornarium hic quidem solo ingenio grassatum esse dubio caret. *Buttm.*] *Παλαιὰ μνήματα* sunt *irae deorum ob maiorum facinora*, quae in posteris puniri vulgi erat opinio. V. Valcken. ad Eurip. Hippol. p. 253. In seqq. *οἷς ἔδει* ad illa traho *ἀπαλλ. εὕρετο.* Aristid. *εὔρατο*: male: v. Wolf. ad Demosth. Lept. p. 216. — *ὅθεν δὴ, ex deorum responsis*: de legg. V. p. 738. b. *οὐδεὶς ἐπιχειρήσει κινεῖν νοῦν ἔχων, ὅσα ἐκ Δελφῶν ἢ Δωδώνης ἢ παρ' Ἄμμωνος, ἢ τινες* [l. *ἢ εἴ τινες*] *ἔπεισαν παλαιοὶ λόγοι ὀπηδὴ τινας πείσαντες, φασμάτων γενομένων ἢ ἐπιπνοίας λεχθείσης θεῶν· πείσαντες δὲ θυσίας τελεταῖς συμμίκτους κατεστήσαντο.* Et conf. de hac re nobilissimum illum Platonis locum de rep. II. p. 364. b. seq. ubi ridet hunc expiandi morem philosophus. — *ἐξάντη* h. e. *ὑγιᾶ καὶ ἔξω ἄτης.* V. Ruhnk. ad Tim. Lex. p. 108. — *αὐτὴν ἔχοντα.* [Be. ex opt. et plur. *ἑαυτῆς.*] — *κατασχομένῳ* sc. *ἐκ θεῶν.* Conf. Xenoph. Symp. I, 10. ibiq. Bach.

49. *Τρίτη — κατοχή.* Bas. 2. *κατακωχή.* Immo *κατοκωχή* [atque sic pars codd.], vid. Pierson. ad Moerid. p. 221. — Mox

ποίησιν, μυρία τῶν παλαιῶν ἔργα κοσμοῦσα τοὺς ἐπιγιγνομένους παιδεύει. Ὅς δ' ἂν ἄνευ μανίας Μουσῶν ἐπὶ ποιητικὰς θύρας ἀφίκηται, πεισθεὶς ὡς ἄρα ἐκ τέχνης ἱκανὸς ποιητὴς ἐσόμενος, ἀτελὴς αὐτός τε καὶ ἡ ποίησις ὑπὸ τῆς τῶν μαινομένων ἡ τοῦ σωφρο-
50. νοῦντος ἠφανίσθη. Τοσαῦτα μέν σοι καὶ ἔτι πλείω
b. ἔχω μανίας γιγνομένης ἀπὸ θεῶν λέγειν καλὰ ἔργα. Ὥστε τοῦτό γε αὐτὸ μὴ φοβώμεθα, μηδέ τις ἡμᾶς λόγος θορυβείτω δεδιττόμενος, ὡς πρὸ τοῦ κεκινημένου τὸν σώφρονα δεῖ προαιρεῖσθαι φίλον· ἀλλὰ τόδε πρὸς ἐκείνῳ δείξας φερέσθω τὰ νικητήρια, ὡς οὐκ ἐπ' ὠφελείᾳ ὁ ἔρως τῷ ἐρῶντι καὶ τῷ ἐρωμένῳ ἐκ θεῶν ἐπιπέμπεται. Ἡμῖν δὲ ἀποδεικτέον αὖ τοὐ-

---

Aristid. ἀναβακχεύουσα. Ὅς δ' ἂν ἄνευ — Senec. de Tranq. 15. *Nam sive Graeco poetae credimus, aliquando et insanire iucundum est: sive Platoni, frustra poeticas fores compos sui pepulit: sive Aristoteli, nullum magnum ingenium sine mixtura dementiae fuit.* Male autem olim cum contemptu quasi de mendico hoc dictum putabam, ἐπὶ ποιητ. θύρας ἀφικ., ut supra 19. de rep. II. p. 364 b.: cum honeste etiam dicatur de quovis opem alicujus petenti, et de salutandi officio, ut de rep. VI. p. 489. b. Arist. Rhet. II, 16. Eurip. Bacch. 319. (315.) — Deinde Stob. πεισθεὶς ἄρα ὡς —.

§. 50. μηδέ τις — δεδιττόμενος. Ficin.: *neve ulla nos ratio absterreat, ostendens* etc.: ut, ni δεδιττόμενος hoc parum intellexit, aliud aliquid legerit in Platone. Δεδιττόμενος ap. Aristid. bis legitur l. l. eamque h. l. scripturam tuetur Pierson. ad Moerid. p. 119. Stob. Eclog. Physic. I, 12. δειδισκόμενος eadem vi: v. Pierson. l. l. Mihi quidem particip. hoc post θορυβείτω paullulum languet, vellemque hic positum verbum *ostendendi* et *probandi* potestate praeditum, quod responderet seqq. ἀλλὰ τόδε — δείξας. — Quod pro φέρεσθαι Cornarius reposuit φερέσθω, est etiam in Aristid. et Stob.

ναντίον, ὡς ἐπ' εὐτυχίᾳ τῇ μεγίστῃ παρὰ θεῶν ἡ τοιαύτη μανία δίδοται. Ἡ δὲ δὴ ἀπόδειξις ἔσται c.
δεινοῖς μὲν ἄπιστος, σοφοῖς δὲ πιστή. Δεῖ οὖν πρῶτον ψυχῆς φύσεως πέρι θείας τε καὶ ἀνθρωπίνης ἰδόντα πάθη τε καὶ ἔργα τἀληθὲς νοῆσαι. Ἀρχὴ δὲ 51.
ἀποδείξεως ἥδε. Ψυχὴ πᾶσα ἀθάνατος. Τὸ γὰρ ἀεικίνητον ἀθάνατον, τὸ δ' ἄλλο κινοῦν καὶ ὑπ' ἄλλου κινούμενον, παῦλαν ἔχον κινήσεως, παῦλαν ἔχει ζωῆς. Μόνον δὴ τὸ αὐτὸ κινοῦν, ἅτε οὐκ ἀπολεῖπον ἑαυτό, οὔποτε λήγει κινούμενον, ἀλλὰ καὶ τοῖς ἄλλοις, ὅσα κινεῖται, τοῦτο πηγὴ καὶ ἀρχὴ κινήσεως. d.
Ἀρχὴ δὲ ἀγένητον. Ἐξ ἀρχῆς γὰρ ἀνάγκη πᾶν τὸ γιγνόμενον γίγνεσθαι, αὐτὴν δὲ μηδ' ἐξ ἑνός. Εἰ

---

50. Ἡ δὲ δὴ ἀπόδειξις — Aliis locis δεινοὶ et σοφοὶ iungi solent, non inter se opponi. Theaet. p. 154 d. Εἰ μὲν δεινοὶ καὶ σοφοὶ ἔγωγε καὶ σὺ ἦμεν. p. 173. b. δεινοί τε καὶ σοφοὶ γεγονότες. Protag. p. 341. a. Πρωταγόρας σοφὸς καὶ δεινός ἐστιν ἀνήρ. Herodot. V, 23. ἀνδρὶ σοφῷ τε καὶ δεινῷ: atque sic sexcenties. Igitur h. l. consulto a vulgato dicendi more discessit Plato, et δεινοὶ accipiendum de *sophistis*, qui lingua prompti callidis sophismatis adversarios decipiunt. Velut Demosthenem Aeschines vocabat δεινὸν καὶ πανοῦργον καὶ σοφιστήν, et Theaet. p. 177. a. iunctim dixit δεινοὶ καὶ πανοῦργοι. Πανουργίαν autem τῇ σοφίᾳ opponit Menex. c. 19. ed. Gottleb. Πᾶσα ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς, πανουργία οὐ σοφία φαίνεται. Denique eodem prorsus modo, quo h. l., σοφοὶ opponuntur δεινοῖς a Platone in Theaet. p. 164. c. [ubi rectius tamen nunc legitur φιλόσοφοι]; et de rep. III. p. 409. c. ὁ δὲ δεινὸς ἐκεῖνος — καὶ σοφὸς οἰόμενος εἶναι.

§. 51. Ψυχὴ πᾶσα — Vertit hanc Platonis de immortalitate animorum argumentationem Cicero Tusc. Disp. I, 23., itemque in Somn. Scip. c. 8., quam interpretationem cum Platonis verbis comparavit Muretus Var. Lectt. VIII, 3. Εἰ

γὰρ ἔκ του ἀρχὴ γίγνοιτο, οὐκ ἂν ἐξ ἀρχῆς γίγνοιτο.
52. Ἐπειδὴ δὲ ἀγένητόν ἐστι, καὶ ἀδιάφθορον αὐτὸ ἀνάγκη εἶναι. Ἀρχῆς γὰρ δὴ ἀπολομένης, οὔτε αὐτή ποτε ἔκ του οὔτε ἄλλο ἐξ ἐκείνης γενήσεται, εἴπερ ἐξ ἀρχῆς δεῖ τὰ πάντα γίγνεσθαι. Οὕτω δὴ κινήσεως μὲν ἀρχὴ τὸ αὐτὸ αὑτὸ κινοῦν· τοῦτο δὲ οὔτ' ἀπόλ-
e. λυσθαι οὔτε γίγνεσθαι δυνατὸν, ἢ πάντα τε οὐρανὸν πᾶσάν τε γῆν συμπεσοῦσαν στῆναι καὶ μήποτε
53. αὖθις ἔχειν ὅθεν κινηθέντα γενήσεται. Ἀθανάτου δὲ πεφασμένου τοῦ ὑφ' ἑαυτοῦ κινουμένου, ψυχῆς οὐσίαν τε καὶ λόγον τοῦτο αὐτό τις λέγων οὐκ αἰσχυ-

---

γὰρ ἔκ του ἀρχὴ — *Nec enim esset id principium, quod gignceretur aliunde.* Cic. Hinc Muretus legisse eum coniecit. εἰ γὰρ — γίγνοιτο, οὐκ ἂν ἀρχὴ γίγνοιτο, in quibus tamen scribere debebat Plato εἴη, non γίγνοιτο. Mihi reponendum videbatur οὐκ ἂν πᾶν ἐξ ἀρχῆς γίγνοιτο. Sed verum videtur, quod coniecit Buttmannus, οὐκ ἂν ἔτι ἀρχὴ γένοιτο.

§. 52. τοῦτο δὲ οὔτ' ἀπόλλυσθαι — Stob. τοῦτο δ' οὖν οὔτε —. Inverso autem ordine Cicero: *id autem nec nasci potest nec mori*, unde tamen nihil existimem cum Mureto de Platonis scriptura. Nam quum hic in proxime praegressis dixerit de *interitu*, de *ortu* paullo superius, bene τὸ ἀπόλλυσθαι anteposuit alteri. — πᾶσάν τε γῆν. [Be. ex longe plurimis π. τ. γένεσιν.] Mox in edd. post ἔχειν iterum infertur στῆναι, quod Cicero non expressit, neque id est in Cod. Stob. (Eclog. Phys. I.) Itaque omisi. Nam Bouherii in Animadv. ad Cic. Tusc. p. 30. correctionem ἔχειν σθένος, ὅθεν — refutare non attinet. Ad στῆναι autem et ἔχειν ex praegresso δυνατὸν subaudiendum ἀνάγκη: conf. §. 125. fin. Parm. 17. extr. Stob. Cod. πᾶσαν τε γένεσιν συμπεσοῦσαν συστῆναι καί.

§. 53. Ἀθανάτου δὲ πεφασμένου — Hic ita Muretus: *hoc dicit Plato, si quis ita definiat animum, ut dicat animum esse id, quod se ipsum movet, eam definitionem nunquam auctori suo incussuram pudorem. Nam* οὐσίαν *et* λόγον *et paullo post* φύσιν *vocat id, quod Aristoteles* τό τι εἶναι.

νεῖται. Πᾶν γὰρ σῶμα, ᾧ μὲν ἔξωθεν τὸ κινεῖσθαι, ἄψυχον, ᾧ δὲ ἔνδοθεν αὐτῷ ἐξ αὑτοῦ, ἔμψυχον, ὡς ταύτης οὔσης φύσεως ψυχῆς. Εἰ δ' ἔστι τοῦτο οὕτως ἔχον, μὴ ἄλλο τι εἶναι τὸ αὐτὸ αὑτὸ κινοῦν, ἢ ψυχὴν, ἐξ ἀνάγκης ἀγένητόν τε καὶ ἀθάνατον ψυχὴ ἂν εἴη. Περὶ μὲν οὖν ἀθανασίας αὐτῆς ἱκανῶς. Περὶ δὲ τῆς ἰδέας αὐτῆς ὧδε λεκτέον· οἷον μέν ἐστι, πάντη πάντως θείας εἶναι καὶ μακρᾶς διηγήσεως, ᾧ δὲ ἔοικεν, ἀνθρωπίνης τε καὶ ἐλάττονος. Ταύτῃ οὖν λέγωμεν. Ἐοικέτω δὴ ξυμφύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου. Θεῶν μὲν p. 246. a. 54.

Ea vero sententia quomodo e Ciceronis verbis efficiatur, deus aliquis viderit. Recte, quod τοῦτο αὐτὸ traxit ad antecedens τὸ ὑφ' ἑαυτοῦ κινούμενον. Cicero autem quum vertit ita: *quum pateat igitur, aeternum id esse, quod se ipsum movcat, quis est, qui hanc naturam animis esse tributam neget?*, intra Platonis sententiam substitit. Nam in eo ipso vim naturamque animorum positam dicit Plato. Prorsus similiter de legg. X. p. 895. e. Ἆρ' οὖν δὴ ψυχὴ τοὔνομα, τίς τούτου λόγος; ἔχομεν ἄλλον πλὴν τὸν νῦν δὴ ῥηθέντα, τὴν δυναμένην αὐτὴν αὑτὴν κινεῖν κίνησιν; Absona hic quoque est Bouherii in notis supra laudatis p. 31. coniectura τίς λέγων οὖν αἰσχυνεῖται. Nusquam ita οὖν positum reperitur. — τοῦτο αὐτό. [Be. ex opt. et pl. τοῦτον αὐτόν.] Mox in verbis ᾧ δὲ ἔνδοθεν αὐτὸ ἐξ αὑτοῦ Muretus correxit eleganter αὐτῷ [quod inventum nunc in optimis cum Be. recepimus].

§. 54. Ἔοικε δὴ τῇ ξυμφύτῳ — Cod. Stobaei ἐοικέτω δὴ, quod placet. [Platonis quoque codd. opt. aut ἐοικέτω δὴ ξυμφ. aut ἔοικε τῷ δὴ ξυμφ. quorum prius cum Be. recepimus.] Ex Pythagoreorum autem disciplina ductum hoc iudicat Hierocles in Aur. Carm. ad v. 69. ὁ ἄνθρωπος — ψυχὴ λογικὴ μετὰ συμφυοῦς ἀθανάτου σώματος. Καὶ τοῦτο τῶν Πυθαγορείων ἦν δόγμα, ὃ δὴ Πλάτων ὕστερον ἐξέφηνεν, ἀπεικάσας ξυμφύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου πᾶσαν θείαν τε καὶ ἀνθρωπίνην ψυχήν. Conf. Galenus de Hippocr. et Plat.

b. οὖν ἵπποι τε καὶ ἡνίοχοι πάντες αὐτοί τε ἀγαθοὶ καὶ ἐξ ἀγαθῶν, τὸ δὲ τῶν ἄλλων μέμικται. Καὶ πρῶτον μὲν ἡμῶν ὁ ἄρχων ξυνωρίδος ἡνιοχεῖ, εἶτα τῶν ἵππων ὁ μὲν αὐτῷ καλός τε καὶ ἀγαθὸς καὶ ἐκ τοιούτων, ὁ δὲ ἐξ ἐναντίων τε καὶ ἐναντίος. Χαλεπὴ δὴ καὶ δύσκολος ἐξ ἀνάγκης ἡ περὶ ἡμᾶς ἡνιόχησις. Πῇ δὴ οὖν θνητόν τε καὶ ἀθάνατον ζῷον ἐκλήθη, πειρατέον εἰπεῖν. Ἡ ψυχὴ πᾶσα παντὸς ἐπιμελεῖ-
c. ται τοῦ ἀψύχου, πάντα δὲ οὐρανὸν περιπολεῖ, ἄλ-
55. λοτε ἐν ἄλλοις εἴδεσι γιγνομένη. Τελέα μὲν οὖν οὖσα καὶ ἐπτερωμένη μετεωροπορεῖ τε καὶ πάντα τὸν κόσμον διοικεῖ· ἡ δὲ πτερορρύήσασα φέρεται, ἕως ἂν

Decret. VI. p. 298. ed. Basil. — ζεῦγος capiendum de equorum συζυγίᾳ. V. Dorvill. ad Charit. p. 649. Deinde in his αὐτοί τε ἀγαθοὶ καὶ ἐξ ἀγαθῶν familiaris est Graecis loquendi ratio. Ut §. 63. τῶν ἐνθουσιάσεων ἀρίστη τε καὶ ἐξ ἀρίστων. §. 131. δεσπόταις ἀγαθοῖς τε καὶ ἐξ ἀγαθῶν. Gorg. p. 512. c. Οἶδ' ὅτι φαίης ἂν βελτίων εἶναι καὶ ἐκ βελτιόνων Conf. Marcland. ad Lys. p. 367. ed. Reisk. — τὸ δὲ τῶν ἄλλων pro οἱ δὲ ἄλλοι, vulgari Atticismo.

54. ὁ μὲν αὐτῷ καλός — Pro αὐτῷ hoc dubito an praestet αὐτῶν. Ἡ ψυχὴ πᾶσα h. e. *mens universa*. Hermes ap. Stob. Eclog. I, 52. ἀπὸ μιᾶς ψυχῆς, τῆς τοῦ παντὸς, πᾶσαι αἱ ψυχαί εἰσιν αὗται, αἱ ἐν τῷ παντὶ κόσμῳ κυλινδούμεναι, ὥσπερ ἀπονενεμηκυῖαι, ubi quae sequuntur s. 44. et 45., hinc ducta videntur. [Be. e Clark. et aliis πᾶσα ἡ ψυχή, codd. Hermiae πᾶσα ψυχή.] — τοῦ ἀψύχου. Nihili est, quod Steph. nescio unde profert ἐμψύχου. Ἀψύχου in Platone legit Euseb. Praep. Evang. XV, 9.

§. 55. Τελέα — διοικεῖ. Euseb. l. l. XV, 12. τοῦ Πλάτωνος λέγοντος τὴν ψυχὴν διακοσμεῖν τὰ πάντα, διήκουσαν διὰ πάντων: unde nescio an hauserit Steph. alteram scripturam διήκει, in qua legendum esset potius δι' ἅπαντα. Aristot. de Mundo c. 5. Τὸν ὅλον οὐρανὸν διεκόσμησε μία διὰ πάντων διήκουσα δύναμις. Atque vulgatum tuetur ipse Plato de legg. X.

στερεοῦ τινος ἀντιλάβηται, οὗ κατοικισθεῖσα, σῶμα γῆϊνον λαβοῦσα, αὐτὸ αὑτὸ δοκοῦν κινεῖν διὰ τὴν ἐκείνης δύναμιν, ζῶον τὸ ξύμπαν ἐκλήθη, ψυχὴ καὶ σῶμα παγέν, θνητόν τ' ἔσχεν ἐπωνυμίαν· ἀθάνατον δὲ οὐδ' ἐξ ἑνὸς λόγου λελογισμένου ἀλλὰ πλαττομένου, οὔτε ἰδόντες οὔτε ἱκανῶς νοήσαντες θεὸν, ἀθάνατόν τι ζῶον, ἔχον μὲν ψυχὴν, ἔχον δὲ σῶμα, d. τὸν ἀεὶ δὲ χρόνον ταῦτα ξυμπεφυκότα. Ἀλλὰ ταῦτα μὲν δὴ, ὅπη τῷ θεῷ φίλον, ταύτῃ ἐχέτω τε καὶ

---

p. 896. d. *Ψυχὴν δὴ διοικοῦσαν καὶ ἐνοικοῦσαν ἐν ἅπασι τοῖς πάντῃ κινουμένοις μῶν οὐ καὶ τὸν οὐρανὸν ἀνάγκη διοικεῖν φάναι; — μετεωροπορεῖ.* [Sic longe plur. et opt. Vulgo *μετεωροπολεῖ*. Vid Lex. Schn.] Deinde Vindob. *την ἐκείνου δύν.* male.

55. *ἀθάνατον δὲ* — In his, mirum est, nisi perturbata sunt aliqua. Nam hoc *ἀθάνατον*, quod ex grammatica ratione recte trahas ad praegressum *ἐπωνυμίαν*, tamen propter sensum trahendum est ad sequentia, in quibus illa *ἰδόντες* et *νοήσαντες* male verbo suo carent, dureque admodum repetendum *ἐκάλεσαν* ex illo *ἐκλήθη*. Hucusque autem expositum est, cur dicatur humana mens s. homo *θνητὸν ζῶον*: jam declaranda erat alterius illius nominis causa, *τοῦ ἀθανάτου ζώου* (conf. §. 54. extr.), quo deum significari liquet, velut post §. 57. inferuntur *αἱ ἀθάνατοι καλούμεναι ψυχαὶ* i. e. *deorum mentes*. Igitur si quid video, in his *ἀθάνατον δὲ — ξυμπεφυκότα* est eorum reprehensio quaedam, qui deum quoque dicant *ἀθάνατόν τι ζῶον, ἔχον μὲν ψυχὴν, ἔχον δὲ σῶμα*, hoc tamen addentes, *τὸν ἀεὶ χρόνον ταῦτα ξυμπεφυκότα*, quo deus distinguatur ab homine. Itaque in illo *ἀθάνατον* latere videtur significatio *τοῦ θείου*, mihique, ut in re incerta, probabile est, talem fere fuisse Platonis scripturam: *τὸ ἀθάνατον δὲ οὐδ' ἐξ ἑνὸς — — νοήσαντες θεὸν, ἀθάνατόν τι ζῶον ἐκάλεσαν, ἔχον μὲν* etc. [Admodum probabilis est lectio, quam ex Hermiae codd. adoptavit Be. qua vox unica *πλαττομένου*, ante *οὔτε*, mutatur in *πλάττομεν*, sermone in hunc modum distincto: *ἀθάνατον δὲ οὐδ' ἐξ ἑνὸς* (v. Gramm. ampl. §. 70.

λεγέσθω. Τὴν δ' αἰτίαν τῆς τῶν πτερῶν ἀποβολῆς,
56. δι' ἣν ψυχῆς ἀπορρεῖ, λάβωμεν. Ἔστι δέ τις τοιάδε. Πέφυκεν ἡ πτεροῦ δύναμις τὸ ἐμβριθὲς ἄγειν ἄνω μετεωρίζουσα, ᾗ τὸ τῶν θεῶν γένος οἰκεῖ· κεκοινώνηκε δέ πη μάλιστα τῶν περὶ τὸ σῶμα τοῦ θείου. Τὸ δὲ θεῖον καλὸν, σοφὸν, ἀγαθὸν, καὶ
e. πᾶν ὅ,τι τοιοῦτον. Τούτοις δὴ τρέφεταί τε καὶ αὔξεται μάλιστα τὸ τῆς ψυχῆς πτέρωμα, αἰσχρῷ δὲ καὶ κακῷ καὶ τοῖς ἐναντίοις φθίνει τε καὶ διόλλυται.

Obs. 6.) λόγου λελογισμένου, ἀλλὰ πλάττομεν, οὔτε ἰδόντες — — θεὸν, ἀθάνατόν τι ζῶον κ. τ. λ. ita ut verbum πλάττομεν, seu potius universalius aliquod, ut νοοῦμεν, intelligatur etiam antea ad ἀθάνατον.] — Τὴν δ' αἰτίαν — λάβωμεν. Alias plenius λαμβάνειν τῷ λόγῳ. Ion. p. 532. e. λάβωμεν γὰρ τῷ λόγῳ. de legg. I. p. 638. c. πάντες οἱ λόγῳ τι λαβόντες ἐπιτήδευμα.

§. 56. Πέφυκεν ἡ πτεροῦ δύναμις — Mentis alam dicit, non quamvis. Mox turpi glossemate orationem liberavimus expellendo illo ψυχῆ, quod in vulgatis intrusum est post τοῦ θείου. Quippe verba κεκοινώνηκε δέ πη μάλιστα τῶν περὶ τὸ σῶμα τοῦ θείου ψυχή utcunque ordinaveris, sensus exit absurdus vel potius nullus. Contra, illo ψυχῆ exturbato, vide quam facile commodoque tractu sententia decurrat: *Alae ea est natura, ut gravia sublime tollat, ubi deorum habitat genus. Omnium autem eorum, quae corporea sunt (τῶν περὶ τὸ σῶμα), maxime particeps est divini (alae.) Divinum autem est pulchrum, sapiens, bonum et quidquid est huiusmodi. Eo igitur maxime nutritur augeturque animi ala.* Neque vero sola inductus suspicione verbum contextu movissem, nisi eam postmodum vidissem firmatam Plutarchi auctoritate Quaest. p. 1004. c. Πῶς ποτε ἐν τῷ Φαίδρῳ λέγεται τὸ τὴν τοῦ πτεροῦ φύσιν, ὑφ' ἧς ἄνω τὸ ἐμβριθὲς ἀνάγεται, κεκοινωνηκέναι μάλιστα τῶν περὶ τὸ σῶμα τοῦ θεοῦ; Mox καὶ τοῖς ἐναντίοις i. e. τοῖς ἄλλοις ἐναντίοις, velut est in illo ὦ Ζεῦ καὶ θεοί.

Ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεὺς, ἐλαύνων
πτηνὸν ἅρμα, πρῶτος πορεύεται, διακοσμῶν πάντα
καὶ ἐπιμελούμενος· τῷ δ' ἕπεται στρατιὰ θεῶν τε
καὶ δαιμόνων, κατὰ ἕνδεκα μέρη κεκοσμημένη. Μέ-
νει γὰρ Ἑστία ἐν θεῶν οἴκῳ μόνη. Τῶν δὲ ἄλλων
ὅσοι ἐν τῷ τῶν δώδεκα ἀριθμῷ τεταγμένοι θεοὶ ἄρ- p. 247.
χοντες, ἡγοῦνται κατὰ τάξιν, ἣν ἕκαστος ἐτάχθη. a.
Πολλαὶ μὲν οὖν καὶ μακάριαι θέαι τε καὶ διέξοδοι 57.
ἐντὸς οὐρανοῦ, ἃς θεῶν γένος εὐδαιμόνων ἐπιστρέ-
φεται, πράττων ἕκαστος αὐτῶν τὸ αὑτοῦ. Ἕπεται
δὲ ὁ ἀεὶ ἐθέλων τε καὶ δυνάμενος· φθόνος γὰρ ἔξω

---

56. Ὁ μὲν δὴ μέγας — Certatim hunc *Iovem, alato curru vehentem*, adhibuerunt posteriores. V. Lucian. Piscat. §. 22. ibiq. Solan., Max. Tyr. Diss. X, 4. ibiq. Davis., Themist. Orat. XIV. p. 334. et al. Plutarch. p. 1102. e. ὁ μὲν μέγας ἐν οὐρανῷ Ζεὺς κάτω πρῶτος πορεύεται, διακοσμῶν πάντα καὶ ἐπιμελούμενος· τῶν δὲ ἄλλων θεῶν ὁ μέν ἐστιν ἐπιδότης, ὁ δὲ μειλίχιος, ὁ δὲ ἀλεξίκακος. Ὁ δὲ Ἀπόλλων κατεκρίθη θνατοῖς ἀγανώτατος ἔμμεν, ὡς ὁ Πίνδαρος, πτηνὸν ἅρμα ἐλαύνων, φησί. Unde ne quis verba πτηνὸν ἅρμα ἐλαύνων ex Pindaro a Platone sumpta putet, ipsa horum in Plutarchi verbis collocatio satis arguit aut aliunde haec esse intrusa aut supra reponenda post ὁ μὲν μέγας — Ζεύς. Dionys. Halic. de Gravit. Demosth. p. 167. ubi haec ὁ μὲν δὴ — ἵσταται profert, habet θεῶν καὶ δαιμ. sine τε. Mox τῶν ἄλλων sine δὲ et τῶν δώδ. θεῶν ἀριθμῷ. Tum ἔξοδοι pro διέξοδοι, et paullo post πράττων ἕκαστ. δι' αὐτοῦ τὰ αὐτῶν et ἔπ. δε αἰεὶ ὁ θέλ. Quod in Macrob. Saturn. I, 23. legitur δώδεκα pro ἕνδεκα, nihili est. Ibid. post μένει est δὲ pro γὰρ, addicente Ficino: *permanet autem Vesta*. Sed vulgatum praefero. — Illo δαιμόνων nomine dici h. l. liquet omnes omnino animos exceptis divinis, etiam humanos, antequam in hoc corpus descenderint.

§. 57. Ἕπεται δὲ — δυνάμενος, int. τῶν δαιμόνων, quorum nullus a diis spectaculo hoc intercluditur. Illa φθόνος — ἵσταται in proverbii formam apud posteriores abierunt,

b. θείου χοροῦ ἵσταται. Ὅταν δὲ δὴ πρὸς δαῖτα καὶ ἐπὶ θοίνην ἴωσιν, ἄκραν ἐπὶ τὴν οὐράνιον ἀψῖδα πορεύονται πρὸς ἄναντες ἤδη. Τὰ μὲν θεῶν ὀχήματα ἰσορρόπως εὐήνια ὄντα ῥᾳδίως πορεύεται, τὰ δὲ ἄλ-

---

de quo vid. Hemsterh. ad Lucian. Prometh. §. 18. Marcland. ad Max. Tyr. p. 726. Plato Tim. p. 29. d. *Λέγωμεν δὴ, δι' ἣν αἰτίαν γένεσιν καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς ξυνέστηκεν. Ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος.* Videtur autem in his Plato vetus illud *τὸ θεῖον πᾶν φθονερὸν* respexisse, Herodot. I, 23., ubi vid. Wesseling., et conf. Spanhem. ad Callim. in Apoll. 107.

57. *Ὅταν δὲ δὴ πρὸς δαῖτα* — [Ad totum hunc de deorum daemonumque ad epulas itinere locum, vid. *Epimetrum* in fine.] Max. Tyr. Diss. XVI, 9. *διορᾷ (ἡ ψυχὴ) καὶ λογίζεται τἀληθῆ αὐτὰ, θεοῖς καὶ θεῶν παισὶ συγγιγνομένη ὑπὲρ ἄκραν τὴν οὐρανοῦ ἀψῖδα.* Sed Vindob. habet *ὑπὸ τὴν ὑπουράνιον ἀψῖδα πορεύωνται* [Bekkeri quoque codd. praestantiores *ὑπὸ*, et vel *ὑπουράνιον* vel *ὑπουρανίαν*, sed plurimi *οὐράνιον*: *πορεύωνται* autem a Bekkero quidem affertur e nullo.] Est autem *ἀψὶς* haec *sub caelo*, *ὑπουράνιος*, intelligenda ex verbis mox seqq. *ἡνίκα ἂν πρὸς ἄκρῳ γένωνται, ἔξω πορευθεῖσαι ἔστησαν ἐπὶ τῷ τοῦ οὐρανοῦ νώτῳ*, et scripturae Vindob. fidem addit Proclus Plat. Theolog. IV, 16. p. 217. verba sic laudans: *ὅταν δὲ δὴ πρὸς δαῖτά τε καὶ θοίνην ἴωσιν ἄκραν, ἐπὶ τὴν ὑπουράνιον ἀψῖδα πορεύονται πρὸς ἄναντες.* Ibid. p. 215. *Μηδεὶς οὖν οἰέσθω καινοτομεῖν ἡμᾶς — καὶ πρώτους ἀπὸ τοῦ οὐρανοῦ διαιρεῖν τὴν ὑπουράνιον ἀψῖδα, ἀλλὰ — τῷ Πλάτωνι πείθεσθαι διαστέλλοντι τοὺς τρεῖς τούτους διακόσμους, τὸν ὑπερουράνιον τόπον, τὴν οὐρανίαν περιφορὰν, τὴν ὑπουράνιον ἀψῖδα.* Idem. IV, 7. *Μετὰ δὲ τὸν ὑπουράνιον τόπον καὶ αὐτὸν τὸν οὐρανὸν ἡ ὑπουράνιός ἐστιν ἀψὶς, ἣν ὅτι μὲν ὑπὸ τὸν οὐρανὸν δεῖ τάττειν, ἀλλ' οὐκ ἐν αὐτῷ τῷ οὐρανῷ, παντὶ καταφανές. Οὐ γὰρ οὐράνιος ἀψὶς, ἀλλ' ὑπουράνιος παρὰ τοῦ Πλάτωνος προσείρηται.* Iam quum illa *τὰ μὲν θεῶν* etc. dure admodum adiuncta sint absque iungendi particula et Vindob. habeat *πορεύωνται*, locum hunc ita constituo: *ὅταν δὲ δὴ — ἴωσιν, ἄκραν τε ἐπὶ τὴν ὑπουράνιον ἀψῖδα πορεύωνται — ἤδη, τὰ μὲν θεῶν* etc. Deinde post verba *τὰ δὲ ἄλλα* in edd. *πο-*

λα μόγις· βρίθει γὰρ ὁ τῆς κάκης ἵππος μετέχων, ἐπὶ τὴν γῆν ῥέπων τε καὶ βαρύνων, ᾧ ἂν μὴ καλῶς ᾖ τεθραμμένος τῶν ἡνιόχων. Ἔνθα δὴ πόνος τε καὶ ἀγὼν ἔσχατος ψυχῇ πρόκειται. Αἱ μὲν γὰρ ἀθάνατοι καλούμεναι ἡνίκα ἂν πρὸς ἄκρῳ γένωνται, ἔξω πορευθεῖσαι ἔστησαν ἐπὶ τῷ τοῦ οὐρανοῦ νώτῳ, στάσας δὲ αὐτὰς περιάγει ἡ περιφορά, αἱ δὲ θεωροῦσι c. τὰ ἔξω τοῦ οὐρανοῦ. Τὸν δὲ ὑπερουράνιον τόπον 58. οὔτε τις ὕμνησέ πω τῶν τῇδε ποιητὴς, οὔτε ποθ'

ρεύονται iteratum, quod aberat a Steph. libris quibusdam [et Be. omnibus praeter Par. EF], et abest in Vindob. Igitur eieci, praesertim quum pluralis ad τὰ ἄλλα positus h. l. parum placeat. Nam alias eiusmodi exempla in Platone quoque satis multa sunt.

57. βρίθει γὰρ — In edd. scriptum h. l. ἢν μὴ καλῶς ᾖ τεθραμμένος ὑπὸ τῶν ἡνιόχων, quae mutavi, his inductus argumentis: Primum Ficinus vertit, *cuicunque aurigarum equus non bonus nutritus fuerit*, et in Vindob. est ᾧ μὴ [acced. codd. omnes praeter Ven. Ξ]. Tum ap. Hieroclem in Carm. Aur. p. 185. ed. Curter. legitur ὅτε μὴ, et deinde deest ὑπὸ [quod deest etiam in Be. codd. omnibus], quo retento, pluralis τῶν ἡνιόχων, quum una hic intelligatur συζυγία, admodum displicet. Denique positus verborum legitimus est in tali structura: Xenoph. Oecon. VII, 35. Δεήσει σε ἔνδον τε μένειν, καὶ οἷς μὲν ἂν ἔξω τὸ ἔργον ᾖ τῶν οἰκετῶν, τούτους συνεκπέμπειν. [Neglexit tamen nostro loco Be. voculam ἄν nusquam inventam.] — Κάκη pro κακία adhibitum, de quo vid. Lex. Tim. p. 152. ibiq. Ruhnk.

57. στάσας δὲ αὐτὰς —. Vulgo ἱστάσας, pro quo Steph. coniecit ἑστώσας. Nostram correctionem requirebat praegressum ἔστησαν. Ita §. 59. οἴκαδε ἦλθεν. Ἐλθούσης δὲ —. Theaetet. p. 150. e. ἀπῆλθον πρωϊαίτερον τοῦ δέοντος· ἀπελθόντες δὲ —. Et sic Proclus in Plat. Theolog. IV, 16. p. 211. αἱ θεῖαι ψυχαὶ, διὰ παντὸς ἀναχθεῖσαι τοῦ οὐρανίου βάθους, ἱστανται μὲν ἐπὶ τοῦ νώτου· στάσας δὲ αὐτὰς περιάγει ἡ περιφορά. Erroris causa fuit praecedens ι in νώτῳ.

ὑμνήσει κατ' ἀξίαν. Ἔχει δὲ ὧδε. Τολμητέον γὰρ οὖν τόγε ἀληθὲς εἰπεῖν, ἄλλως τε καὶ περὶ ἀληθείας λέγοντα. Ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία ὄντως οὖσα ψυχῆς κυβερνήτῃ μόνῳ θεατῇ νῷ χρῆται, περὶ ἣν τὸ τῆς ἀληθοῦς ἐπιστήμης γένος τοῦτον ἔχει τὸν τόπον. Ἆρ' οὖν θεοῦ d. διάνοια νῷ τε καὶ ἐπιστήμῃ ἀκηράτῳ τρεφομένη καὶ ἁπάσης ψυχῆς, ὅση ἂν μέλλῃ τὸ προσῆκον δέξεσθαι, ἰδοῦσα διὰ χρόνου τὸ ὂν ἀγαπᾷ τε καὶ θεωροῦσα ταὐληθῆ τρέφεται καὶ εὐπαθεῖ, ἕως ἂν κύκλῳ ἡ περι-

---

§. 58. Ἡ γὰρ ἀχρώματος — Interpunctionem post κυβερνήτῃ sustuli, ut talis sit ordo verborum: ἡ γὰρ — οὐσία ὄντως οὖσα χρῆται θεατῇ μόνῳ ψυχῆς κυβερνήτῃ νῷ, illa οὐσία spectari non potest nisi a mente, animi gubernatrice. Brevius Clemens Alex. Strom. V. p. 553. a. ed. Sylb. ἡ γὰρ ἀχρώματος — κυβερνήτῃ μόνῳ θεῷ θεατῇ. Himer. Or. XIV. p. 644. εἴ τις ἔτι σῶμα οἰκῶν τὸν ἐκεῖ τόπον ἱστόρησε καὶ τῷ τῆς ψυχῆς κυβερνήτῃ τῶν ἄνω θεαμάτων ἥψατο. Nihili igitur est, quod ex Platone laudavit Pollux II, 56. οὐσία θεατή, ex quo haec sollicitare ibi Iungermannus non debebat. Illud οὖσα post ὄντως omittit Stob. Eclog. Phys. I. p. 94. — περὶ ἣν. Circa hanc οὐσίαν, i. e. τὴν τοῦ ὄντως εἶναι ἰδέαν, fingit ceteras ideas positas, ut δικαιοσύνην, σωφροσύνην etc.

58. Ἆρ' οὖν θεοῦ — Amicus malebat Ἦ τε. Sed recte habet vulgata, cuius verba sic ordinanda sunt: θεοῦ οὖν διάνοια, ἅτε τρεφομένη —. Meno p. 81. c. Ἅτε οὖν ἡ ψυχὴ ἀθάνατός τε οὖσα — οὐκ ἔστιν ὅτι οὐ μεμάθηκεν. Illud autem τρεφομένη ex Vindob. recepi pro στρεφομένη. — Ψυχῆς διάνοια ne offendat, de legg. III. p. 691. c. Ψυχῆς φύσις — ἀνοίας πληρωθεῖσα αὐτῆς τὴν διάνοιαν. [In illis autem ὅση — δέξεσθαι (plurimi δέξασθαι) vulgatum ὅστιν vix est in uno alterove codice, ut necesse non amplius sit de hypallage in hac dictione δέχεσθαί τι et τινά cogitare, qualis agnosci solet in verbo προσίεσθαι: v. Schneid. in Lex. et Wess. ad Herod. I, 48.] — διὰ χρόνου, *post aliquod intervallum*, v. ad Hipp. Mai. 1. Cf. Procl. in Theolog. Plat. IV, 16. p. 209. ἡ μὲν

φορὰ εἰς ταυτὸν περιενέγκῃ. Ἐν δὲ τῇ περιόδῳ καθορᾷ μὲν αὐτὴν δικαιοσύνην, καθορᾷ δὲ σωφροσύνην, καθορᾷ δὲ ἐπιστήμην, οὐχ ἥ γένεσις πρόσεστιν, οὐδ' ἥ ἐστί που ἑτέρα ἐν ἑτέρῳ οὖσα, ὧν ἡμεῖς νῦν ὄντων καλοῦμεν, ἀλλὰ τὴν ἐν τῷ ὅ ἐστιν ὂν ὄντως e.
ἐπιστήμην οὖσαν· καὶ τἆλλα ὡσαύτως τὰ ὄντα ὄντως
θεασαμένη καὶ ἐστιαθεῖσα, δῦσα πάλιν εἰς τὸ εἴσω
τοῦ οὐρανοῦ, οἴκαδε ἦλθεν. Ἐλθούσης δὲ αὐτῆς ὁ 59.
ἡνίοχος πρὸς τὴν φάτνην τοὺς ἵππους στήσας παρέβαλεν ἀμβροσίαν τε καὶ ἐπ' αὐτῇ νέκταρ ἐπότισε.
Καὶ οὗτος μὲν θεῶν βίος· αἱ δὲ ἄλλαι ψυχαί, ἡ μὲν p. 248.
ἄριστα θεῷ ἑπομένη καὶ εἰκασμένη ὑπερῆρεν εἰς τὸν a.
ἔξω τόπον τὴν τοῦ ἡνιόχου κεφαλὴν, καὶ συμπεριηνέχθη τὴν περιφορὰν θορυβουμένη ὑπὸ τῶν ἵππων

τοῦ οὐρανοῦ περιφορὰ ἀεὶ ὡσαύτως ἕστηκεν, αἰώνιος γάρ ἐστι καὶ ὅλη καὶ μία καὶ ἡνωμένη νόησις· ἡ δὲ τῶν ψυχῶν διὰ χρόνου γίγνεται, καὶ μερικώτερον ὑφίσταται, καὶ οὐκ ἀθρόα τῶν νοητῶν ἐστι περίληψις.

58. Ἐν δὲ τῇ περιόδῳ —. Proclus Theol. Plat. IV, 10: Ὅτι ταῦτα ὀρθῶς λέγομεν, μαρτυρεῖ καὶ ὁ Σωκράτης, διὰ τοῦ οὐρανοῦ καὶ ταῖς ψυχαῖς παρέχων τὴν τοῦ νοητοῦ τούτου νάησιν. Ἐν γὰρ δὴ περιόδῳ ταύτῃ, καθ' ἣν συμπεριάγονται τῇ τοῦ οὐρανοῦ περιφορᾷ, καθορᾶν μὲν αὐτὰς δικαιοσύνην, καθορᾶν δὲ σωφροσύνην, καθορᾶν δὲ ἐπιστήμην, καθορᾶν δὲ ἕκαστα τῶν ὄντως ὄντων. — Ad illa οὐδ' ἥ ἐστί που cf. Sympos. p. 211. a. de pulchro ipso: οὐ φαντασθήσεται — οὐδέ που ὂν ἐν ἑτέρῳ τινὶ, οἷον ἐν ζώῳ, ἢ ἐν γῇ, ἢ ἐν οὐρανῷ, ἢ ἐν τῳ ἄλλῳ, ἀλλὰ αὐτὸ καθ' αὑτὸ μεθ' αὑτοῦ μονοειδὲς ἀεὶ ὄν. — Illa ὧν ἡμεῖς καλοῦμεν recte Steph. exposuit ἐκείνων ἃ ἡμεῖς ὄντα καλοῦμεν, idem monens post οὖσαν ponendam stigmen τελείαν. Apposui stigmen μέσην.

§. 59. ἡ μὲν ἄριστα θεῷ ἑπομ. Vitiose vulgo θεῶν. §. 60. Ψυχὴ θεῷ ξυνοπαδὸς γενομένη. §. 52. ἡ ψυχὴ συμπορευθεῖσα

καὶ μόγις καθορῶσα τὰ ὄντα· ἡ δὲ τοτὲ μὲν ἦρε, τοτὲ δὲ ἔδυ, βιαζομένων δὲ τῶν ἵππων τὰ μὲν εἶδε, τὰ δ' οὔ. Αἱ δὲ δὴ ἄλλαι ψυχόμεναι μὲν ἅπασαι τοῦ ἄνω ἔπονται, ἀδυνατοῦσαι δὲ ὑποβρύχιαι συμπεριφέρονται, πατοῦσαι ἀλλήλας καὶ ἐπιβάλλουσαι, b. ἑτέρα πρὸ τῆς ἑτέρας πειρωμένη γενέσθαι. Θόρυβος οὖν καὶ ἅμιλλα καὶ ἱδρὼς ἔσχατος γίγνεται, οὗ δὴ κακίᾳ ἡνιόχων πολλαὶ μὲν χωλεύονται, πολλαὶ δὲ πολλὰ πτερὰ θραύονται, πᾶσαι δὲ πολὺν ἔχουσαι πόνον ἀτελεῖς τῆς τοῦ ὄντος θέας ἀπέρχονται, καὶ 60. ἀπελθοῦσαι τροφῇ δοξαστῇ χρῶνται. Οὗ δ' ἕνεκ' ἡ πολλὴ σπουδὴ τὸ ἀληθείας ἰδεῖν πεδίον οὗ ἐστιν, ἥ τε δὴ προσήκουσα ψυχῆς τῷ ἀρίστῳ νομιὴ ἐκ τοῦ c. ἐκεῖ λειμῶνος τυγχάνει οὖσα ἥ τε τοῦ πτεροῦ φύσις, ᾧ ψυχὴ κουφίζεται, τούτῳ τρέφεται. Θεσμός τε

θεῷ. Paullo inferius ex Vindob. revocavi πατοῦσαι ἀλλήλας. Vulgo ἀλλήλαις, in quo recte haerebat Stephanus. ἐπιβάλλουσαι, *incumbentes*.

§. 60. Οὗ δ' ἕνεκ' ἡ πολ. [Hanc verissimam scripturam, quam e codd. nunc etiam eruit Be. conjectura assecutus erat Hdf., post vulgatae οὗ δὴ — aliqualem explicationem haec subjiciens:] Nisi forte legendum Οὗ δὲ, ut post ἐστὶν subaudias τοῦτό ἐστιν: in qua structura γάρ interdum omittitur. V. Wolf. ad Demosth. Leptin. p. 372. Plat. Gorg. p. 520. d. Οὐκοῦν εἴ τις αὐτὸ τοῦτο ἀφαιροῖ, τὴν ἀδικίαν, οὐδὲν δεινὸν αὐτῷ μήποτε ἀδικηθῇ· ἀλλ' ᾧ μόνῳ ἀσφαλὲς ταύτην τὴν εὐεργεσίαν προέσθαι, εἴπερ τῷ ὄντι δύναιτό τις ἀγαθοὺς ποιεῖν. Demosth. Midian. c. 1. ἃ δ' ἐν ὑμῖν μετὰ ταῦτά ἐστιν ὑπόλοιπα, ὅσῳ πλείοσιν οὗτος ἠνώχληκε καὶ παρήγγελκε — τοσούτῳ μᾶλλον ἐλπίζω τὸ δίκαιον ἕξειν. ψυχῆς τὸ ἄριστον est διάνοια illa νῷ τε καὶ ἐπιστήμῃ ἀκηράτῳ τρεφομένη. — [ἐκεῖσε ineptum ope codd. transiit in ἐκεῖ.] — τοῦ πτερ. φύσις. Conf. §. 56. Θεσμός τε Ἀδραστείας. — Verba haec manca

Ἀδραστείας ὅδε, ἥτις ἂν ψυχὴ θεῷ ξυνοπαδὸς γενομένη κατίδῃ τι τῶν ἀληθῶν, μέχρι τε τῆς ἑτέρας περιόδου εἶναι ἀπήμονα, κἂν ἀεὶ τοῦτο δύνηται ποιεῖν, αἰεὶ ἀβλαβῆ εἶναι· ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι μὴ ἴδῃ, καί τινι συντυχίᾳ χρησαμένη λήθης τε καὶ κακίας πλησθεῖσα βαρυνθῇ, βαρυνθεῖσα δὲ πτεροῤῥυήσῃ τε καὶ ἐπὶ τὴν γῆν πέσῃ, τότε νόμος ταύτην μὴ φυτεῦσαι εἰς μηδεμίαν θηρείαν φύσιν ἐν d. τῇ πρώτῃ γενέσει, ἀλλὰ τὴν μὲν πλεῖστα ἰδοῦσαν εἰς γονὴν ἀνδρὸς γενησομένου φιλοσόφου ἢ φιλοκάλου ἢ μουσικοῦ τινος καὶ ἐρωτικοῦ· τὴν δὲ δευτέραν εἰς βασιλέως ἐννόμου ἢ πολεμικοῦ καὶ ἀρχικοῦ· τρίτην εἰς πολιτικοῦ ἤ τινος οἰκονομικοῦ ἢ χρηματιστικοῦ· τετάρτην εἰς φιλοπόνου γυμναστικοῦ ἢ περὶ σώματος ἴασίν τινα ἐσομένου· πέμπτην μαντικὸν βίον ἢ τινα τελεστικὸν ἔξουσαν· ἕκτῃ ποιητικὸς ἢ τῶν περὶ μί- e.

---

aliquatenus recitantur ap. Plut. de Fato 568. c. 570. a. — De *Adrastea*, aut eadem, quae Nemesis dicitur, aut simili dea, vid. Strabo XIII. p. 880. Eustath. ad Iliad. β, 829. p. 269. ed. Bas. Wytt. ad Plutarch. de S. N. V. p. 107.

60. ὅταν δὲ ἀδυνατ. Profert haec ex parte Hierocl. in Carm. Aur. p. 254. Conf. Himer. Or. XIV, 12. — τὴν μὲν πλεῖστα ἰδοῦσαν, olim, antequam casu quodam gravata alas amiserit et in hanc deciderit terram. Ita haec non repugnant prioribus ὅταν δὲ — μὴ ἴδῃ. Quae mox sequuntur ἢ περὶ σώματος etc., in iis valde vereor ut integram habeamus scriptoris manum. Illud enim τινὰ post ἴασιν cur additum sit, non video. Ficin.: *circa medelam curamque corporis*. An eum legisse probabile est ἴασιν θεραπείαν τε τινά? [Deinde quam e Bas. 2. attulerat scripturam Heindorfius, ἕκτῃ ποιητικὸς, — ὀγδόῃ, eam cum codd. omnes praeter Par. EF exhibeant, nos reposuimus cum Be. Vulgo ἕκτην ποιητικὸν (omissis ceteris), ἑβδόμῃ — ὀγδόῃ — ἀνά-

μησίν τις ἄλλος ἁρμόσει· ἑρδόμῃ δημιουργικὸς ἢ γεωργικὸς, ὀγδόῃ σοφιστικὸς ἢ δημοκοπικὸς, ἐννάτῃ
61. τυραννικός. Ἐν δὲ τούτοις ἅπασιν ὃς μὲν ἂν δικαίως διαγάγῃ, ἀμείνονος μοίρας μεταλαμβάνει, ὃς δ' ἂν ἀδίκως, χείρονος. Εἰς μὲν γὰρ τὸ αὐτὸ, ὅθεν ἥκει ἡ ψυχὴ ἑκάστη, οὐκ ἀφικνεῖται ἐτῶν μυρίων, οὐ γὰρ πτεροῦται πρὸ τοσούτου χρόνου, πλὴν ἡ τοῦ
p. 249. a. φιλοσοφήσαντος ἀδόλως ἢ παιδεραστήσαντος μετὰ φιλοσοφίας. Αὗται δὲ τρίτῃ περιόδῳ τῇ χιλιετεῖ, ἐὰν ἕλωνται τρὶς ἐφεξῆς τὸν βίον τοῦτον, οὕτω πτερωθεῖσαι τρισχιλιοστῷ ἔτει ἀπέρχονται. Αἱ δὲ ἄλλαι ὅταν τὸν πρῶτον βίον τελευτήσωσι, κρίσεως ἔτυχον. Κριθεῖσαι δὲ αἱ μὲν εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια ἐλθοῦσαι δίκην ἐκτίνουσιν, αἱ δ' εἰς τοῦ οὐ-

---

τη —: tum pro his δημιουρ. ἢ γεωργ. vulgatam γεωμετρικὸς η δημιουργικὸς, quae in solo inventa est Par. E, cum eodem Be. rejecimus.] — Δημοκοπικὸς, qui populi gratiam aucupatur, in quo κόπτειν est ex Phrynichi explicatione τὸ λιπαρῶς ἐγκεῖσθαι καὶ πείθειν παρὰ γνώμην: v. Dorvill. ad Charit. p. 58.

§. 61. Ἐν δὲ τούτοις — Vindob. τυγχάνει pro μεταλαμβάνει. Post in verbis ἡ ψυχὴ ἑκάστη articulus in libro Stephani deerat et deest ap. Euseb. Praep. Evang. XIII, 14. Rectius, opinor, quanquam defendi potest vulgatum. Apolog. Socr. p. 39. a. καὶ ἄλλαι πολλαὶ μηχαναί εἰσιν ἐν ἑκάστοις τοῖς κινδύνοις. Tum pro vulgato οὐ καθικνεῖται ex Vindob. Eusebioque [acc. longe plurimi Bekkeri codd.] rescripsi οὐκ ἀφικνεῖται, ut inferius ἔνθα καὶ — ψυχὴ ἀφικνεῖται. Ille autem παιδεραστήσας μετὰ φιλοσοφίας qui sit, unice declarabit egregius ille Platonis locus de legg. VIII. p. 837. b., quem huc apponere non piget. Ὁ μὲν τοῦ σώματος ἐρῶν καὶ τῆς ὥρας καθάπερ ὀπώρας πεινῶν ἐμπλησθῆναι παρακελεύεται ἑαυτῷ, τιμὴν οὐδεμίαν ἀπονέμων τῷ τῆδε ψυχῇδε ἤθει τοῦ ἐρωμένου· ὁ δὲ πά-

ρανοῦ τινα τόπον ὑπὸ τῆς δίκης κουφισθεῖσαι διάγουσιν ἀξίως οὗ ἐν ἀνθρώπου εἴδει ἐβίωσαν βίου. Τῷ b.
δὲ χιλιοστῷ ἀμφότεραι ἀφικνούμεναι ἐπὶ κλήρωσίν
τε καὶ αἵρεσιν τοῦ δευτέρου βίου αἱροῦνται, ὃν ἂν
ἐθέλῃ ἑκάστη. Ἔνθα καὶ εἰς θηρίου βίον ἀνθρω-
πίνη ψυχὴ ἀφικνεῖται, καὶ ἐκ θηρίου, ὅς ποτε ἄν-
θρωπος ἦν, πάλιν εἰς ἄνθρωπον. Οὐ γὰρ ἥγε μήπο- 62.
τε ἰδοῦσα τὴν ἀλήθειαν εἰς τόδε ἥξει τὸ σχῆμα.
Δεῖ γὰρ ἄνθρωπον ξυνιέναι κατ' εἶδος λεγόμενον ἐκ
πολλῶν ἰὸν αἰσθήσεων εἰς ἓν λογισμῷ ξυναιρούμενον.

ρεργον μὲν τὴν τοῦ σώματος ἐπιθυμίαν ἔχων, ὁρῶν δὲ μᾶλλον ἢ ἐρῶν τῇ ψυχῇ, δεόντως τῆς ψυχῆς ἐπιτεθυμηκώς, ὕβριν ἡγεῖται τὴν περὶ τὸ σῶμα τοῦ σώματος πλησμονήν· τὸ σῶφρον δὲ καὶ ἀνδρεῖον καὶ μεγαλοπρεπὲς καὶ τὸ φρόνιμον αἰδούμενος ἅμα καὶ σεβόμενος ἀγνεύειν ἀεὶ μεθ' ἁγνεύοντος τοῦ ἐρωμένου βούλοιτ' ἄν.

61. *Τῷ δὲ χιλιοστῷ — ἀφικνεῖται.* Verba haec migrarunt hinc in Platonis Timaeum p. 42. b., non e decimo de rep., ut ait Cornarius Eclogg. p. 775.

§. 62. *Δεῖ γὰρ ἄνθρωπον* — Cornar.: *oportet enim hominem intelligere, qui secundum speciem dicitur, quae ex multis velut sensibus in unam ratiocinatione contrahitur.* Ergo pro *ἰὸν* correxit *οἷον*, offensus videlicet hoc asyndeto. Hac autem interpretatione exit hinc hominis definitio, a Platonis philosophia, ut verissime iudicabat Schleiermacherus, plane aliena. Obscuri igitur loci, cuius ne sana quidem prorsus videtur scriptura, vide an haec potius sit sententia: *hominis enim est, intelligere id, quod in universum dicitur intelligiturque (das Allgemeine), quod ex multis proficiscitur αἰσθήσεσι, quae ratione in unum colliguntur.* In qua explicatione post *ξυνιέναι* inserui *τὸ* et deinde *ξυναιρουμένων* expressi. Nimirum ut modo *τὴν ἀλήθειαν* dixerat de omnibus illis *ἰδέαις* seu de toto *τῆς ἀληθοῦς ἐπιστήμης γένει* (§. 58.), ita hic *τῷ κατ' εἶδος λεγομένῳ* complecti videtur singulas illarum rerum notiones, quales percipere potest mens humana in hoc corpore inclusa, *εἴδη* illa *αὐτὰ καθ' αὑτά*. Conf. Par-

c. Τοῦτο δέ ἐστιν ἀνάμνησις ἐκείνων, ἃ ποτ' εἶδεν ἡμῶν ἡ ψυχὴ συμπορευθεῖσα θεῷ καὶ ὑπεριδοῦσα ἃ νῦν εἶναί φαμεν, καὶ ἀνακύψασα εἰς τὸ ὂν ὄντως. Διὸ δὴ δικαίως μόνη πτεροῦται ἡ τοῦ φιλοσόφου διάνοια. Πρὸς γὰρ ἐκείνοις ἀεί ἐστι μνήμη κατὰ δύναμιν, πρὸς οἷσπερ ὁ θεὸς ὢν θεῖός ἐστι. Τοῖς δὲ δὴ τοιούτοις ἀνὴρ ὑπομνήμασιν ὀρθῶς χρώμενος, τελέους ἀεὶ τε-
d. λετὰς τελούμενος, τέλεος ὄντως μόνος γίγνεται. Ἐξιστάμενος δὲ τῶν ἀνθρωπίνων σπουδασμάτων καὶ πρὸς τῷ θείῳ γιγνόμενος νουθετεῖται μὲν ὑπὸ τῶν πολλῶν, ὡς παρακινῶν, ἐνθουσιάζων δὲ λέληθε τοὺς

---

menid. p. 129. a. p. 130. b. Τοῦτο δέ ἐστιν ἀνάμνησις etc. τοῦτο h. e. τὸ συναιρεῖν λογισμῷ εἰς ἓν τὰς πολλὰς αἰσθήσεις. Meno p. 97. e. αἱ δόξαι ἀληθεῖς — οὐ πολλοῦ ἄξιαί εἰσιν, ἕως ἄν τις αὐτὰς δήσῃ αἰτίας λογισμῷ. Τοῦτο δ' ἐστὶν — ἀνάμνησις, ὡς ἐν τοῖς πρόσθεν ἡμῖν ὡμολόγηται. Nam λογισμὸν proprie dicere solet hanc mentis agitationem. Sophist. p. 254. a. philosophus dicitur τῇ τοῦ ὄντος ἀεὶ διὰ λογισμῶν προσκείμενος ἰδέᾳ. Phaedo. p. 84. a. ψυχὴ ἀνδρὸς φιλοσόφου — ἑπομένη τῷ λογισμῷ καὶ ἀεὶ ἐν τούτῳ οὖσα, τὸ ἀληθὲς καὶ τὸ θεῖον καὶ τὸ ἀδόξαστον θεωμένη καὶ ὑπ' ἐκείνου τρεφομένη ζῆν οἴεται δεῖν οὕτως, ἕως ἂν ζῇ. — Ad illa Διὸ δὴ δικαίως etc. conf. Reizii notam ad Aristot. Polit. p. 106.

62. Πρὸς γὰρ ἐκείνοις — μνήμη —. Quid? Num cuiusvis μνήμη? Neutiquam, sed philosophi. Igitur cur non additum ἐκείνου seu τούτου? Feliciter Schleiermacherus correxit μνήμῃ, tertio casu, ut ἐστὶν hoc trahatur ad praegressum ἡ τοῦ φιλ. διάνοια. de legg. VII. p. 799. c. πρὸς τούτῳ (vulgo τοῦτο) δὴ νῦν γενόμενοι τῷ λόγῳ, πάθωμεν τὸ πρέπον ἡμῖν αὐτοῖς. Nam εἶναι πρός τινι, versari in rei contemplatione, pervulgatum est loquendi genus. Conf. §. 15. fin. Phaedo §. 84. c. αὐτὸς πρὸς τῷ εἰρημένῳ λόγῳ ἦν ὁ Σωκρ. Paullo post τελέους τελετὰς opponit manifesto mysticis illis, quae vulgo celebrabantur, sacris. Conf. §. 64.

πολλούς. Ἔστι δὴ οὖν δεῦρο ὁ πᾶς ἥκων λόγος περὶ 63.
τῆς τετάρτης μανίας, ἣν ὅταν τὸ τῇδέ τις ὁρῶν κάλ-
λος, τοῦ ἀληθοῦς ἀναμιμνησκόμενος, ἀναπτερῶταί
τε καὶ ἀναπτερούμενος προθυμῆται ἀναπτέσθαι,
ἀδυνατῶν δέ, ὄρνιθος δίκην βλέπων ἄνω, τῶν κάτω
δὲ ἀμελῶν, αἰτίαν ἔχει ὡς μανικῶς διακείμενος· ὡς e.
ἄρα αὕτη πασῶν τῶν ἐνθουσιάσεων ἀρίστη τε καὶ ἐξ
ἀρίστων τῷ τε ἔχοντι καὶ τῷ κοινωνοῦντι αὐτῆς γί-
γνεται, καὶ ὅτι ταύτης μετέχων τῆς μανίας ὁ ἐρῶν
τῶν καλῶν ἐραστὴς καλεῖται. Καθάπερ γὰρ εἴρηται,
πᾶσα μὲν ἀνθρώπου ψυχὴ φύσει τεθέαται τὰ ὄντα,
ἢ οὐκ ἂν ἦλθεν εἰς τόδε τὸ ζῷον· ἀναμιμνήσκεσθαι p. 250.
δ' ἐκ τῶνδε ἐκεῖνα οὐ ῥᾴδιον ἁπάσῃ, οὔτε ὅσαι βρα- a.

---

§. 63. Ἔστι δὴ οὖν δεῦρο — Horum structura paullulum impeditior ita vexavit Stephanum, ut ὁρᾷ pro ὁρῶν ac deinde ἔχῃ pro ἔχει corrigeret, illud ἵνα pro ὅπως accipiens. Sed nihil omnino movendum. Nam ἵνα h. l. est *ubi, in qua mania*, ad quod pertinet illud αἰτίαν ἔχει; et, quod post infertur, ὡς referendum ad illa ἔστι δεῦρο ὁ πᾶς λόγος ἥκων. *Huc igitur descendit omnis haec oratio de quarto furore, in quo quando quis conspecta huius loci pulchritudine verae illius memor pennas induit pennatusque evolare cupit, tum viribus destitutus, avis instar sursum intuens, inferiora autem negligens, in furoris reprehensionem apud vulgus incurrit: esse igitur hunc optimum omnium enthusiasmum.* Ita haec ἵνα ὅταν — διακείμενος parenthesin quandam faciunt, in qua post protasin ὅταν — ἀναπτέσθαι subiicitur apodosis ἀδυνατῶν δὲ, de quo usu part. δὲ hodie docti non dubitant. [Eadem fere ratio esse videtur lectionis Bekkerianae e mss. longe plurimis erutae, ἣν pro ἵν', ut jungatur ἣν (μανίαν) αἰτίαν ἔχει ὡς μανικῶς διακείμενος. Sed notandum praeterea, pro ἀναπτερῶται et προθυμῆται codices consentire fere in πτερῶται et προθυμούμενος, vulgatam exhibente solo ut videtur Ven. Ξ, a correctrice haud dubie manu profectam. Expressit

χέως εἶδον τότε τἀκεῖ, οὔθ' αἱ δεῦρο πεσοῦσαι ἐδυστύχησαν, ὥστε ὑπό τινων ὁμιλιῶν ἐπὶ τὸ ἄδικον τραπόμεναι λήθην ὧν τότε εἶδον ἱερῶν ἔχειν. Ὀλίγαι δὴ λείπονται, αἷς τὸ τῆς μνήμης ἱκανῶς πάρεστιν. Αὗται δέ, ὅταν τι τῶν ἐκεῖ ὁμοίωμα ἴδωσιν, ἐκπλήττονται καὶ οὐκέθ' αὑτῶν γίγνονται, ὃ δ' ἐστὶ τὸ πάθος ἀγνοοῦσι διὰ τὸ μὴ ἱκανῶς διαισθάνεσθαι.

64. Δικαιοσύνης μὲν οὖν καὶ σωφροσύνης καὶ ὅσα ἄλλα
b. τίμια ψυχαῖς, οὐκ ἔνεστι φέγγος οὐδὲν ἐν τοῖς τῇδε ὁμοιώμασιν, ἀλλὰ δι' ἀμυδρῶν ὀργάνων μόγις αὐτῶν καὶ ὀλίγοι ἐπὶ τὰς εἰκόνας ἰόντες θεῶνται τὸ τοῦ εἰκασθέντος γένος. Κάλλος δὲ τότε ἦν ἰδεῖν λαμπρὸν, ὅτε σὺν εὐδαίμονι χορῷ μακαρίαν ὄψιν τε καὶ θέαν ἑπόμενοι μετὰ μὲν Διὸς ἡμεῖς, ἄλλοι δὲ μετ' ἄλλου θεῶν, εἶδόν τε καὶ ἐτελοῦντο τῶν
c. τελετῶν ἣν θέμις λέγειν μακαριωτάτην, ἣν ὠργιά-

---

itaque in his quoque Be. codicum scripturam quamvis mendosam; nos vulgatam, quam explicavit Hdf., retinuimus.] — *ὄρνιθος δίκην.* Epist. VII. p. 347. e. *ἐγὼ μὲν βλέπων ἔξω καθάπερ ὄρνις ποθῶν ποθεν ἀναπτέσθαι.*

63. *ὥστε ὑπό τινων — ἔχειν.* [Sic Be. ex optimis consentiente Ficino; *ita ut — susceperint.* Vulgo *οὔτε ὑπό τινων — ἔσχον.*] — Formulam illam *οὐκέθ' αὑτῶν γίγνονται* illustravit Valcken. post Hemst. et Valcken. Oratt. p. 383.

§. 64. *Κάλλος δὲ τότε ἦν* — [Be. sine libris *τότε τ' ἦν*, ut *τε* hoc propter interruptum sermonem *ἀναντιπόδοτον*, infra repetatur in his, *μετ' ἐκείνων τε ἔλαμπεν —.*] — *ἑπόμενοι μετὰ μὲν Διὸς ἡμεῖς*, ut philosophi. §. 72. *Οἱ μὲν δὴ Διὸς Δίιόν τινα ζητοῦσι τὴν ψυχὴν τὸν ὑφ' αὑτῶν ἐρώμενον. Σκοποῦσιν οὖν, εἰ φιλόσοφός τε καὶ ἡγεμονικὸς τὴν φύσιν.* — *Ἕπεσθαι μετά τινος* ex antiquo sermone saepe etiam Platoni adhibitum loquendi genus. Conf. §. 73. de rep. V. p. 467. e. Phileb. p. 30. c. et Gottleb. ad Plat. Menexen. p. 19. — *ἣν θέμις λέγειν μα-*

ζομεν ὁλόκληροι μὲν αὐτοὶ ὄντες καὶ ἀπαθεῖς κακῶν, ὅσα ἡμᾶς ἐν ὑστέρῳ χρόνῳ ὑπέμενεν, ὁλόκληρα δὲ καὶ ἁπλᾶ καὶ ἀτρεμῆ καὶ εὐδαίμονα φάσματα μυούμενοί τε καὶ ἐποπτεύοντες ἐν αὐγῇ καθαρᾷ, καθαροὶ ὄντες καὶ ἀσήμαντοι τούτου, ὃ νῦν σῶμα περιφέροντες ὀνομάζομεν ὀστρέου τρόπον δεδεσμευμένοι. Ταῦτα μὲν οὖν μνήμῃ πεχαρίσθω, διʼ ἣν 65.
πόθῳ τῶν τότε νῦν μακρότερα εἴρηται. Περὶ δὲ κάλλους, ὥσπερ εἴπομεν, μετʼ ἐκείνων τε ἔλαμπεν d.
ἰόν, δεῦρό τε ἐλθόντες κατειλήφαμεν αὐτὸ διὰ τῆς

καριωτάτην. Nam τρισόλβιοι putabantur vulgo, qui sacris essent Eleusiniis initiati. V. Valcken. ad Eurip. Hippol. p. 163. Mox ὠργιάζομεν pro vulg. ὀργιάζομεν rescripsi ob verba seqq. ὅσα ἡμ. ἐν ὑστέρῳ χρόνῳ ὑπέμενεν. In seqq. ἁπλᾶ illa φάσματα illustrabit Proclus Plat. Theolog. I, 3. p. 7. Ἐν ταῖς τῶν τελετῶν ἁγιωτάταις φασὶ τοὺς μύστας τὴν μὲν πρώτην πολυειδέσι καὶ πολυφόρμοις (l. πολυμόρφοις) τῶν θεῶν προβεβλημένοις γένεσιν ἀπαντᾶν, εἰσιόντας δὲ ἀκλινεῖς καὶ ταῖς τελεταῖς πεφραγμένους αὐτὴν τὴν θείαν ἔλλαμψιν ἐγκολπίζεσθαι. Verbis autem μυούμενοί τε καὶ ἐποπτεύοντες respicitur mos ille, quo mystae nonnisi post quinquennium in sacrarium interius admissi ad arcana spectanda, tum demum fierent ἐπόπται καὶ τέλειοι. V. Valcken. ad Eurip. Hippol. v. 25. p. 163., ubi hunc locum non praetermisit. Ad illa καθαροὶ ὄντες καὶ ἀσήμαντοι etc. conf. Phaedo p. 64. d. seqq. De voc. ὄστρεον, pro quo Grammatici probant ὄστρειον, vid Sallier. ad Moerid. p. 285. Hinc denique ductum illud Themist. I. p. 41. σμικρά τε καὶ ἀνελεύθερος ψυχὴ καὶ σφόδρα τὸ ὄστρεον τοῦτο τιμῶσα.

§. 65. Περὶ δὲ κάλλους — Audacter Cornarius Eclog. III. p. 48. correxit Τὸ δὲ κάλλος — μετʼ ἐκείνων δή —, probante tamen Dorvillio ad Charit. p. 461., qui vulgatum pro lemmate habet, quod appositum a lectore in contextum irrepserit, δέ post περί mutans in δή. Equidem subaudiendum potius post περὶ δὲ κάλλους puto οὕτως ἐστὶ s. οὕτως ἔχει. De legg. IX. p. 865. b. Ἰατρῶν δὲ περὶ πάντων, ἂν ὁ θεραπευό-

ἐναργεστάτης αἰσθήσεως τῶν ἡμετέρων στίλβον ἐναργέστατα. Ὄψις γὰρ ἡμῖν ὀξυτάτη τῶν διὰ τοῦ σώματος ἔρχεται αἰσθήσεων, ᾗ φρόνησις οὐχ ὁρᾶται· δεινοὺς γὰρ ἂν παρεῖχεν ἔρωτας, εἴ τι τοιοῦτον ἑαυτῆς ἐναργὲς εἴδωλον παρείχετο εἰς ὄψιν ἰόν, καὶ τἆλλα ὅσα ἐραστά. Νῦν δὲ κάλλος μόνον ταύτην ἔσχε e. μοῖραν, ὥστ' ἐκφανέστατον εἶναι καὶ ἐρασμιώτατον.

μενος ὑπ' αὐτῶν ἀκόντων τελευτᾷ, καθαρὸς ἔστω κατὰ νόμον. Xenoph. de rep. Athen. init. περὶ δὲ τῆς Ἀθηναίων πολιτείας, ὅτι μὲν εἵλοντο τὸν τρόπον τοῦτον πολιτείας, οὐκ ἐπαινῶ διὰ τόδε. Il. η, 408. Ἀμφὶ δὲ νεκροῖσιν, κατακειέμεν οὔτι μεγαίρω. Neque aliter Latini: *de pulchritudine autem* i. e., *quod ad pulchritudinem attinet*, v. Heusing. ad Cic. de Off. I, 15, 3. Pro altero autem δέ post ἐκείνων ex Ficin. [acc. codd.] reposui τε.

65. Ὄψις γὰρ — Vertit haec Cic. de Fin. II, 16. *Oculorum est in nobis sensus acerrimus, quibus sapientiam non cernimus. Quam illa ardentes amores excitaret sui, si videretur!* Conf. de Off. I, 5. Ὄψις, vulgo de *visu* ipso usurpatum, h. l. adiunctum habet eius, quod visu percipitur, significationem, ut ἔρχεται nolim dictum accipi simpliciter pro ἐστί. [Conferri tamen iubet Hdf. in notula ms. illud Pindari Ol. I, 161. τὸ δ' αἰεὶ παράμερον ἐσλὸν ὕπατον ἔρχεται παντὶ βροτῷ· quanquam in hoc, et si quod aliud est exemplum, id quod *nobis est*, idem aliunde *advenit*.] Porro in verbis ᾗ φρόνησις οὐχ ὁρᾶται ceterarum quoque virtutum, ut δικαιοσύνης, σωφροσύνης etc., mentionem facere debuerat Plato, quam ibi omissam mox infert illis καὶ τἆλλα ὅσα ἐραστά, ad quae supplendum δεινοὺς παρεῖχεν ἔρωτας etc. Spectant enim haec ad illa superiora §. 64. δικαιοσύνης μὲν οὖν καὶ σωφροσύνης καὶ ὅσα ἄλλα τίμια ψυχαῖς. Τοιοῦτον — εἴδωλον, quale τὸ κάλλος praebet. Sed durior tamen haec est ratio, in qua incommode ante καὶ τἆλλα abest καὶ αὐτὴ, neque τοιοῦτον placet ita simpliciter adhibitum, neque bene delectum est verbum ἐραστά, quippe cui insit significatio τοῦ ἔρωτος, qui tamen ex hac Platonis argumentatione nonnisi τοῦ κάλλους est et τῶν καλῶν. His ductus argumentis acute et haud scio an vere Buttmannus correxit εἰς ὄψιν ἰόν, οἷον

Ὁ μὲν οὖν μὴ νεοτελὴς ἢ διεφθαρμένος οὐκ ὀξέως 66.
ἐνθένδε ἐκεῖσε φέρεται πρὸς αὐτὸ τὸ κάλλος, θεώ-
μενος αὐτοῦ τὴν τῇδε ἐπωνυμίαν· ὥστε οὐ σέβεται
προσορῶν, ἀλλ' ἡδονῇ παραδοὺς τετράποδος νόμον
βαίνειν ἐπιχειρεῖ καὶ παιδοσπορεῖν, καὶ ὕβρει προσο-
μιλῶν οὐ δέδοικεν οὐδ' αἰσχύνεται παρὰ φύσιν ἡδο-
νὴν διώκων. Ὁ δὲ ἀρτιτελὴς, ὁ τῶν τότε πολυθε- p. 251.
ἀμων, ὅταν θεοειδὲς πρόσωπον ἴδῃ κάλλος εὖ μεμι- a.

καὶ τἄλλα ἐραστὰ h. e. qualem imaginem cetera, quae in hac vita amabilia sunt, nobis praebent; ut verbo φρονήσει h. l. Plato non unam σοφίαν, sed omnes illas ἰδέας, σωφροσύνην, δικαιοσύνην, ἐπιστήμην τοῦ ὄντως ὄντος etc. expressisse putetur. Mox Vindob. ἐμφανέστατον.

§. 66. Ὁ μὲν οὖν μὴ νεοτελὴς — Quippe νεοτελὴς h. l. est ἀδιάφθορος §. 71., cui recens sunt impressae divinarum idearum imagines, quique nondum diuturna illarum rerum oblivione labem contraxit. Ita optime haec habent, quae tamen Stollbergius, cuius ceteros in Platonis translatione errores silentio transmittere praestabat, sic mutari iubet, ὁ μὲν οὖν ἧ νεοτελὴς, quae castigare h. l. non attinet. — αὐτοῦ τὴν τῇδε ἐπωνυμίαν i. e. ἔχον τι τῇδε τὴν αὐτοῦ (τοῦ καλοῦ) ἐπωνυμίαν. Phaedo p. 102. a. ὡμολογεῖτο εἶναί τι ἕκαστον τῶν εἰδῶν καὶ τούτων τἄλλα μεταλαμβάνοντα αὐτῶν τούτων τὴν ἐπωνυμίαν ἴσχειν. Conf. Parmenid. p. 130. e. — ἡδονῇ παραδοὺς, int. αὑτὸν, de qua legitima in hoc dicendi genere ellipsi vid. Valcken. ad Eurip. Rell. p. 233. Deinde βαίνειν proprie de *quadrupedum coitu* adhibetur: v. Gatak. Opp. Crit. p. 78. Illud autem παιδοσπορεῖν mire dictum hoc loco, ubi sermo est de παιδεραστίᾳ. Nam in verbis ὕβρει προσομιλῶν itidem ὕβρις accipiendum de αἰσχρᾷ illa συνουσίᾳ, usu tritissimo. V. Ulpian. ad Demosth. Mid. p. 161. b. — Respexit autem huc Plutarchus Amator. p. 751. d. ἡ ἀπὸ τῶν ἀῤῥένων ἀκόντων (χάρις) μετὰ βίας λεγομένη καὶ λεηλασίας· ἂν δὲ ἑκουσίως, σὺν μανίᾳ καὶ θηλύτητι βαίνεσθαι κατὰ Πλάτωνα νόμῳ τετράποδος καὶ παιδοσπορεῖσθαι παρὰ φύσιν ἐνδιδόντων, ἄχαρις παντάπασι καὶ ἀσχήμων καὶ ἀναφρόδιτος. Et conf. Clemens Alex. Paedag. II. p. 189. ed. Sylb.

μημένον ἢ τινα σώματος ἰδέαν, πρῶτον μὲν ἔφριξε καί τι τῶν τότε ὑπῆλθεν αὐτὸν δειμάτων· εἶτα προσορῶν ὡς θεὸν σέβεται, καὶ εἰ μὴ δεδίει τὴν τῆς σφόδρα μανίας δόξαν, θύοι ἂν ὡς ἀγάλματι καὶ θεῷ
67. τοῖς παιδικοῖς. Ἰδόντα δὲ αὐτὸν οἷον ἐκ τῆς φρίκης μεταβολή τε καὶ ἱδρὼς καὶ θερμότης ἀήθης λαμβά-
b. νει. Δεξάμενος γὰρ τοῦ κάλλους τὴν ἀπορρόην διὰ τῶν ὀμμάτων ἐθερμάνθη, ἧ ἡ τοῦ πτεροῦ φύσις ἄρδεται· θερμανθέντος δὲ ἐτάκη τὰ περὶ τὴν ἔκφυσιν, ἃ πάλαι ὑπὸ σκληρότητος συμμεμυκότα εἶργε μὴ βλαστάνειν. Ἐπιῤῥυείσης δὲ τῆς τροφῆς ᾠδησέ τε καὶ ὥρμησε φύεσθαι ἀπὸ τῆς ῥίζης ὁ τοῦ πτεροῦ καυλὸς ὑπὸ πᾶν τὸ τῆς ψυχῆς εἶδος. Πᾶσα γὰρ ἦν
c. τοπάλαι πτερωτή. Ζεῖ οὖν ἐν τούτῳ ὅλη καὶ ἀνα-

---

66. ἢ τινα σώματος ἰδέαν — *Σώματος* reposui ex Vindob. [cui acc. ceteri tantum non omnes] et Ficini versione: *quando vultum — videt, vel aliquam corporis speciem.* Vulgo *ἀσώματον*, quod quoniam ad *ἰδῃ* trahi nequit, (neque enim in adspectum cadit *ἀσώματος ἰδέα*), trahi debebat ad *μεμιμημένον*· sed quomodo *πρόσωπον* aliam aliquam praeter *τὸ κάλλος* incorpoream speciem, v. c. *φρόνησιν, σωφροσύνην*, dici possit referre, non video; atque hoc sensu hic potius foret verborum ordo: *κάλλος ἢ τινα ἀσώματον ἰδέαν εὖ μεμιμ.* Nunc optime *τῷ προσώπῳ* opponitur reliqui *corporis species*, atque ad *ἰδέαν* repetendum mente *θεοειδῆ* etc. Profectum autem hoc *ἀσώματον* sine dubio ab aliquo, qui male hic meminisset Platonis illa *νοητὰ* et *ἀσώματα εἴδη*. *δεδίει*. [Be. ex optimis aliquot *δεδιείη*, in qua forma nisi latet legitimum *δεδιοίη*, in vulg. acquiescendum esse dixi in Gramm. ampl. in nota ad verbum *Δεῖσαι*. *Buttm.*]

§. 67. *Δεξάμενος γὰρ τοῦ κάλ.* Aristaenet. II, 18. p. 99. *δεξάμενος γὰρ τοῦ κάλλους τὴν ἀπορρόην διὰ τῶν ὀμμάτων ἐρωτικῶς διεθερμάνθη*, ubi vid. Abresch. Cf. Bibl. Crit. I. 2, 60. — Illud *ᾗ* pertinet ad *τὴν ἀπορρόην*.

κηκίει, καὶ, ὅπερ τὸ τῶν ὀδοντοφυούντων πάθος περὶ τοὺς ὀδόντας γίγνεται, ὅταν ἄρτι φύωσι, κνῆσίς τε καὶ ἀγανάκτησις περὶ τὰ οὐλα, ταυτὸν δὴ πέπονθεν ἡ τοῦ πτεροφυεῖν ἀρχομένου ψυχή· ζεῖ τε καὶ ἀγανακτεῖ καὶ γαργαλίζεται φύουσα τὰ πτερά.

Ὅταν μὲν οὖν βλέπουσα πρὸς τὸ τοῦ παιδὸς κάλλος, 68.
ἐκεῖθεν μέρη ἐπιόντα καὶ ῥέοντα, ἃ δὴ διὰ ταῦτα ἵμερος καλεῖται, δεχομενη τὸν ἵμερον ἄρδηταί τε καὶ d.
θερμαίνηται, λωφᾷ τε τῆς ὀδύνης καὶ γέγηθεν· ὅταν δὲ χωρὶς γένηται καὶ αὐχμήσῃ, τὰ τῶν διεξόδων στόματα, ἧ τὸ πτερὸν ὁρμᾷ, συναναινόμενα μύσαντα ἀποκλείει τὴν βλάστην τοῦ πτεροῦ. Ἡ δ' ἐντὸς μετὰ τοῦ ἱμέρου ἀποκεκλημένη, πηδῶσα οἷον τὰ σφύ-

---

67. *φύωσι.* [Be. e praestantioribus aliquot *φυῶσι*, quod si verum est venit *ἀπὸ τοῦ φυῆναι*, contra *φύωσιν ἀπὸ τοῦ φῦναι*. Vid. Gr. ampl. in verbo *φύω*. *Buttm.*] *ζεῖ τε καὶ ἀγανακτεῖ* — Pro *ἀγανακτεῖ* Piersonus ad Moerid. p. 41. coniecit *ἀδακτεῖ*, quod ipse tamen videtur propter praegressum *ἀγανάκτησις* non admodum probasse. Similiter de rep. IV. p. 440. c. *ζεῖ τε καὶ χαλεπαίνει.* — *γαργαλίζεται.* V. Hemst. ad Tho. M. p. 179.

§. 68. *ἐκεῖθεν μέρη ἐπιόντα δῆπου καὶ ῥ.* Hoc *δῆπου* cur post *ἐπιόντα* inculcatum sit, nescio; friget id admodum neque sanum videtur. [Omisimus cum Be. inventum in duobus tantum Codd.] De vocabulo *ἵμερος* aliter argutatur in Cratylo p. 420. a. Pro *τὸν ἵμερον* autem *τῷ ἱμέρῳ* scribendum censeo, hypostigme post *δεχομένη* apposita, ne verbum hoc duplicem habeat accusativum. — *Λωφᾷν* de *vi morbi interquiescente* usurpatum illustravit Valcken. in Eurip. Rell. p. 126. — In iis quae adduntur *ὅταν δὲ χωρὶς* etc. Stephanus suspicabatur, *καὶ* ante *μύσαντα* excidisse. Sed *συναναινόμενα* causam continet *τοῦ μύσαντα ἀποκλείειν.* — *Ἡ δ' ἐντὸς* int. *ἡ βλάστη τοῦ πτεροῦ.* — Mox de voc. *ἐγχρίειν* v. Ruhnk. ad Lex. Tim. p. 104. sq.

ζοντα, τῇ διεξόδῳ ἐγχρίει ἑκάστῃ τῇ καθ' αὑτὴν, ὥστε πᾶσα κεντουμένη κύκλῳ ἡ ψυχὴ οἰστρᾷ καὶ ὀδυνᾶται, μνήμην δ' αὖ ἔχουσα τοῦ καλοῦ γέγηθεν.

69. Ἐκ δ' ἀμφοτέρων μεμιγμένων ἀδημονεῖ τε τῇ ἀτο-
e. πίᾳ τοῦ πάθους καὶ ἀποροῦσα λυττᾷ, καὶ ἐμμανὴς οὖσα οὔτε νυκτὸς δύναται καθεύδειν, οὔτε μεθ' ἡμέραν οὗ ἂν ᾖ μένειν, θεῖ δὲ ποθοῦσα, ὅπου ἂν οἴηται ὄψεσθαι τὸν ἔχοντα τὸ κάλλος. Ἰδοῦσα δὲ καὶ ἐποχετευσαμένη ἵμερον ἔλυσε μὲν τὰ τότε συμπεφραγμένα, ἀναπνοὴν δὲ λαβοῦσα κέντρων τε καὶ ὠδίνων ἔληξεν, ἡδονὴν δ' αὖ ταύτην γλυκυτάτην ἐν τῷ πα-
p. 252. a. ρόντι καρποῦται. Ὅθεν δὴ ἑκοῦσα εἶναι οὐκ ἀπολείπεται οὐδέ τινα τοῦ καλοῦ περὶ πλείονος ποιεῖται, ἀλλὰ μητέρων τε καὶ ἀδελφῶν καὶ ἑταίρων πάντων λέλησται, καὶ οὐσίας δι' ἀμέλειαν ἀπολλυμένης παρ' οὐδὲν τίθεται· νομίμων δὲ καὶ εὐσχημόνων, οἷς πρότοῦ ἐκαλλωπίζετο, πάντων καταφρονήσασα, δουλεύειν ἑτοίμη καὶ κοιμᾶσθαι, ὅπου ἂν ἐᾷ τις ἐγγυ-

---

§. 69. Ὅθεν δὴ ἑκοῦσα — Quocirca etc. Ad ἀπολείπεται int. ex proximis τοῦ καλοῦ. Mox post μητέρων τε vide an exciderit καὶ πατέρων; quem ordinem habes etiam Protag. 83. μητέρα ἢ πατέρα, et Crito. p. 51. b. Pro ἑτέρων autem reposui ἑταίρων, idque expressit etiam Ficinus: *parentes, fratres, amicosque omnes oblivioni tradit*, in quo facilis erat error. Ita de legg. V. p. 729. c. legendum καὶ μὴν τόγε φίλων καὶ ἑταίρων. Vulgo ἑτέρων. Itemque Sympos. p. 183. c. ἡλικιῶται δὲ καὶ ἑταῖροι. — Deinde οὐσίας — ἀπολλυμένης sunt genitivi absoluti, pro quibus ex vulgari consuetudine accusativum exspectabas. Aeschyl. Agam. 237. Παρ' οὐδὲν αἰῶνα — Παρθένιον ἔθεντο, et conf. Valcken. in Rell. Eurip. p. 9. In seqq. post ἑτοίμη omissum ἐστὶ, usu in hoc vocabulo frequentissimo. Ita mox §. 71. ἕτοιμοι καθιερεύειν.

τάτω τοῦ πόθου. Πρὸς γὰρ τῷ σέβεσθαι, τὸν τὸ κάλλος ἔχοντα ἰατρὸν εὕρηκε μόνον τῶν μεγίστων πόνων. Τοῦτο δὴ τὸ πάθος, ὦ παῖ καλέ, πρὸς ὃν 70. δή μοι ὁ λόγος, ἄνθρωποι μὲν Ἔρωτα ὀνομάζουσι· b. θεοὶ δὲ ὃ καλοῦσιν ἀκούσας εἰκότως διὰ νεότητα γελάσει. Λέγουσι δέ, οἶμαι, τινὲς Ὁμηρίδαι ἐκ τῶν ἀποθέτων ἐπῶν δύο ἔπη εἰς τὸν Ἔρωτα, ὧν τὸ ἕτε-

---

Lach. p. 180. a. Ἐγὼ μὲν — ἐπαινῶ — τὴν διάνοιαν καὶ κοινωνεῖν ἕτοιμος. Euthyd. p. 285. c. ὡς ἐγὼ — παρακινδυνεύειν ἕτοιμος, καὶ παραδίδωμι etc. Et vid. Dorvill. ad Charit. p. 49.

69. Πρὸς γὰρ τῷ σέβεσθαι — *Neque enim colit tantum veneraturque formosum illum, sed hunc etiam gravissimorum dolorum medicum unum sibi invenit.* Vulgo πρὸς γὰρ τὸ σέβ., sine sensu. Ex Vindob. et Ficino revocavi τῷ. Charit. VI, 3. p. 102. φάρμακον γὰρ ἕτερον ἔρωτος οὐδέν ἐστι πλὴν αὐτὸς ὁ ἐρώμενος, ubi Dorvillius, nostrum locum laudans, tacite correxit τῷ.

§. 70. ὦ παῖ καλέ — Conf. §. 46. θεοὶ δὲ — De deorum dialecto, ab humana lingua diversa, satis multi sunt veterum inde ab Homero loci. V. Valcken. in Rell. Eurip. p. 275. et Koen. ad Gregor. p. 38. Mox loco vulgati γελασείας Stob. Eclog. Phys. I, 12. γελάσεις [optimi γελάσει. Mox Be. ex longe plurimis τινὲς Ὁμηριδῶν. Vulgatam habet textus adjectus Hermiae commentario.] — ἐκ τῶν ἀποθέτων ἐπῶν. Carmina haec ἀπόθετα cum Wernsdorfio ad Himer. p. 430. interpretor de *brevibus, recisis, separatis poematiis* dicta, quae maioribus Homeri poematis opponantur. Ἔπη autem de singulis h. l. versibus accipiendum, ut saepe: de rep. III. p. 393. a. μέχρι μὲν τούτων τῶν ἐπῶν, καὶ ἐλίσσετο πάντας Ἀχαιοὺς — — λαῶν. Xenoph. Mem. I, 3, 3. Ἐπαινέτης ἦν καὶ τοῦ ἔτους τούτου, Καδδύναμιν δ' ἴδειν etc. Iam haec δύο ἔπη dubium non est quin dicat versus duo seqq.; verum obscura admodum sunt illa ὧν τὸ ἕτερον — ἔμμετρον, in quibus τὸ ἕτερον hoc referendum videtur ad priorem versum Τὸν δ' ἤτοι. Nam ἔμμετρον h. l. non traxerim ad *metri formam*, sed opponi potius puto τῷ ῥυθμιστικῷ; atque οὐ σφόδρα τι ἔμμετρ. explico *non admodum modestum.* Illam au-

ρον ὑβριστικὸν πάνυ καὶ οὐ σφόδρα τι ἔμμετρον. Ὑμνοῦσι δὲ ὧδε·

Τὸν δ' ἤτοι θνητοὶ μὲν Ἔρωτα καλοῦσι ποτηνόν,
Ἀθάνατοι δὲ Πτέρωτα, διὰ πτεροφύτορ' ἀνάγκην.

c. Τούτοις δὴ ἔξεστι μὲν πείθεσθαι, ἔξεστι δὲ μή· ὅμως δὲ ἦγε αἰτία καὶ τὸ πάθος τῶν ἐρώντων τοῦτο ἐκεῖνο
71. τυγχάνει ὄν. Τῶν μὲν οὖν Διὸς ὀπαδῶν ὁ ληφθεὶς ἐμβριθέστερον δύναται φέρειν τὸ τοῦ πτερωνύμου ἄχθος· ὅσοι δὲ Ἄρεός τε θεραπευταὶ καὶ μετ' ἐκείνου περιεπόλουν, ὅταν ὑπ' Ἔρωτος ἁλῶσι καί τι οἰηθῶσιν ἀδικεῖσθαι ὑπὸ τοῦ ἐρωμένου, φονικοὶ καὶ ἕτοιμοι καθιερεύειν αὐτούς τε καὶ τὰ παιδικά. Καὶ
d. οὕτω καθ' ἕκαστον θεὸν, οὗ ἕκαστος ἦν χορευτὴς, ἐκεῖνον τιμῶν τε καὶ μιμούμενος εἰς τὸ δυνατὸν ζῇ,

---

tem ὕβριν fallor aut inesse vult in verbo ποτηνὸν, quod *veris alis, volucris instar, praeditum* Ἔρωτα significat. Quam *Amoris* imaginem, non admodum antiquam, si fides habenda est Schol. ad Aristoph. Av. 575. (νεωτερικὸν, inquit, τὸ τὴν Νίκην καὶ τὸν Ἔρωτα ἐπτερῶσθαι.), ineptam deoque hoc indignam et reiiciendam iudicare videtur prae illa, quam ipse finxit, imagine Amoris, *pennarum illam germinationem in mente humana excitantis*. Nam hoc significatu haud dubie accipiendum illud in versu altero Πτέρωτα, modo pro vulgato πτερόφοιτον ex Stob. Eclog. Phys. I, 12. [et parte Codicum] substituas πτεροφύτορ' ἀνάγκ., quod vulgato longe praeferendum puto. Quanquam enim Suidas habet πτεροφοιτῶρ, ductum hinc sine dubio, ut ex apposito ibi Damascii loco intelligitur (v. Toup. Emend. in Suid. P. III. ed. Lips. p. 386.) tamen repugnat haec vox, ut recte monet Buttmannus, analogiae linguae, non minus quam si quis *frequentor* faciat pro *frequentator*. Pro Πτέρωτα male Stob. Πτέρτω.

§. 71. ὅσοι δὲ Ἄρεός τε θεραπ. Vocula τε nata videtur ex syllaba proxima. Paullo post in illis καὶ

ἕως ἂν ᾖ ἀδιάφθορος καὶ τὴν τῇδε πρώτην γένεσιν
βιοτεύῃ, καὶ τούτῳ τῷ τρόπῳ πρός τε τοὺς ἐρωμέ-
νους καὶ πρὸς τοὺς ἄλλους ὁμιλεῖ τε καὶ προσφέρεται.
Τόν τε οὖν ἔρωτα τῶν καλῶν πρὸς τρόπου ἐκλέγεται 72.
ἕκαστος, καὶ ὡς θεὸν αὐτὸν ἐκεῖνον ὄντα ἑαυτῷ,
οἷον ἄγαλμα τεκταίνεταί τε καὶ κατακοσμεῖ, ὡς τι-
μήσων τε καὶ ὀργιάσων. Οἱ μὲν δὴ Διὸς Διόν τινα e.
εἶναι ζητοῦσι τὴν ψυχὴν τὸν ὑφ' αὑτῶν ἐρώμενον.
Σκοποῦσιν οὖν, εἰ φιλόσοφός τε καὶ ἡγεμονικὸς τὴν
φύσιν, καὶ ὅταν αὐτὸν εὑρόντες ἐρασθῶσι, πᾶν ποι-
οῦσιν, ὅπως τοιοῦτος ἔσται. Ἐὰν οὖν μὴ πρότε-
ρον ἐμβεβῶσι τῷ ἐπιτηδεύματι, τότε ἐπιχειρήσαντες
μανθάνουσί τε ὅθεν ἄν τι δύνωνται καὶ αὐτοὶ μετέρ-
χονται. Ἰχνεύοντες δὲ παρ' ἑαυτῶν ἀνευρίσκειν τὴν
τοῦ σφετέρου θεοῦ φύσιν εὑποροῦσι, διὰ τὸ συντό- p. 253.
a.

τούτῳ τῷ τρόπῳ πρός τε etc. vulgo πρός γε τοὺς ἐρωμ., sed part. γε hic locum non habet. Tum ὁμιλεῖ et προσφέρεται correxi pro ὁμιλῇ et προσφέρηται, sensu id flagitante. Praegressum autem βιοτεύῃ nolim itidem mutari in βιοτεύει ex Ficini versione: *et hoc pacto primam hic vitae generationem ducit, talemque se ipsum ad amatos et alios exhibet.* Aliter esset, si scriptum haberemus καὶ τούτῳ τῷ τρόπῳ τὴν τῇδε πρώτην γένεσιν βιοτεύει. Nunc illa καὶ — — βιοτεύῃ dicta accipe pro τὴν τῇδε — βιοτεύων. [Hoc itaque verbum mutare noluimus, tametsi hoc quoque in Indicativo exhibent cum Clarkiano longe plurimi; nam duo reliqua omnes praeter Par. *E.*]

§. 72. Τόν τε οὖν ἔρωτα — Habent verba τὸν ἔρωτα τῶν καλῶν significationem quandam τῶν παιδικῶν, quo spectat ἐκεῖνον in seqq. verbis ὡς θεὸν — ἑαυτῷ, *tanquam ille esset ipse deus suus.* ἡγεμονικὸς τὴν φύσιν. Phileb. p. 30. d. Οὐκοῦν ἐν μὲν τῇ τοῦ Διὸς ἐρεῖς φύσει βασιλικὴν μὲν ψυχὴν, βασιλικὸν δὲ νοῦν ἐγγίγνεσθαι; Mox τῷ ἐπιτηδεύματι est τῇ φιλοσοφίᾳ, quod facile intelligitur ex praegressis.

νως ἠναγκάσθαι πρὸς τὸν θεὸν βλέπειν, καὶ ἐφαπτόμενοι αὐτοῦ τῇ μνήμῃ, ἐνθουσιῶντες ἐξ ἐκείνου λαμβάνουσι τὰ ἔθη καὶ τὰ ἐπιτηδεύματα, καθόσον
73. δυνατὸν θεοῦ ἀνθρώπῳ μετασχεῖν· καὶ τούτων δὴ τὸν ἐρώμενον αἰτιώμενοι ἔτι τε μᾶλλον ἀγαπῶσι, κἂν ἐκ Διὸς ἀρύτωσιν, ὥσπερ αἱ Βάκχαι, ἐπὶ τὴν τοῦ ἐρωμένου ψυχὴν ἐπαντλοῦντες ποιοῦσιν ὡς δυνατὸν
b. ὁμοιότατον τῷ σφετέρῳ θεῷ. Ὅσοι δ' αὖ μεθ' Ἥρας εἵποντο, βασιλικὸν ζητοῦσι, καὶ εὑρόντες περὶ τοῦτον πάντα δρῶσι τὰ αὐτά. Οἱ δὲ Ἀπόλλωνός τε καὶ ἑκάστου τῶν θεῶν οὕτω κατὰ τὸν θεὸν ἰόντες ζητοῦσι τὸν σφέτερον παῖδα πεφυκέναι, καὶ ὅταν κτήσωνται, μιμούμενοι αὐτοί τε καὶ τὰ παιδικὰ πείθοντες καὶ ῥυθμίζοντες εἰς τὸ ἐκείνου ἐπιτήδευμα καὶ ἰδέαν ἄγουσιν, ὅση ἑκάστῳ δύναμις, οὐ φθόνῳ οὐδ' ἀνελευθέρῳ δυσμενείᾳ χρώμενοι πρὸς τὰ
c. παιδικά· ἀλλ' εἰς ὁμοιότητα αὐτοῖς καὶ τῷ θεῷ, ὃν

---

§. 73. *καὶ τούτων δὴ τὸν ἐρώμ.* *Τούτων* pro *τούτου*, pervulgato Graecorum more. Hoc autem requirebat pro vulgato *τοῦτον* subsequens vox *αἰτιώμενοι*, et praestabat Ficinus: *quoniam vero horum omnium causas referunt in amatum.* [Acc. codd. aliquot.] — *ὥσπερ αἱ Βάκχαι.* Ion. p. 534. a. *οἱ μελοποιοὶ οὐκ ἔμφρονες ὄντες τὰ καλὰ μέλη ταῦτα ποιοῦσιν, ἀλλ' ἐπειδὰν ἐμβῶσιν εἰς τὴν ἁρμονίαν καὶ εἰς τὸν ῥυθμόν, βακχεύουσι καὶ κατεχόμενοι (ποιοῦσιν?), ὥσπερ αἱ Βάκχαι ἀρύτονται ἐκ τῶν ποταμῶν μέλι καὶ γάλα κατεχόμεναι, ἔμφρονες δὲ οὖσαι οὔ.* Conf. Eurip. Bacch. v. 141. seqq. 703—710.

73. *οὐ φθόνῳ — τὰ παιδικά.* Haec, ne male vincta esset oratio, trahenda putavi ad praegressa, quo seqq. etiam *ἀλλ' εἰς ὁμοιότητα — πειρώμενοι ἄγειν* optime traherentur, nisi obstaret additum hoc *οὕτω ποιοῦσι.* Nunc structura horum *ἀλλ' εἰς ὁμ. — ποιοῦσι* gemina est illi Gorg. p. 507. d. *οὗτος*

ἂν τιμῶσι, πᾶσαν πάντως ὅτι μάλιστα πειρώμενοι ἄγειν, οὕτω ποιοῦσι. Προθυμία μὲν οὖν τῶν ὡς 74.
ἀληθῶς ἐρώντων καὶ τελετὴ, ἐάν γ' ἐνδιαπράξωνται ὃ προθυμοῦνται, ἣν λέγω, οὕτω καλή τε καὶ εὐδαιμονικὴ ὑπὸ τοῦ δι' ἔρωτα μανέντος φίλου τῷ φιληθέντι γίγνεται, ἐὰν αἱρεθῇ. Ἁλίσκεται δὲ δὴ ὁ αἱ-

---

ἔμοιγε δοκεῖ ὁ σκοπὸς εἶναι, πρὸς ὃν βλέποντα δεῖ ζῆν, καὶ πάντα εἰς τοῦτο τὰ αὑτοῦ συντείνοντα καὶ τὰ τῆς πόλεως, ὅπως δικαιοσύνη παρέσται καὶ σωφροσύνη τῷ μακαρίῳ μέλλοντι ἔσεσθαι, οὕτω πράττειν.

§. 74. *Προθυμία μὲν οὖν* — Non prompta mihi est in hoc verborum circuitu lectio aut sententia. Illud video, verbo *προθυμία* significari eum, quem modo declaravit, *amatorum conatum, amatos ad suum deique sui morem habitumque formandi; τελετὴ* autem hoc ipsam significari *sacrorum initiationem, qua impertiunt amatos amatores, felici in studio illo successu usi, idoneamque nacti indolem, in qua illam quasi imaginem effingant.* Nam ita intelligo haec *ἐάν γε — προθυμοῦνται*, in quibus *ἐνδιαπράξωνται* ne singulare prorsus sit et contra sermonis usum, syllabam *ἐν* inducendam puto. [Schneid. in Lex. corrigit *εὖ διαπρ.*] At vero verbis *ἣν λέγω* quid facias? Nam Ficinus quidem quum vertit: *cura igitur — talis est profecto, qualem describimus*, puncto posito in verbo *λέγω*, subaudivit *τοιαύτη* seu *αὕτη ἐστὶ*, cuius generis exempla alia non novi, ne quid dicam de intolerabili ipsius sententiae languore. Tum vero hanc exspectabam Platonis manum: *Τοιαύτη μὲν οὖν ἡ προθυμία* etc., ut epiphonema facerent illa *Οὕτω καλή τε* etc. Sin illa *ἣν λέγω* continuatae orationi sic interiecta putentur: *cupiditas igitur atque initiatio — quam dico, adeo eximia et beata — contingit* [quod distinctione nos, cum Be. et Schlei., repraesentavimus], dici non potest, quam misere tum quoque claudicet oratio. Quod olim succurrit *ἦ λέγω*, trahendum ad *ἐνδιαπράξωνται*, ipsum quoque admodum friget. Mihi igitur haec corruptelae sunt manifesta; medelam viderint acutiores.

74. Ἁλίσκεται — ὁ αἱρεθείς. Mire hoc dictum: *capitur, qui captus est.* Sed reponendum haud dubie *εὑρεθείς.*

ρεθεὶς τοιῷδε τρόπῳ· καθάπερ ἐν ἀρχῇ τοῦδε τοῦ μύθου τριχῇ διειλόμην ψυχὴν ἑκάστην, ἱππομόρφω μέν δύο τινὲ εἴδη, ἡνιοχικὸν δὲ εἶδος τρίτον· καὶ
d. νῦν ἔτι ἡμῖν ταυτὰ μενέτω. Τῶν δὲ δὴ ἵππων ὁ μέν, φαμέν, ἀγαθὸς, ὁ δ' οὔ. Ἀρετὴ δὲ τίς τοῦ ἀγαθοῦ ἢ κακοῦ κακία, οὐ διείπομεν, νῦν δὲ λεκτέον. Ὁ μὲν τοίνυν αὐτοῖν ἐν τῇ καλλίονι στάσει ὤν, τό τε εἶδος ὀρθὸς καὶ διηρθρωμένος, ὑψαύχην, ἐπίγρυπος, λευκὸς ἰδεῖν, μελανόμματος, τιμῆς ἐραστὴς μετὰ σωφροσύνης τε καὶ αἰδοῦς, καὶ ἀληθινῆς δόξης ἑταῖρος, ἄπληκτος, κελεύσματι μόνον καὶ λόγῳ

Conf. §. 72. *Οἱ μὲν δὴ Διὸς δίιόν τινα ζητοῦσι*, deinde *ὅταν αὐτὸν εὑρόντες ἐρασθῶσιν*, et quae ibi et §. 73. sequuntur. Deinde pro *διειλόμην* ex Ficino, vertente, *divisimus*, rescribendum fortasse *διείλομεν*, ut mox *φαμὲν* et *διείπομεν*: inde autem pendent accusativi seqq. *ἱππομόρφω — τρίτον*. Politic. p. 283. d. *Διέλωμεν τοίνυν αὐτὴν δύο μέρη*. de Legg. V. p. 737. e. *γῆ δὲ καὶ οἰκήσεις ὡσαύτως τὰ αὐτὰ μέρη διανεμηθέντων*. VI. p. 760. b. *δώδεκα μὲν ἡμῖν ἡ χώρα πᾶσα εἰς δύναμιν ἴσα μόρια νενέμηται*. [Codd. constanter *διειλόμην*: et sic Soph. 107. *διειλόμεθα τῆς εἰδωλοποιικῆς εἴδη δύο, τὴν μὲν εἰκαστικὴν τὴν δὲ φανταστικήν*.] Paullo post propter sequens *διείπομεν* malim *ἔφαμεν*, ut in versione correxit Cornarius.

74. *λευκὸς ἰδεῖν*. Geopon. XVI, 2, 2. *Πλάτων τοὺς λευκοὺς ἀποδέχεται, ὡς ἐν τῷ λευκῷ καὶ τῷ μέλανι τὴν ἀκρότητα ἐπαινεῖσθαι*, ubi vid. Niclas. — *Τιμῆς ἐραστὴς μετὰ σωφρ.* i. e. *honoris cupidus est, sed modeste pudenterque*, cui mox opponitur *ὕβρεως καὶ ἀλαζονείας ἑταῖρος*. Tum *ἄπληκτος* est, qui Pindaro dicitur Ol. I, 33. *δέμας ἀκέντητον παρέχων ἐν δρόμοις*. — *κελεύσμ.* Heraclid. Alleg. Hom. ed. Schow. p. 60. *κελεύσματι καὶ λόγῳ μόνῳ*. Sed bene habet *μόνον*: v. Heusing. ad Cic. de Off. I, 7, 5. [Be. ex Clark. et sociis *κελεύματι*.]

ἡνιοχεῖται· ὁ δ' αὖ σκολιὸς, πολὺς, εἰκῆ συμπεφο- e.
ρημένος, κρατεραύχην, βραχυτράχηλος, σιμοπρό-
σωπος, μελάγχρως, γλαυκόμματος, ὕφαιμος, ὕβρεως
καὶ ἀλαζονείας ἑταῖρος, περὶ ὦτα λάσιος, κωφὸς,
μάστιγι μετὰ κέντρων μόγις ὑπείκων. Ὅταν δ' 75.
οὖν ὁ ἡνίοχος, ἰδὼν τὸ ἐρωτικὸν ὄμμα, πᾶσαν αἰ-
σθήσει διαθερμήνας τὴν ψυχὴν, γαργαλισμοῦ τε καὶ
πόθου κέντρων ὑποπλησθῇ, ὁ μὲν εὐπειθὴς τῷ ἡνιό- p. 254.
χῳ τῶν ἵππων ἀεί τε καὶ τότε αἰδοῖ βιαζόμενος ἐαυ- a.

---

74. ὁ δ' αὖ — πολύς. Πολὺς etsi alias est *vehemens* (v. Bergler. ad Aristoph. Equit. 757.) hic tamen, inter σκολιὸς et εἰκῆ συμπεφορημένος positum, de *corporis ingenti statura* haud dubie dictum, cui opponitur equus γαστέρα συμπεπιεσμένην καὶ ταῖς λαγόσι συνεσταλμένην, τὸ μέγεθος ἱκανὸν habens, ut laudatur in Geopon. l. l. Εἰκῆ συμπεφορημένος, illi διηρθρωμένῳ oppositus, est is, cuius membra temere neque ad normam quandam composita sunt. Male Cornar. *qui multum temere circumfertur*. Vid. Davis. ad Max. Tyr. Diss. XVII, 7. p. 563. — βραχυτράχ. Laudatur Geopon. l. l. equi ὀρθὸς τράχηλος, πλήρης τε καὶ παχύς, τουτέστιν οὐ βραχυτράχηλος. Heraclid. l. l. male πολυτράχηλος. — σιμοπρόσωπον hinc affert ex Platone Pollux II, 73. — ὕφαιμος int. τὰ ὄμματα, quod intelligendum ex proximo γλαυκόμματος, qui sanguinolenti oculi irae sunt indices: v. Dorvill. ad Charit p. 40. — περὶ ὦτα λάσιος. Heraclid. vitiose περιωτάλοιος. Id. ὑπόκωφος et mox μετὰ κέντρου μόλις. Hermias Comment. MS. ap. Siebenk. Anecd. Gr. p. 20. ad h. l. ὦτα ἔχων δασέα καὶ πεφιμωμένα· διὸ καὶ ἀνηκοὺς καὶ κωφός ἐστι καὶ πολλάκις ἀκούων τι καὶ μὴ ὑπακούων, ἀλλὰ τῇ ἐπιθυμίᾳ εἴκων μαστίγων δέεται μάλιστα. Suidae λασιόκωφος, vocem absone formatam, recte ex corrupta Platonis scriptura ortam ibi iudicat Siebenkeesius.

§. 75. Ὅταν δ' οὖν — τὸ ἐρωτικὸν ὄμμα, *amatorium illud spectaculum*. Sophocl. Elect. v. 902. ἐμπαίει τί μοι Ψυχῇ ξύνηθες ὄμμα. Quae statim subiiciuntur πᾶσαν αἰσθήσει διαθερμήνας τὴν ψυχὴν, in his verbum αἰσθήσει adeo est ignavum et supervacaneum, ut mendi moveat suspicionem. In

τὸν κατέχει, μὴ ἐπιπηδᾶν τῷ ἐρωμένῳ· ὁ δὲ οὔτε κέντρων ἡνιοχικῶν οὔτε μάστιγος ἔτι ἐντρέπεται, σκιρτῶν δὲ βίᾳ φέρεται, καὶ πάντα πράγματα παρέχων τῷ σύζυγί τε καὶ ἡνιόχῳ ἀναγκάζει ἰέναι τε πρὸς τὰ παιδικὰ καὶ μνείαν ποιεῖσθαι τῆς τῶν ἀφροδισίων χάριτος. Τὼ δὲ κατ' ἀρχὰς μὲν ἀντιτείνετον ἀγανακτοῦντε, ὡς δεινὰ καὶ παράνομα ἀναγκαζομέ-
b. νω· τελευτῶντε δέ, ὅταν μηδὲν ᾖ πέρας κακοῦ, πορεύεσθον ἀγομένω, εἴξαντε καὶ ὁμολογήσαντε ποιήσειν τὸ κελευόμενον· καὶ πρὸς αὐτῷ τ' ἐγένοντο καὶ εἶδον τὴν ὄψιν τὴν τῶν παιδικῶν ἀστράπτουσαν.

76. Ἰδόντος δὲ τοῦ ἡνιόχου ἡ μνήμη πρὸς τὴν τοῦ κάλλους φύσιν ἠνέχθη, καὶ πάλιν εἶδεν αὐτὴν μετὰ σωφροσύνης ἐν ἁγνῷ βάθρῳ βεβῶσαν. Ἰδοῦσα δὲ ἔδεισέ τε καὶ σεφθεῖσα ἀνέπεσεν ὑπτία, καὶ ἅμα ἠναγκά-

---

quo, si quid video, latet vocabulum eiusdem generis, cuius est mox illatum ὑποπλησθῇ. Illa paullo post ὁ δὲ οὔτε κέντρων — ἐντρέπεται affert Priscian. XVIII. p. 1182. ed. Putsch., ubi Atticis ἐντρέπομαι τοῦτο καὶ τούτου usurpari solitum docet.

75. καὶ πρὸς αὐτῷ τε ἐγέν. i. e. ἐγγὺς ἦσαν §. 77. Ipsa structura pro καὶ πρὸς αὐτῷ γενομένω εἶδον etc. habet simplicitatem quandam, qua nihil est apud Atticos scriptores frequentius. Phaedo p. 118. a. ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα, καὶ ἐγκαλυψάμενος εἶπεν — Euthyd. p. 273. a. οὔπω τοίτω δυ' ἢ τρεῖς δρόμους περιεληλυθότε ἦστην καὶ εἰσέρχεται Κλεινίας. Εἶδον autem h. l. est *visere solent*, neque offendere debet subitus hic ad aoristum transitus. Phaedo p. 73. d. Οὐκοῦν οἶσθα, ὅτι οἱ ἐρασταὶ ὅταν ἴδωσι λύραν ἢ ἱμάτιον ἤ τι ἄλλο οἷς τὰ παιδικὰ αὐτῶν εἴωθε χρῆσθαι, πάσχουσι τοῦτο· ἔγνωσάν τε τὴν λύραν, καὶ ἐν τῇ διανοίᾳ ἔλαβον τὸ εἶδος τοῦ παιδός, οὗ ἦν ἡ λύρα;

§. 76. Ἰδοῦσα δὲ ἔδεισε — Subaudirem ψυχὴ ex praegresso ἡ μνήμη, nisi h. l. una animi pars, ἡνιοχικὸν illud

σθη εἰς τοὐπίσω ἑλκύσαι τὰς ἡνίας οὕτω σφόδρα, c.
ὥστε ἐπὶ τὰ ἰσχία ἄμφω καθίσαι τῷ ἵππῳ, τὸν μὲν
ἑκόντα διὰ τὸ μὴ ἀντιτείνειν, τὸν δὲ ὑβριστὴν μάλα
ἄκοντα. Ἀπελθόντε δὲ ἀπωτέρω, ὁ μὲν ὑπ' αἰ-
σχύνης τε καὶ θάμβους ἰδρῶτι πᾶσαν ἔβρεξε τὴν ψυ-
χήν· ὁ δὲ λήξας τῆς ὀδύνης, ἣν ὑπὸ τοῦ χαλινοῦ τε
ἔσχε καὶ τοῦ πτώματος, μόγις ἐξαναπνεύσας ἐλοιδό-
ρησεν ὀργῇ πολλὰ κακίζων τόν τε ἡνίοχον καὶ τὸν ὁμό- d.
ζυγα, ὡς δειλίᾳ τε καὶ ἀνανδρίᾳ λιπόντε τὴν τάξιν
καὶ ὁμολογίαν· καὶ πάλιν οὐκ ἐθέλοντας προσιέναι
ἀναγκάζων μόγις συνεχώρησε, δεομένων εἰσαῦθις
ὑπερβαλέσθαι. Ἐλθόντος δὲ τοῦ συντεθέντος χρό- 77.
νου, οὗ ἀμνημονεῖν προσποιουμένω ἀναμιμνήσκων,
βιαζόμενος, χρεμετίζων, ἕλκων ἠνάγκασεν αὖ προσ-

εἶδος, intelligeretur. Nunc in his ἰδοῦσα etc. latet ἡνιόχου notio, oratioque est magis ad grammaticam rationem, quam ad sensum accommodata.

76. καὶ πάλιν οὐκ ἐθέλοντας — Placet δεομένοιν post συνεχώρησε: quanquam non infrequens est absoluti huius, quem vocant, genitivi usus, de quo vid. Dorvill. ad Charit. p. 254. (354. Lips.), qui hoc quoque adhibuit ibi exemplum.

§. 77. Ἐλθόντος δὲ τοῦ συντεθ. Durissime in his coartata est structura, quam tamen inducenda una syllaba expedias. Quippe inducto isto οὗ post χρόνου omnia optime cohaerebunt: *quando autem constitutum venit tempus, admonens illos oblivionem simulantes, urgens, hinniens, trahens cogit rursus accedere ad amatum.* Quanquam erunt fortasse, qui vulgatam scripturam tueantur subaudiendo ἐστὸν ad προσποιουμένω (v. Zeun. ad Xenoph. Mem. II, 1, 23.). Neque absimilis est ratio loci huius in Isocrat. Laudat. Helen. p. 417. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους τὸ τέρας τὸ τραφὲν μὲν ἐν Κρήτῃ, γενόμενον δὲ ἐκ Πασιφάης τοῦ Ἡλίου θυγατρὸς, ᾧ κατὰ μαντείαν δασμὸν τῆς πόλεως δὶς ἑπτὰ παῖδας ἀποστελλούσης, ἰδὼν αὐτοὺς ἀγομένους — οὕτως ἠγανάκτησεν κ. τ. λ. ἐπὶ

ελθεῖν τοῖς παιδικοῖς ἐπὶ τοὺς αὐτοὺς λόγους. Καὶ ἐπειδὴ ἐγγὺς ἦσαν, ἐγκύψας καὶ ἐκπεύκας τὴν κέρκον, ἐνδακὼν τὸν χαλινὸν μετ' ἀναιδείας ἕλκει. Ὁ δ' ἡνίοχος ἔτι μᾶλλον ταὐτὸν πάθος παθὼν, ὥσπερ ἀπὸ ὕσπληγος ἀναπεσὼν, ἔτι μᾶλλον τοῦ ὑβριστοῦ ἵππου ἐκ τῶν ὀδόντων βίᾳ ὀπίσω σπάσας τὸν χαλινὸν τήν τε κακηγόρον γλῶτταν καὶ τὰς γνάθους καθήμαξε, καὶ τὰ σκέλη τε καὶ τὰ ἰσχία πρὸς τὴν γῆν ἐρείσας ὀδύναις ἔδωκεν. Ὅταν δὲ ταὐτὸν πολλάκις πάσχων ὁ πονηρὸς τῆς ὕβρεως λήξῃ, ταπεινωθεὶς ἕπεται ἤδη τῇ τοῦ ἡνιόχου προνοίᾳ, καὶ ὅταν ἴδῃ τὸν καλὸν, φόβῳ διόλλυται. Ὥστε ξυμβαίνει ποτ' ἤδη τὴν τοῦ ἐραστοῦ ψυχὴν τοῖς παιδικοῖς αἰδουμέ-

---

τοὺς αὐτ. λόγους, ἐπὶ τὸ μνείαν ποιεῖσθαι τῆς τῶν ἀφροδισίων χάριτος, §. 75.

77. Καὶ ἐπειδὴ ἐγγὺς ἦσαν. Mirum hoc ἦσαν, pro quo sermonis ratio vel praesens vel aoristum requirebat. Veram puto Buttmanni correctionem εἰσίν. — [Pro ἐκπεύκας Be. e parte codd. ἐντείνας.] Tum ἐνδακεῖν τὸν χαλινὸν, proprie de equis ferocientibus usurpatur, unde imperio moderantis nondum obsequens translate dicitur δακεῖν et ἐνδακεῖν στόμια. Vid. Valcken. ad Eurip. Hippol. v. 1223. Ὁ δ' ἡνίοχος — ταὐτὸ πάθος, quod ante. Spectat enim hoc ad superiora illa §. 76. ἰδοῦσα δὲ ἔδεισέ τε καὶ σεφθεῖσα ἀνέπεσεν ὑπτία, et epexegesin faciunt verba ὥσπερ ἀπὸ — ἀναπεσὼν, velut statim a carceribus retro relapsus —. Nam alterum ἔτι μᾶλλον, magis quam ante §. 76., pertinet ad σπάσας. Perperam Cornar. retro supinatus magis adhuc quam procax equus. Illud ὀδύναις ἔδωκεν Homericum est loquendi genus. Conf. Il. ε, 397. Odyss. ρ, 567. Similiter πληγαῖς δοῦναι de rep. IX. p. 574. c. et vid. Dorvill. ad Charit. p. 651.

§. 78. Ὥστε ξυμβαίνει ποτ' ἤδη — [Be. ex opt. τότ' —. Tum Vat. Δ δεδικυῖαν et Ven. Η cum Par. GT δεδυῖαν: unde Be. δεδινῖαν. Vid. Gr. ampl. not. ad verb. δείσαι.] Ἄτε οὖν

νην τε καὶ δεδοικυῖαν ἔπεσθαι. Ἅτε οὖν πᾶσαν p. 255. a.
θεραπείαν ὡς ἰσόθεος θεραπευόμενος, οὐχ ὑπὸ σχηματιζομένου τοῦ ἐρῶντος, ἀλλὰ ἀληθῶς τοῦτο πεπονθότος, καὶ αὐτὸς ὢν φύσει φίλος, εἰς ταὐτὸν ἄγει τὴν φιλίαν τῷ θεραπεύοντι. Ἐὰν ἄρα καὶ ἐν τῷ πρόσθεν ὑπὸ ξυμφοιτητῶν ἢ τινων ἄλλων διαβεβλημένος ἦ, λεγόντων ὡς αἰσχρὸν ἐρῶντι πλησιάζειν, καὶ διὰ τοῦτο ἀπωθῇ τὸν ἐρῶντα· προϊόντος δὲ ἤδη τοῦ χρόνου ἥ τε ἡλικία καὶ τὸ χρεὼν ἤγαγεν εἰς τὸ

πᾶσαν — ὡς ἰσόθεος. Conf. §. 72. 66. — Deinde Hermias Scholl. MSS. ap. Ruhnk. ad Tim. Lex. p. 245. iunctim ὑποσχηματιζομένου, explicans προσποιουμένου, quod fortasse praeferendum. τοῦτο, τὸ ἐρᾶν. — φύσει, naturali quadam morum similitudine. — Quae sequuntur εἰς ταὐτὸν ἄγει τὴν φιλίαν, ea in vet. quodam libro omissa testatur Steph. [et desunt in Clark. aliisque praestantioribus multis], ut φίλος statim iungatur τῷ θεραπεύοντι, iisque eiectis optime in unam haec omnia periodum coibunt: Ἅτε οὖν πᾶσαν — θεραπευόμενος — καὶ αὐτὸς ὢν φύσει φίλος τῷ θεραπεύοντι, ἐὰν ἄρα καὶ — τὸν ἐρῶντα· προϊόντος δὲ ἤδη κ. τ. λ. Enimvero haec quomodo intrudi potuerint, nisi quis olim in margine ad φύσει adscriptum fuisse putet εἰς ταὐτὸν ἄγει, eoque deinde in contextum illato adiectum τὴν φιλίαν; quae tamen quaesita est parumque probabilis ratio; istiusmodi igitur depravationis quum nulla pateat origo, aliam in his εἰς ταὐτ. ἄγ. τὴν φιλίαν corruptelam leniorique sanandam acutioribus medela existimo. Eximie concordes saepe dicuntur ipsi εἰς ἓν seu εἰς ταὐτὸν ἐλθεῖν, (v. Valcken. ad Eurip. Hippol. p. 192.); amicus autem, φίλος τις φύσει ὤν, an commode dici possit εἰς ταὐτὸν ἄγειν τὴν φιλίαν alteri, admodum dubito. Iam in his ἐὰν ἄρα καὶ etc. dure admodum deest iungendi particula; quocirca Stephanus scribendum putabat Καὶ ἐὰν ἄρα καὶ, seu (ut Xenoph. Oec. 5, 13.) Ἐὰν δ' ἄρα καὶ, quorum prius praefero, expressum etiam a Ficino, *ac etiamsi*; quanquam de proxime antecedentium scriptura incertus nihil hic diiudico. — Vocabulo ξυμφοιτητὴς auctoritatem hinc adstruit Dorvill. ad Charit.

b. 79. προσέσθαι αὐτὸν εἰς ὁμιλίαν. Οὐ γὰρ δή ποτε εἵμαρται κακὸν κακῷ φίλον οὐδ' ἀγαθὸν μὴ φίλον ἀγαθῷ εἶναι. Προσεμένου δὲ καὶ λόγον τε καὶ ὁμιλίαν δεξαμένου, ἐγγύθεν ἡ εὔνοια γιγνομένη τοῦ ἐρῶντος ἐκπλήττει τὸν ἐρώμενον, διαισθανόμενον, ὅτι οὐδ' οἱ ξύμπαντες ἄλλοι φίλοι τε καὶ οἰκεῖοι μοῖραν φιλίας οὐδεμίαν παρέχονται πρὸς τὸν ἔνθεον φίλον. Ὅταν δὲ χρονίζῃ τοῦτο δρῶν καὶ πλησιάζῃ μετὰ τοῦ ἅπτεσθαι ἔν τε γυμνασίοις καὶ ἐν ταῖς ἄλ-
c. λαις ὁμιλίαις, τότ' ἤδη ἡ τοῦ ῥεύματος ἐκείνου πηγή, ὃν ἵμερον Ζεὺς Γανυμήδους ἐρῶν ὠνόμασε, πολλὴ

---

p. 382. διαβεβλημένος h. l. *deceptus*, quem verbi usum ex Herodoto aliisque vel Lexica firmant. De re conf. §. 13. Tum pro ἀπωθεῖ propter praegressum ἐὰν correxi ἀπωθῇ. — ἥ τε ἡλικία, *pubertas*; τὸ χρεὼν autem, *fatalis quasi quaedam necessitas*, statim post declaratur verbis οὐ γὰρ δή ποτε εἵμαρται etc. Denique pro vulgato προέσθαι rescripsi προσέσθαι ob illud mox illatum προσεμένου et praegressum ἀπωθῇ. In vulgato saltem scribi debebat αὐτόν pro αὐτόν.

§. 79. Οὐ γὰρ δή ποτε — *Nam ut fati quasi quadam necessitate malus malo amicus esse non potest, ita ne bonus quidem non amicus bono esse potest.* Conf. Lysis §. 25. seqq. Ὅταν δὲ χρονίζῃ τοῦτο δρῶν, i. e. λόγον τε καὶ ὁμιλίαν δεχόμενος. Deinde Euseb. Praep. Evang. XIII. 20., ubi haec ὅταν δὲ — — πρόφ. εἰπεῖν οὐκ ἔχει (§. 80.) profert, habet τότε δή, *tum demum*. — Verba autem μετὰ τοῦ ἅπτεσθαι nisi posita videantur pro part. ἁπτόμενος, quae ratio parum placet, trahenda ea opinor ad seqq. τότ' ἤδη ἡ τοῦ ῥεύμ. etc., ut τότ' ἤδη cum vi quadam inferatur. Theaetet. p. 157. c. σὲ δὲ μαιεύομαι — ἕως ἂν εἰς φῶς τὸ σὸν δόγμα ξυνεξαγάγω, ἐξαχθέντος δὲ τότ' ἤδη σκέψομαι, εἴτ' ἀνεμιαῖον εἴτε γόνιμον ἀναφανήσεται. πηγή, ὃν ἵμερον. — Sic Graeci etiam, non modo Latini, pronomen relativum sequenti accommodant vocabulo. Phileb. p. 40. a. Λόγοι μήν εἰσιν ἐν ἑκάστοις ἡμῶν, ἃς ἐλπίδας ὀνομάζομεν. de legg. III. p. 699. c.

φερομένη πρὸς τὸν ἐραστήν, ἡ μὲν εἰς αὐτὸν ἔδυ, ἡ δ' ἀπομεστουμένου ἔξω ἀπορρεῖ, καὶ, οἷον πνεῦμα ἤ τις ἠχὼ ἀπὸ λείων τε καὶ στερεῶν ἀλλομένη πάλιν ὅθεν ὡρμήθη φέρεται, οὕτω τὸ τοῦ κάλλους ῥεῦμα πάλιν εἰς τὸν καλὸν διὰ τῶν ὀμμάτων ἰὸν, ἥ πέφυκεν ἐπὶ τὴν ψυχὴν ἰέναι, ἀφικόμενον καὶ ἀναπτερῶσαν τὰς διόδους τῶν πτερῶν ἄρδει τε καὶ ὥρμησε πτεροφυεῖν τε καὶ τὴν τοῦ ἐρωμένου αὖ ψυχὴν ἔρω- d.
τος ἐνέπλησεν. Ἐρᾷ μὲν οὖν, ὅτου δὲ, ἀπορεῖ, καὶ 80.
οὐθ' ὅτι πέπονθεν οἶδεν, οὐδ' ἔχει φράσαι, ἀλλ' οἷον ἀπ' ἄλλου ὀφθαλμίας ἀπολελαυκὼς πρόφασιν εἰπεῖν οὐκ ἔχει, ὥσπερ δὲ ἐν κατόπτρῳ ἐν τῷ ἐρῶντι

ὁ φόβος — ὧν δουλεύοντες τοῖς πρόσθεν νόμοις ἐκέκτηντο, ην αἰδῶ — εἴπομεν. Ibid. I. p. 628. b. πρὸς πόλεμον τὸν ἐν αὐτῇ γιγνόμενον ἑκαστότε, ἣ δὴ καλεῖται στάσις. Ipsa haec ὃν ἵμερον — ὠνόμασε ex Lyrico sunt sine dubio sumpta, de quo videndum eruditioribus.

79. καὶ οἷον πνεῦμα — ἀλλομένη. Sic scripsi cum Eusebio, [acced., quanquam cum spir. leni, Clark. et Par. *E*]. Vulgo ἀλωμένη. Arist. de Anim. II, 8. οὐ δὴ πᾶν ψοφεῖ τυπτόμενον καὶ τύπτον — ἀλλὰ δεῖ τὸ τυπτόμενον ὁμαλὸν εἶναι, ὥστε τὸν ἀέρα ἀθρόον ἀφάλλεσθαι καὶ σείεσθαι. Mox verbum ἀναπτερῶσαν Ficinus non expressit, et sane id incommode neque usitato significatu h. l. adhibitum. Reponendum arbitror ἀναπληρῶσαν.

§. 80. ἀπορεῖ, καὶ οὐθ' — οὐδ' — [Vid. de tali junctura Engelhardum ad Lach. 5. Quanquam hic quidem primo loco οὐδ' aptius esse censeo: — *ne hoc quidem novit quid sit illud quo affectus sit, neque* (οὐδὲ) *eloqui illud potest. Buttm.*] ἀλλ' οἷον — ἀπολελαυκὼς — Quippe vetus haec est opinio, oculorum morbos per ipsum adspectum communicari, de quo vid. Gesner. ad Orat. de Harusp. Resp. ed. Wolf. p. 345. — πρόφασιν de causa physica v. Sturz. Lex. Xenoph. ὥσπερ δὲ ἐν κατ. *Non sentit suum ipsius affectum ex se ipso in*

ἑαυτὸν ὁρῶν λέληθε. Καὶ ὅταν μὲν ἐκεῖνος παρῇ, λήγει κατὰ ταυτὰ ἐκείνῳ τῆς ὀδύνης, ὅταν δὲ ἀπῇ, κατὰ ταυτὰ αὖ ποθεῖ καὶ ποθεῖται, εἴδωλον ἔρωτος ἀντέ-
e. ρωτα ἔχων. Καλεῖ δὲ αὐτὸν καὶ οἴεται οὐκ ἔρωτα ἀλλὰ φιλίαν εἶναι, ἐπιθυμεῖ δὲ ἐκείνῳ παραπλησίως μέν, ἀσθενεστέρως δέ, ὁρᾶν, ἅπτεσθαι, φιλεῖν, συγκατακεῖσθαι, καὶ δὴ, οἷον εἰκὸς, ποιεῖ τὸ μετὰ τοῦτο
81. ταχὺ ταῦτα. Ἐν οὖν τῇ συγκοιμήσει τοῦ μὲν ἐραστοῦ ὁ ἀκόλαστος ἵππος ἔχει ὅ,τι λέγῃ πρὸς τὸν ἡνίοχον, καὶ ἀξιοῖ ἀντὶ πολλῶν πόνων σμικρὰ ἀπολαῦσαι·
p. 256. a. ὁ δὲ τῶν παιδικῶν ἔχει μὲν οὐδὲν εἰπεῖν, σπαργῶν δὲ καὶ ἀπορῶν περιβάλλει τὸν ἐραστὴν καὶ φιλεῖ, ὡς σφόδρα εὔνουν ἀσπαζόμενος, ὅταν τε συγκατακέωνται, οἷός ἐστι μὴ ἂν ἀπαρνηθῆναι τὸ αὑτοῦ μέρος χαρίσασθαι τῷ ἐρῶντι, εἰ δεηθείη τυχεῖν. Ὁ δὲ ὁμόζυξ αὖ μετὰ τοῦ ἡνιόχου πρὸς ταῦτα μετ᾽ αἰδοῦς καὶ λόγου ἀντιτείνει. Ἐὰν μὲν δὴ οὖν εἰς τεταγμένην τε δίαιταν καὶ φιλοσοφίαν νικήσῃ τὰ βελτίω τῆς
b. διανοίας ἀγαγόντα, μακάριον μὲν καὶ ὁμονοητικὸν τὸν ἐνθάδε βίον διάγουσιν, ἐγκρατεῖς αὐτῶν καὶ κό-

---

amatorem transfusum ita ut eius ipsius imaginem quasi quandam referat amator. *ἀντέρωτα.* [Haec inventa est codicum omnium lectio loco eius quam editi exhibebant *ἀντ᾽ ἔρωτος.*] Mox illa quoque *ἐπιθυμεῖ δὲ* usque ad *κόσμιοι ὄντες* exscripsit Euseb. l. l.

§. 81. *σπαργῶν, in Venerem tumens.* v. Ruhnk. ad Tim. Lex. p. 234. — *οἷός ἐστι*, i. e. *μέλλει, ἐθέλει, eo inclinat, ut, quantum in eo est, morigeretur amatori* etc.

81. *Ἐὰν μὲν δὴ οὖν* — Male in Euseb. omissum *ἀγαγόντα*, quod pertinet ad illa *εἰς τεταγμ.* etc. *Τεταγμένην* autem *δίαιταν modestam* dicit, in qua inest *ἐγκράτεια* et *κόσμος*, cui

σμιοι ὄντες, δουλωσάμενοι μὲν ᾧ κακία ψυχῆς ἐνεγίγνετο, ἐλευθερώσαντες δέ, ᾧ ἀρετή· τελευτήσαντες δὲ δὴ ὑπόπτεροι καὶ ἐλαφροὶ γεγονότες τῶν τριῶν παλαισμάτων τῶν ὡς ἀληθῶς Ὀλυμπιακῶν ἓν νενικήκασιν, οὗ μεῖζον ἀγαθὸν οὔτε σωφροσύνη ἀνθρωπίνη οὔτε θεία μανία δυνατὴ πορίσαι ἀνθρώπῳ. Ἐὰν δὲ δὴ διαίτῃ φορτικωτέρᾳ τε καὶ ἀφιλοσόφῳ, 82. φιλοτίμῳ δὲ χρήσωνται, τάχ' ἄν που ἐν μέθαις ἢ c. τινι ἄλλῃ ἀμελείᾳ τῷ ἀκολάστῳ αὐτοῖν ὑποζυγίῳ λαβόντε τὰς ψυχὰς ἀφρούρους, ξυναγαγόντε εἰς ταὐτὸν, τὴν ὑπὸ τῶν πολλῶν μακαριστὴν αἵρεσιν εἱλέσθην τε καὶ διεπράξαντο· καὶ διαπραξαμένω τολοιπὸν ἤδη χρῶνται μὲν αὐτῇ, σπανίᾳ δὲ, ἅτε οὐ πάσῃ δεδογμένα τῇ διανοίᾳ πράττοντες. Φίλω μὲν οὖν καὶ τούτω, ἧττον δὲ ἐκείνων, ἀλλήλοιν διά τε

---

mox opponitur φορτική. Cf. de rep. VI. p. 500. c. ᾧ — ψυχῆς, *eam animi partem, in qua* etc.

81. τελευτήσαντες δὲ δή — τῶν τριῶν παλαισμάτων. Aeschyl. Eumenid. v. 586. Ἓν μὲν τόδ' ἤδη τῶν τριῶν παλαισμάτων, ubi Schol. ἡ μεταφορά ἐστιν ἀπὸ τῶν παλαιόντων, οἳ ἐπὶ τρισὶ πτώμασιν ὁρίζουσι τὴν ἧτταν. Conf. ibi Stanl. Huschk. Anal. Crit. p. 155. Atque notum est illud τριαχθῆναι de luctatore ter deiecto. Plato de rep. IX. p. 583. b. Ταῦτα μὲν τοίνυν οὕτω δύ' ἐφεξῆς ἂν εἴη καὶ δὶς νενικηκὼς ὁ δίκαιος τὸν ἄδικον· τὸ δὲ τρίτον Ὀλυμπικῶς τῷ σωτῆρί τε καὶ τῷ Ὀλυμπίῳ Διὶ ἄθρει ὅτι οὐδὲ παναληθής ἐστιν ἡ τῶν ἄλλων ἡδονή. Nimirum duo adhuc his animis restant certamina. Nam τρίτῃ περιόδῳ τῇ χιλιετεῖ, ἐὰν ἕλωνται τρὶς ἐφεξῆς τὸν βίον τοῦτον, οὕτω πτερωθεῖσαι τρισχιλιοστῷ ἔτει ἀπέρχονται. §. 61.

§. 82. τὴν ὑπὸ τῶν πολλῶν μακ. — Pro vulg. εἱλέτην sermonis lege ex Euseb. revocavi εἱλέσθην. Id. διεπραξάσθην: sed non est infrequens, dualem et pluralem in eodem orationis membro iungi: v. Hemsterh. ad Aristoph. Plut. p. 32. — διεπράξαντο, *Venerea fruuntur voluptate*: v. ad §. 20. — διά

d. τοῦ ἔρωτος καὶ ἔξω γενομένω διάγουσι, πίστεις τὰς μεγίστας ἡγουμένω ἀλλήλοιν δεδωκέναι τε καὶ δεδέχθαι, ἃς οὐ θεμιτὸν εἶναι λύσαντας εἰς ἔχθραν ποτὲ
83. ἐλθεῖν. Ἐν δὲ τῇ τελευτῇ ἄπτεροι μέν, ὡρμηκότες δὲ πτεροῦσθαι ἐκβαίνουσι τοῦ σώματος, ὥστε οὐ σμικρὸν ἆθλον τῆς ἐρωτικῆς μανίας φέρονται. Εἰς γὰρ σκότον καὶ τὴν ὑπὸ γῆς πορείαν οὐ νόμος ἐστὶν ἔτι ἐλθεῖν τοῖς κατηργμένοις ἤδη τῆς ἐπουρανίου πορείας, ἀλλὰ φανὸν βίον διάγοντας εὐδαιμονεῖν μετ' ἀλλήλων πορευομένους, καὶ ὁμοπτέρους ἔρωτος χά-
e. ριν, ὅταν γένωνται, γενέσθαι. Ταῦτα τοσαῦτα, ὦ παῖ, καὶ θεῖα οὕτω σοι δωρήσεται ἡ παρ' ἐραστοῦ φιλία. Ἡ δὲ ἀπὸ τοῦ μὴ ἐρῶντος οἰκειότης, σωφροσύνῃ θνητῇ κεκραμένη, θνητά τε καὶ φειδωλὰ

τε τοῦ ἔρωτ. Recte Ficin. *tum fervente amore, tum restincto*, ut διὰ βίου, δι' ἔτους: vid. Valcken. ad Herodot. VI, 12. ἀλλήλοιν hoc quoniam pertinet ad φίλω, ab ἐκείνων seiunxi.

§. 83. Εἰς γὰρ σκότον — Hausta haec ex mysteriorum doctrina. Phaedo p. 69. c. Κινδυνεύουσιν οἱ τὰς τελετὰς ἡμῖν καταστήσαντες — πάλαι αἰνίττεσθαι, ὅτι ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς ᾅδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται· ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν οἰκήσει. Atque pertinet huc in primis locus ibid. p. 81. a—d., longior tamen, quam ut exscribi h. l. possit. Pro ἐπουρανίου Euseb. ὑπουρανίου, et Ficin. *iter sub caelis:* vitiose uterque. Referuntur autem haec ad superiora illa §. 61. αἱ δὲ εἰς τοῦ οὐρανοῦ τινα τόπον ὑπὸ τῆς δίκης κομφισθεῖσαι διάγουσιν ἀξίως οὗ ἐν ἀνθρώπου εἰδει ἐβίωσαν βίου. [Codicum tamen fere omnium lectio ὑπουράνιον.] — διάγοντας. Euseb. διαγαγόντας. Perperam. — ὅταν γένωνται. Sic optime Vindob. [et ceteri codd. longe plurimi]. Nam in Euseb. haec ὅταν — γενέσθαι male desunt. Vulgo autem editum γένηται sensu caret. Quippe eiusmodi animos ὁμοπτέρους fieri dicit *quandoque, serius ocius.* Euthyphr. p. 7. d. Ἐχθροὶ ἀλλήλοις γιγνόμεθα, ὅταν

οἰκονομοῦσα, ἀνελευθερίαν ὑπὸ πλήθους ἐπαινουμένην ὡς ἀρετὴν τῇ φίλῃ ψυχῇ ἐντεκοῦσα, ἐννέα χιλιάδας ἐτῶν περὶ γῆν κυλινδουμένην αὐτὴν καὶ ὑπὸ γῆς p. 257. a.
ἄνουν παρέξει. Αὕτη σοι, ὦ φίλε Ἔρως, εἰς ἡμε- 84.
τέραν δύναμιν ὅτι καλλίστη καὶ ἀρίστη δέδοταί τε καὶ ἐκτέτισται παλινῳδία, τά τε ἄλλα καὶ τοῖς ὀνόμασιν ἠναγκασμένη ποιητικοῖς τισι διὰ Φαίδρον εἰρῆσθαι. Ἀλλὰ τῶν προτέρων τε συγγνώμην καὶ τῶνδε χάριν ἔχων εὐμενὴς καὶ ἵλεως τὴν ἐρωτικήν μοι τέχνην ἣν ἔδωκας, μήτε ἀφέλῃ μήτε πηρώσῃς δι' ὀργήν·

γιγνώμεθα. Euthyd. p. 280. b. *Συνωμολογησάμεθα — σοφίας παρούσης, ὅταν παρῇ, μηδὲν προσδεῖσθαι εὐτυχίας.* Phileb. p. 31. b. *διὰ τί πάθος γίγνεσθον, ὁπόταν γίγνησθον.*

83. *περὶ γῆν κυλινδουμένην.* In edd. legitur *περὶ τὴν*, de quo vitio monuerat iam Dorvill. ad Charit. p. 160. Intelligit autem *ψυχὴν φόβῳ τοῦ ἀειδοῦς τε καὶ ἄδου, ὥσπερ λέγεται, περὶ τὰ μνήματά τε καὶ τοὺς τάφους καλινδουμένην, περὶ ἃ δὴ καὶ ὤφθη ἄττα ψυχῶν σκιοειδῆ φαντάσματα* etc., ut ait in Phaedone p. 81. c. Praeclare in eandem sententiam Pindarus ap. Clem. Alex. Strom. IV. p. 640. *Ψυχαὶ δ' ἀσεβέων ὑπουράνιοι γαίᾳ πωτῶνται ἐν ἄλγεσι φονίοις ὑπὸ ζεύγλαις ἀφύκτοις κακῶν· εὐσεβῶν δ' ἐπουράνιοι νάουσαι μολπαῖς μάκαρα μέγαν ἀείδουσ' ἐν ὕμνοις.* Et conf. Cic. Somn. Scip. extr.

§. 84. *τά τε ἄλλα καὶ τοῖς ὀνόμ.* — *τὰ ἄλλα* pro *ἄλλως*, *quod attinet ad ἐνθυμήματα*: conf. §. 22. Absurde Ficin. *poeticis tum verbis, tum figuris.* Verba illa *τῶν προτέρων* etc. hinc sublegit Aristaenet. II, 1. fin. *ἀλλὰ τῶν προτέρων τε συγγνώμην καὶ τῶνδε χάριν ἔχουσα εὐμενὴς τόγε λοιπὸν εἶης τῷ σῷ Χαριδήμῳ.* — *τῶν προτέρων*, *superioris, qua amorem vituperarat, disputationis.* Mox *εὐμενὴς καὶ ἵλεως* sollemnis est dictio de diis *volentibus propitiisque*: de legg. IV. p. 712. b. *Θεὸς δὴ — ἵλεως εὐμενής τε ἡμῖν ἔλθοι.* Xenoph. Cyrop. I, 6, 2. *οἱ θεοὶ ἵλεώ τε καὶ εὐμενεῖς πέμπουσί σε.* Conf. ibid. II, 1, 1. atque ita plurimis locis. — In seqq. *τὴν ἐρωτ. μοι — ἔδωκας* paullo perturbatior est verborum ordo ex Atticorum more satis fre-

δίδου δ' ἔτι μᾶλλον ἢ νῦν παρὰ τοῖς καλοῖς τίμιον
b. εἶναι. Τῷ πρόσθεν δ' εἴ τι λόγῳ σοι ἀπηνὲς εἴπομεν
Φαίδρός τε καὶ ἐγώ, Λυσίαν τὸν τοῦ λόγου πατέρα
αἰτιώμενος παῦε τῶν τοιούτων λόγων, ἐπὶ φιλοσο-
φίαν δὲ, ὥσπερ ὁ ἀδελφὸς αὐτοῦ Πολέμαρχος τε-
τραπται, τρέψον, ἵνα καὶ ὁ ἐραστὴς ὅδε αὐτοῦ μη-
κέτι ἐπαμφοτερίζῃ, καθάπερ νῦν, ἀλλὰ ἁπλῶς πρὸς
Ἔρωτα μετὰ φιλοσόφων λόγων τὸν βίον ποιῆται.

ΦΑΙ. Συνεύχομαι σοι, ὦ Σώκρατες, εἴπερ
85. ἄμεινον ταῦθ' ἡμῖν εἶναι, ταῦτα γίγνεσθαι. Τὸν
c. λόγον δέ σου πάλαι θαυμάσας ἔχω, ὅσῳ καλλίω τοῦ
προτέρου ἀπειργάσω. Ὥστε ὀκνῶ, μή μοι ὁ Λυσίας

---

quente; ne quis corrigendum putet ἣν ἐρωτικήν μοι τέχνην ἔδωκας; quod tamen magis placeret in hac precatione, ceteroquin adeo accurate et concinne elaborata. τὸν τοῦ λόγου πατέρα, *orationis meae auctorem*, velut in Sympos. p. 177. d. Phaedrus dicitur πατὴρ τοῦ λόγου, de quo Plutarch. Plat. Quaest. p. 1000. f. τῶν ἐρωτικῶν λόγων πατέρα Φαῖδρον ἐν Συμποσίῳ προσεῖπεν, εἰσηγητὴν αὐτὸν γενόμενον. Nam de *ipso* libri *scriptore* πατὴρ saepe usurpatur: v. Wernsdorf. ad Himer. Or. XIII. p. 599. — ὁ ἀδελφός. [Codd. pler. sine art. unde Be. ἀδελφός.] *Polemarchus* hic frater Lysiae natu maximus (v. Tayl. vit. Lys. p. 106. ed. Reisk.), *philosophus*. Plutarch. de Esu Carn. II. p. 998. b. ἀπὸ τῶν πρώτων ἀπέκτειναν Ἀθήνησι τὸν κάκιστον τῶν συκοφαντῶν — καὶ δεύτερον ὁμοίως καὶ τρίτον· εἶτα ἐκ τούτου συνήθεις γενόμενοι Νικήρατον εὗρον ἀπολλύμενον τὸν Νικίου, καὶ Θηραμένη τὸν στρατηγὸν, καὶ Πολέμαρχον τὸν φιλόσοφον. — ὁ ἐραστὴς ὅδε, *Phaedrus*, cuius παιδικὰ supra dixerat Lysiam §. 27., ubi vid. not. Ἐπαμφοτερίζειν h. l. dictum de eo, *qui modo huic, modo illi parti favet, atque ita in neutram transit*. Vid. Ruhnk. ad Tim. Lex. p. 108.

§. 85. Τὸν λόγον δέ σου — θαυμάσας ἔχω i. e. ἐθαύμασα. Vid. Toup. Emendatt. in Suid. P. II. p. 188. ed. Lips. et Valcken. ad Herodot. VI, 12. — ἐὰν ἄρα καὶ ἐθελήσῃ *etiamsi aliam*

ταπεινὸς φανῇ, ἐὰν ἄρα καὶ ἐθελήσῃ πρὸς αὐτὸν ἄλλον ἀντιπαρατεῖναι. Καὶ γάρ τις αὐτὸν, ὦ θαυμάσιε, ἔναγχος τῶν πολιτικῶν τοῦτ' αὐτὸ λοιδορῶν ὠνείδιζε, καὶ διὰ πάσης τῆς λοιδορίας ἐκάλει λογογράφον. Τάχα οὖν ἂν ὑπὸ φιλοτιμίας ἐπίσχοι ἡμῖν ἂν τοῦ γράφειν. ΣΩ. Γελοῖόν γ', ὦ νεανία, τὸ δόγμα λέγεις, καὶ τοῦ ἑταίρου συχνὸν διαμαρτάνεις, εἰd. αὐτὸν οὕτως ἡγεῖ τινὰ ψοφοδεᾶ· ἴσως δὲ καὶ τὸν λοιδορούμενον αὐτῷ οἴει νομίζοντα λέγειν ἃ ἔλεγεν. ΦΑΙ. Ἐφαίνετο γὰρ, ὦ Σώκρατες· καὶ σύνοισθά 86.
που καὶ αὐτὸς, ὅτι οἱ μέγιστον δυνάμενοί τε καὶ σεμνότατοι ἐν ταῖς πόλεσιν αἰσχύνονται λόγους τε

---

scribere voluerit orationem, quae tuae huic contendatur. καὶ γάρ τις αὐτὸν — [Ita, relatum ad λοιδορῶν, codd. pro vulg. αὐτῶν, cuius loco Hdf. reposuerat αὐτῷ, rel. ad ὀνειδίζοι.] — λογογράφον. Schol. λογογράφους γὰρ ἐκάλουν οἱ παλαιοὶ τοὺς ἐπὶ μισθῷ λόγους γράφοντας καὶ πιπράσκοντας αὐτοὺς εἰς δικαστήρια, ῥήτορας δὲ τούς δι' ἑαυτῶν λέγοντας. Conf. Cresoll. Theatr. Rhet. III, 2. Sententia autem prorsus simili Demosth. de Fals. Leg. p. 417. ed. Reisk. λογογράφους τοίνυν καὶ σοφιστὰς ἀποκαλῶν τοὺς ἄλλους καὶ ὑβρίζειν πειρώμενος.

85. καὶ τοῦ ἑταίρου — διαμαρτάνεις. *Amici mores animumque prorsus ignoras.* de rep. I. p. 334. d. πολλοῖς ἄρα — ξυμβήσεται, ὅσοι διημαρτήκασι τῶν ἀνθρώπων, δίκαιον εἶναι, τοὺς μὲν φίλους βλάπτειν — τοὺς δὲ ἐχθροὺς ὠφελεῖν. Deinde νομίζοντα illud recte expressit Cornar. *fortassis autem et conviciatorem putas ex animo dixisse ea, quae dixit;* qui tamen usus τοῦ νομίζων ita simpliciter usurpati non est quotidianus.

§. 86. καὶ σύνοισθά που. Malebam olim σύγ' οἶσθα. Xenoph. Cyrop. III, 1, 24. Καὶ σύγε, ἔφη, οἶσθα, ὅτι ἀληθῆ λέγω. Sed idem hoc, q. d. σύνοισθα τοῖς μέγιστον δυναμένοις — αἰσχυνομένοις λόγους γράφειν, ut Phaedo. p. 92. d. Ἐγὼ δὲ τοῖς διὰ τῶν εἰκότων τὰς ἀποδείξεις ποιουμένοις λόγοις ξύνοιδα οὐσιν ἀλαζόσιν.

γράφειν καὶ καταλείπειν συγγράμματα ἑαυτῶν, δόξαν φοβούμενοι τοῦ ἔπειτα χρόνου, μὴ σοφισταὶ καλῶνται. ΣΩ. Γλυκὺς ἀγκών, ὦ Φαῖδρε, λέληθέ σε, ὅτι ἀπὸ τοῦ μακροῦ ἀγκῶνος τοῦ κατὰ Νεῖλον ἐκλήe. θη, καὶ πρὸς τῷ ἀγκῶνι λανθάνει σε, ὅτι οἱ μέγιστον φρονοῦντες τῶν πολιτικῶν μάλιστα ἐρῶσι λογο-

---

86. *Γλυκὺς ἀγκών* — Locum hunc quanquam neque ego intelligo, neque quisquam unus hodie satis intellexerit, tamen potest eluenda foeda macula in pristinum restitui nitorem. Hoc *γλυκὺς ἀγκών* unde ductum sit quamque habeat vim, ne veteribus quidem Grammaticis compertum fuit. Vid. Dorvill. Vann. Crit. p. 492. Quippe Athenaeus XII, 3. et 10. narrat, Lydos, vitae mollitia diffluentes, alienas uxores virginesque in locum quendam, ob id *ἀγνεῶνα* vocatum, conductas vitiasse. Unam autem Omphalen, quum ad regnum esset evecta, ut iniuriam hanc ulcisceretur, in illo ipso loco dominorum filias cum servis inclusisse. Cuius rei indignitatem ut verbi lenitate mollirent Lydi, (*τὸ πικρὸν τῆς πράξεως ὑποκοριζόμενοι*) locum hunc eos appellare *γυναικῶν ἀγῶνα*, *γλυκὺν ἀγκῶνα*. Eustath. ad Iliad. π, p. 1082. *εἷς μὲν ὡς ἐῤῥέθη οὗτος λόγος·* (quem modo ex Athenaeo attulimus:) *ἕτερος δὲ τοιοῦτος· Λυδοὶ πόῤῥω προάγοντες ὕβρεως, τὰς τῶν ἄλλων γυναῖκας καὶ παρθένους εἰς τόπον συνάγοντες, ὃν αὐτοὶ ἀγνεῶνα ἐκάλουν, ὕβριζον εἰς αὐτάς. Καὶ ἦν μὲν φαυλότης τοῦ ἔργου ἴση τοῖς ἐπὶ τῇ Ὀμφάλῃ, ἡ δὲ τοῦ τόπου κλῆσις διέφερεν. Οὐ γὰρ ἀγών, ἢ ἀγκών, ἀλλὰ ἀγνεὼν ἐκαλεῖτο παικτικῶς καὶ αὐτὸς ἀντιφραζόμενος. Ἀληθῶς γὰρ ἄναγνος ἦν. Αἱ δὲ ἱστορίαι αὗται Ξάνθου εἰσὶ τοῦ Λυδοῦ, ὡς φησιν Ἀθήναιος.* Ex his satis intelligi puto, primum, ne de verbo quidem *ἀγκών* inter veteres constitisse, ut qui inter *ἀγῶνα* et *ἀγκῶνα* et *ἀγνεῶνα* fluctuarint, id quod monuit etiam Dorvill. l. l.; deinde Athenaeum in proverbio hoc *ὑποκορισμὸν* quendam agnovisse. Et quae hic in Platone leguntur *ὅτι ἀπὸ τοῦ — ἐκλήθη*, similiter eius originem a re tristi, leni nomine mitigata, ductam declarant. Schol. Plat. Ruhnken. p. 63. *Γλυκὺς ἀγκών, ἐπὶ τῶν κατειρωνευομένων. Τόπος δέ ἐστιν ἐν τῇ Μεμφίδι Ἀγκὼν προσαγορευόμενος ἀπὸ τῶν πλεόντων κατ' ἀντίφρασιν, ἴσως διὰ*

γραφίας τε καὶ καταλείψεως συγγραμμάτων· οἵ γε καὶ ἐπειδάν τινα γράφωσι λόγον, οὕτως ἀγαπῶσι τοὺς ἐπαινέτας, ὥστε προσπαραγράφουσι πρώτους, οἳ ἂν ἑκασταχοῦ ἐπαινῶσιν αὐτούς. ΦΑΙ. Πῶς λέ- 87.
γεις τοῦτο; Οὐ γὰρ μανθάνω. ΣΩ. Οὐ μανθά-

τὸ δυσχερές. (Conf. Eustath. ad Il. κ. p. 791. qui iisdem fere allatis subiicit ὥστε τὸ Γλυκὺς ἀγκὼν παροιμιωδῶς μοχθηρίαν τόπου ὑποδηλοῖ. Zenob. II, 92. Hesych. I. p. 839.) Sed his addit Schol. ἔνιοι δὲ τάττουσιν αὐτὴν ἐπὶ τῶν εὐθυμούντων, παρ' ὅσον τὸν ἀγκῶνα οἱ εὐφραινόμενοι τιθέασι. Ad triplicem igitur hanc explicandi rationem quarta accedat Suidae, prioribus prorsus contraria. Γλυκὺς ἀγκών. οὐ κατ' ἐναντίωσιν ἡ παροιμία, ἀλλὰ βουλόμενος εἰπεῖν, ὦ γλυκέα ἤθη. Ἔστι δὲ παροιμία ὡς ἐπιφωνούμενον. Οὕτως ἐχρήσατο Πλάτων ὁ Κωμικὸς ἐν τῷ Φάωνι. Γέρων δ' αὐτῷ ὑπόκειται ἐρῶν αὐλητρίδος. Ὦ χρυσοῦν ἀνάθημα· ὦ τοῖσιν ἐμοῖς τροφεροῖσι τρόποις· ὦ γλυκὺς ἀγκών. ὡς εἴ τις λέγοι, ὦ γλυκὺς πῆχυς. Vellem haec emendasset nobis veterum ille fragmentorum sospitator Toupius. Ipsa autem haec enarratio, ex eiusmodi ducta loco, ubi verba ὦ γλυκὺς ἀγκὼν proprie sunt adhibita, non per proverbium, nihil hic habet auctoritatis, nisi quod haec quoque veterum in hoc adagio dubitationem vel potius ignorantiam testatur. Nimirum liquet, opinor, ex his Platonis verbis, proverbium hoc non fuisse simpliciter Γλυκὺς ἀγκών, sed potius Γλυκὺς ἀγκὼν λέληθέ σε· alioquin molesta esset et inepta prorsus verbi iteratio in his καὶ πρὸς τῷ ἀγκῶνι λανθάνει σε. Deinde proverbium hoc utcunque interpretabere, verba haec ὅτι ἀπὸ τοῦ μακροῦ ἀγκῶνος τοῦ κατὰ Νεῖλον ἐκλήθη, Grammatici esse possunt, Platonis esse non possunt. Quid? repentene Grammaticum hic agere Platonem putabimus? An proverbii explicationem ipsam proverbialiter adhiberi potuisse, prorsus ut si quis, adagium illud *Est acerba* adhibiturus, ita diceret: ignoras, amice, illud, *Est acerba*, profectum esse a vulpecula illa, uvas non tangente? Etiam ipsa haec particula ὅτι, Glossatoribus familiaris, fraudem arguit, adeo utique manifestam, ut verbum addere pigeat. Iam de ipsa Platonis sententia, hariolandum in his tenebris. An probabile est, talem fere sententiam in his latere: *ignoras, quam*

p. 258. a. νεις, ὅτι ἐν ἀρχῇ ἀνδρὸς πολιτικοῦ συγγράμματι πρῶτος ὁ ἐπαινέτης γέγραπται; ΦΑΙ. Πῶς; ΣΩ. Ἔδοξέ πού φησιν αὐτὸ τὸ συγγραμμα τῇ βουλῇ ἢ τῷ δήμῳ ἢ ἀμφοτέροις, καὶ ὃς εἶπεν, τὸν ἑαυτὸν δὴ λέγων μάλα σεμνῶς καὶ ἐγκωμιάζων ὁ συγγραφεύς. Ἔπειτα λέγει δὴ μετὰ τοῦτο ἐπιδεικνύμενος τοῖς

---

lubricus hic sit et periculosus locus, s. quam facile quis dulcedine rei captus in fraudem inducatur, ut scriptoris laudem appetat scribendi facultate destitutus (du weifst nicht, wie verführerisch die Sache ist.)? Cui interpretationi addit fortasse verisimilitudinem quandam illa Athenaei Scholiastaeque enarratio. Quanquam, qui omnium aptissimus h. l. sit sensus, lectoribus existimandum relinquimus.

§. 87. *συγγράμματι* [Sic Be. e pl. et opt. pro vulg. *συγγράμματος*. Junge: *τῷ συγγράμματι ὁ ἐπαινέτης ἐν ἀρχῇ γέγραπται.*] Ἔδοξέ πού φησιν — Particula *που* quum non soleat adiungi verbo ἔδοξε in huiusmodi formula, non alium eius usum h. l. esse putat Steph., quam si verbo *φησὶ* subiuncta esset. Ego nusquam ita encliticam hanc voculam anteponi puto; et, si esset subiecta verbo *φησὶ*, ne sic quidem commode in his verbis illata videretur. [Immo vocula haec hic ut alibi assensum poscit colloquentis (vid. Ind. ad Plat. Meno. in v.): et hic quidem affirmare debet Phaedrus hoc, solere formulam illam in exordio decretorum poni. Recte itaque ipsis formulae primis verbis inseritur. Neque diu hoc latuit Heindorfium, qui in margine hic excitavit locum de legg. III. p. 681. ubi verba Homeri recitantur ita: *Κτίσσε δὲ Δαρδανίην γάρ πού φησιν, ἐπεὶ οὔπω Ἴλιος ἱρὴ κ. τ. λ. Buttm.*] Quanquam id levius est: videndum de ipso sensu, paullulum obscuriore neque a Stephano satis intellecto, qui male verba *φησὶν αὐτὸ τὸ σύγγραμμα* inclusit parentheseos notis, quod videretur verbum *φησὶν* illa *αὐτὸ τὸ σύγγραμμα* pro nominativo suo habere; quae ratio et sententiam et structuram ipsam prorsus perturbat. Immo *φησὶν* hoc pertinet liquido ad illud post illatum *ὁ συγγραφεὺς*, atque *αὐτὸ τὸ σύγγραμμα* ad praegressum *ἔδοξεν*, recteque vertit Ficinus: *Probatum est, inquit, scriptum senatui* etc. Apparet enim, agi h. l. de lege, a

ἐπαινέταις τὴν ἑαυτοῦ σοφίαν, ἐνίοτε πάνυ μακρὸν ποιησάμενος σύγγραμμα. Ἦ σοι ἄλλο τι φαίνεται τὸ τοιοῦτον ἢ λόγος συγγεγραμμένος; ΦΑΙ. Οὐκ

---

politico scripta, quam σύγγραμμα hic dicit Plato ipsumque scriptorem συγγραφέα, velut infra §. 144. ὅστις ἐν πολιτικοῖς λόγοις νόμους ὀνομάζων συγγράμματα ἔγραψεν. Igitur quum sollemne legum initium eiusmodi esset Ἔδοξε τῇ βουλῇ s. ἔδοξε τῷ δήμῳ, s. ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ (vid. not. Steph. ad h. l. to. 3. p. 63.), Plato illud ἔδοξε aliter longe, quam vulgo acciperetur, neque sine calumnia quadam interpretatus, interpretamenti loco addere debebat αὐτὸ τὸ σύγγραμμα. [Quae tria tamen verba cum non compareant neque in Clark. aliisque praestantioribus, neque in codd. Hermiae, abiecerunt Be. et Schlei. Ceterum non calumnia quadam interpretatus, est verbum ἔδοξε Plato, sed laudationem τοῦ συγγράμματος, h. e. legis, non in significatione quadam verbi ἔδοξεν insolita, sed in eo ipso ponit, quod primo loco *Visum est senatui, populo*, dicit auctor, et tum statim subiungit, ὁ δεῖνα εἶπεν: quod perinde est ac si dicat, *Quae ὁ δεῖνα dixit s. scripsit, ea comprobavit s. laudavit senatus etc. Buttm.*] Deinde in verbis ὃς εἶπεν pronomen ὃς accipiendum haud dubie ex pervulgato illo usu pro οὗτος s. ἐκεῖνος, *hic vel ille*. Quippe quum in legum formula post verba Ἔδοξε τῷ δήμῳ s. τῇ βουλῇ, eius, qui legem tulerat, nomen inferri soleret diserte, ut est in exemplo a Stephano laudato Andocidis de Myster p. 11. ed. Steph. Ἔδοξε τῷ δήμῳ, Τισαμενὸς εἶπε, πολιτεύεσθαι Ἀθηναίους κατὰ τὰ πάτρια etc.: Platoni, in universum h. l. de quovis legum latore loquenti, utendum erat pronomine hoc indefinito. Haec igitur ex mente legislatoris dicta Ἔδοξεν αὐτὸ τὸ σύγγραμμα τῇ βουλῇ ἢ τῷ δήμῳ ἢ ἀμφοτέροις καὶ ὃς εἶπεν· cetera interpretando addidit Plato. In quibus haec τὸν ἑαυτὸν nollem tentata a Stephano, qui articulo offensus correxit αὐτὸς ἑαυτόν. Plat. Sophist. p. 239. a. Τὸν μὲν τοίνυν ἔμεγε ἔτι (an del. ἔτι?) τί τις ἂν λέγοι; ubi vid. not. Phileb. p. 20. b. δεινὸν μὲν τοίνυν ἔτι προσδοκᾶν οὐδὲν δεῖ τὸν ἐμὲ, ἐπειδὴ τοῦθ' οὕτως εἶπες. et ib. p. 59. b. Lucian. Hermotim. 15. καὶ μή μοι τὸν νῦν δὴ τοῦτον σεαυτὸν ἐννόει — ἀλλ' οὕτως ἀπόκριναι, ὁποῖος τότε ἦσθα ἰδιώτης, καὶ κατὰ τὸν

88. b. ἔμοιγε. ΣΩ. Οὐκοῦν ἐὰν μὲν οὗτος ἐμμένῃ, γεγηθὼς ἀπέρχεται ἐκ τοῦ θεάτρου ὁ ποιητής· ἐὰν δὲ ἐξαλειφθῇ, καὶ ἄμοιρος γένηται λογογραφίας τε καὶ τοῦ ἄξιος εἶναι συγγράφειν, πενθεῖ αὐτός τε καὶ οἱ ἑταῖροι; ΦΑΙ. Καὶ μάλα. ΣΩ. Δῆλόν γε ὅτι οὐχ ὡς ὑπερφρονοῦντες τοῦ ἐπιτηδεύματος, ἀλλ' ὡς τε-

---

νῦν ἐμέ. Quibus locis articulus pronomini additur non sine vi quadam, ut nostro etiam δὴ hoc ironice adiectum declarat. Hic est igitur verborum ordo: *Ἔδοξέ που αὐτὸ τὸ σύγγραμμα τῇ βουλῇ ἢ τῷ δήμῳ ἢ ἀμφοτέροις, καὶ ὃς εἶπε, φησὶ (τὸν ἑαυτὸν δὴ λέγων) ὁ συγγραφεύς.*

§. 88. *Οὐκοῦν ἐὰν μὲν οὗτος* — Schol. Plat. p. 63. *ἐμμένῃ, τουτέστι, δεχθῇ καὶ μὴ ἐκβληθῇ ὁ λόγος.* Recte, quod *οὗτος* traxit ad praegressum *λόγος*, quo itidem in seqq. trahenda verba *ἐὰν δὲ ἐξαλειφθῇ* [*ἐξαλιφῇ*, novam formam, e Clark. Vat. 1. Ven. *II*, et Par. G reposuit Be.]. Lycurg. in Leocr. p. 184. ed. Reisk. *Εἴ τις ἕνα νόμον εἰς τὸ Μητρῷον ἐλθὼν ἐξαλείψειεν.* Sed ita statim in additis verbis *καὶ ἄμοιρος γένηται* etc. mutatur nominativus, duriter, opinor, adiectumque mallem certe *ἐκεῖνος* ante *λογογραφίας*. Illa autem *γεγηθὼς — ὁ ποιητὴς* Dorvill. ad Charit. p. 289. sic vertit: *excedit ex theatro auctor, suasor, lator legis;* nam *ποιητὴν* usurpari solere de cuiusvis rei, non modo carminis, auctore; Athenis autem etiam in theatro conciones saepe habitas. Enimvero *ποιητὴς*, illo modo adhibitum, solet genitivum adiunctum habere; neque sane status fuit et perpetuus mos Athenis conciones in theatro habendi; ut in illa Dorvillii interpretatione non videam, cur non potius in universum scripserit Plato *ἐκ τῆς ἐκκλησίας*. Sunt haec *γεγηθὼς ἀπέρχεται ἐκ τοῦ θεάτρου ὁ ποιητὴς* haud dubie per translationem quandam dicta, coartataque est more antiquorum non raro oratio in hanc sententiam: *γεγηθὼς ἀπέρχεται ὁ συγγραφεὺς ἐκ τῆς ἐκκλησίας, ὥσπερ ποιητὴς ἐκ τοῦ θεάτρου*, prorsus ut vertit Serranus, Dorvillio male h. l. castigatus: *nonne laetitia gestiens ita discedit ex concione, ut poeta ex theatro.* Geminus his est Platonis locus Critia p. 108. b., ab ipso ibi Dorvillio laudatus, ubi Socrates *προλέγω γε μὴν*, inquit, *ὦ φίλε Κριτία,*

θαυμακότες. ΦΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Τί δέ; ὅταν ἱκανὸς γένηται ῥήτωρ ἢ βασιλεὺς, ὥστε λαβὼν τὴν Λυκούργου ἢ Σόλωνος ἢ Δαρείου δύναμιν ἀθά- c.
νατος γενέσθαι λογογράφος ἐν πόλει, ἆρ' οὐκ ἰσόθεον ἡγεῖται αὐτός τε αὑτὸν ἔτι ζῶν, καὶ οἱ ἔπειτα γιγνόμενοι ταυτὰ ταῦτα περὶ αὐτοῦ νομίζουσι, θεώμενοι αὐτοῦ τὰ συγγράμματα; ΦΑΙ. Καὶ μάλα. ΣΩ. Οἴει τινὰ οὖν τῶν τοιούτων, ὅστις καὶ ὁπωσ- 89.
τιοῦν δύσνους Λυσίᾳ ὀνειδίζειν αὐτὸ τοῦτο ὅτι συγγράφει; ΦΑΙ. Οὔκουν εἰκός γε, ἐξ ὧν σὺ λέγεις. Καὶ γὰρ ἂν τῇ ἑαυτοῦ ἐπιθυμίᾳ, ὡς ἔοικεν, ὀνει-

---

σοὶ τὴν τοῦ θεάτρου διάνοιαν, ὅτι θαυμαστῶς ὁ πρότερος εὐδοκίμησεν ἐν αὐτῷ ποιητής.

88. *Τί δέ; ὅταν ἱκανὸς* — Bene Cornar.: *Quid vero, quum orator aut rex ita praestans sit, ut, accepta Lycurgi aut Solonis aut Darii potestate, immortalis scriptor in civitate fiat* etc. Videlicet verba sic ordinanda: *ὅταν ῥήτωρ (τις) ἢ βασιλεὺς ἱκανὸς γένηται, ὥστε* etc., in quibus illud *ὥστε* abesse poterat sensu salvo. Sic Protag. p. 338. c. *τῇ μὲν ἀληθείᾳ, ὡς ἐγῷμαι ἀδύνατον ἡμῖν ὥστε Πρωταγόρου τοῦδε σοφώτερόν τινα ἐλέσθαι.* Polit. p. 295. a. *πῶς γὰρ ἄν τις ἱκανὸς γένοιτ' ἄν ποτε ὥστε ἀεὶ διὰ βίου — προστάττειν τὸ προσῆκον;* Xenoph. Mem. I, 3, 6. *Εἴ ποτε κληθεὶς ἐθελήσειεν ἐπὶ δεῖπνον ἐλθεῖν, ὃ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν ὥστε φυλάξασθαι τὸ ὑπὲρ τὸν καιρὸν ἐμπίπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο.* Eurip. Hipp. 1327. *Κύπρις γὰρ ἤθελ' ὥστε γίγνεσθαι τάδε,* ubi vid. Valck. Arist. Nub. 379. *Ὁ δ' ἀναγκάζων ἐστὶ τίς αὐτὰς, οὐχ ὁ Ζεὺς, ὥστε φέρεσθαι; ἦ Δαρείου δύναμιν.* de legg. III. p. 695. c. *Δαρεῖος γὰρ βασιλέως οὐκ ἦν υἱὸς, παιδείᾳ τε οὐ διατρυφώσῃ τεθραμμένος· ἐλθὼν δὲ εἰς τὴν ἀρχὴν καὶ λαβὼν αὐτὴν ἕβδομος, διείλετο ἑπτὰ μέρη τεμόμενος — καὶ νόμους ἠξίου θέμενος οἰκεῖν, ἰσότητά τινα κοινὴν εἰσφέρων* etc. Cf. Epist. 7. p. 332. a.

§. 89. *Οἴει τινὰ οὖν — συγγράφει;* Perperam in his vulgo post *Λυσίᾳ* interpungitur *ὅστις καὶ ὁπωστιοῦν δύσνους Λυσίᾳ,*

d. δίζοι. ΣΩ. Τοῦτο μὲν ἄρα παντὶ δῆλον, ὅτι οὐκ αἰσχρὸν αὐτό γε τὸ γράφειν λόγους. ΦΑΙ. Τί γάρ; ΣΩ. Ἀλλ' ἐκεῖνο οἶμαι αἰσχρὸν ἤδη, τὸ μὴ καλῶς λέγειν τε καὶ γράφειν, ἀλλ' αἰσχρῶς τε καὶ κακῶς. ΦΑΙ. Δῆλον δή. ΣΩ. Τίς οὖν ὁ τρόπος τοῦ καλῶς τε καὶ μὴ γράφειν; Δεόμεθά τι, ὦ Φαῖδρε, Λυσίαν τε περὶ τούτων ἐξετάσαι καὶ ἄλλον ὅστις πώποτέ τι γέγραφεν ἢ γράψει, εἴτε πολιτικὸν συγγραμμα εἴτε ἰδιωτικὸν, ἐν μέτρῳ ὡς ποιητὴς, ἢ ἄνευ μέτρου ὡς ἰδιώτης; ΦΑΙ. Ἐρωτᾷς εἰ δεόμεθα; Τί-
e. νος μὲν οὖν ἕνεκα κἄν τις, ὡς εἰπεῖν, ζῴη, ἀλλ' ἢ τῶν τοιούτων ἡδονῶν ἕνεκα; οὐ γάρ που ἐκείνων γε ὧν προλυπηθῆναι δεῖ ἢ μηδὲ ἡσθῆναι, ὃ δὴ ὀλίγου πᾶσαι αἱ περὶ τὸ σῶμα ἡδοναὶ ἔχουσι· διὸ καὶ δι-

---

ὀνειδίζειν αὐτὸ τοῦτο, in quibus ὀνειδίζειν dativo suo caret. Αὐτὸ τοῦτο est *hoc unum*, αὐτό γε τὸ γράφειν, et Λυσίᾳ ad utrumque pertinet, et ad δύσνους, et ad ὀνειδίζειν. Τίς οὖν ὁ τρόπος — γράφειν; Haec, Phaedro in vulgatis adscripta, non dubitavi cum Ficino Socrati tribuere. Nam per totum hunc sermonem Socrates disputandi tenorem deducit, Phaedri non aliae sunt partes, nisi docilis auditoris. Hac autem quaestione Τίς οὖν ὁ τρόπος etc. altera dialogi huius pars priori adiungitur, eandemque iterum post proponit Socrates quaestionem, non Phaedrus, §. 92. Οὐκοῦν ὅπερ νῦν προὐθέμεθα σκέψασθαι, τὸν λόγον ὅπῃ καλῶς ἔχει λέγειν τε καὶ γράφειν καὶ ὅπῃ μή, σκεπτέον. — Δεόμεθά τι. [Sic codd. Vulgo Δ. τοι, interrogandi tenori non accommodatum.] Λυσίαν — ἐξετάσαι, i. e. *Lysiae ceterorumque scripta examinare, in iisque velut in exemplis quibusdam rem considerare.* Ἰδιώτης oppositum ποιητῇ pervulgati est usus. De legg. X. p. 890. a. ταῦτ' ἐστὶν — ἅπαντα ἀνδρῶν σοφῶν — ἰδιωτῶν τε καὶ ποιητῶν. Ruhnk. ad Longin. p. 258.

89. Ἐρωτᾷς εἰ δεόμεθα; — Stob. ὅτι ὀλίγου pro ὃ δὴ ὀλίγου —. ἀνδραποδώδεις — Plat. Epist. VII. p. 335. a. ὁ φι-

καίως ἀνδραποδώδεις κέκληνται. ΣΩ. Σχολὴ μὲν 90.
δή, ὡς ἔοικε. Καὶ ἅμα μοι δοκοῦσιν, ὡς ἐν τῷ πνί-
γει, ὑπὲρ κεφαλῆς ἡμῖν οἱ τέττιγες ᾄδοντες καὶ ἀλ-
λήλοις διαλεγόμενοι καθορᾶν καὶ ἡμᾶς. Εἰ οὖν p. 259.
ἴδοιεν καὶ νῶ καθάπερ τοὺς πολλοὺς ἐν μεσημβρίᾳ a.
μὴ διαλεγομένους, ἀλλὰ νυστάζοντας καὶ κηλουμέ-
νους ὑφ' αὑτῶν δι' ἀργίαν τῆς διανοίας, δικαίως ἂν
καταγελῷεν, ἡγούμενοι ἀνδράποδ' ἄττα σφίσιν ἐλ-
θόντα εἰς τὸ καταγώγιον ὥσπερ προβάτια μεσημβρι-
άζοντα περὶ τὴν κρήνην εὕδειν. Ἐὰν δὲ ὁρῶσι δια- b.
λεγομένους καὶ παραπλέοντας σφᾶς, ὥσπερ Σειρῆ-
νας, ἀκηλήτους, ὃ γέρας παρὰ θεῶν ἔχουσι ἀνθρώ-
ποις διδόναι, τάχ' ἂν δοῖεν ἀγασθέντες. ΦΑΙ.

λοχρήματος πένης τε ἀνὴρ — πανταχόθεν ἀναιδῶς ἁρπάζει πᾶν ὅ,τι περ ἂν οἴηται, καθάπερ θηρίον, φαγεῖν ἢ πιεῖν, ἢ περὶ τὴν ἀνδραποδώδη καὶ ἀχάριστον, ἀφροδίσιον λεγομένην οὐκ ὀρθῶς, ἡδονὴν ἐκπορισεῖν αὐτῷ. Aristot. Eth. III, 10, 24. *Περὶ τὰς τοιαύτας δὴ ἡδονὰς ἡ σωφροσύνη καὶ ἡ ἀκολασία ἐστὶν, ὧν καὶ τὰ λοιπὰ ζῶα κοινωνεῖ, ὅθεν ἀνδραποδώδεις καὶ θηριώδεις φαίνονται. Αὗται δ' εἰσὶν ἁφὴ καὶ γεῦσις.* Opponuntur his *αἱ ἡδοναὶ αἱ ἐλευθέριαι λεγόμεναι, quibus oculi auresque delectantur.* V. Plutarch. Symp. p. 706. b. Verum ipsis his Phaedri verbis Ἐρωτᾷς — — *κέκληνται* ex meo quidem sensu nihil hic inferri poterat languidius et ieiunius, nihil Phaedri persona dialogique tenore alienius, nihil denique magis ἀπροσδιόνυσον. Quae si sunt Platonis, nam fraudis equidem ne minimum quidem vestigium deprehendo, dormitasse hic putandus est unus omnium optimus scriptor.

§. 90. *ὡς ἐν τῷ πνίγει, ut solent in calore.* Cf. Aristoph. Ran. 1095. — *ὑπὲρ κεφαλῆς ἡμῖν.* Stob. Serm. XXIX. p. 290. *ἡμῶν.* Sed vid. ad Charmid. §. 12. [Hic tamen *ἡμῖν* hoc, in uno Par. E inventum, apud Be. cessit ceterorum omnium scripturae *ἡμῶν*: quamvis me judice dativus longe sit aptior formulae *ὑπὲρ κεφαλῆς.* Idem mox auctoritate Clarkiani et

Ἔχουσι δὲ δὴ τί τοῦτο; Ἀνήκοος γάρ, ὡς ἔοικε, τυγχάνω ὤν. ΣΩ. Οὐ μὲν δὴ πρέπει γε φιλόμουσον ἄνδρα τῶν τοιούτων ἀνήκοον εἶναι. Λέγεται δ', ὥς ποτ' ἦσαν οὗτοι ἄνθρωποι τῶν πρὶν Μούσας γεγονέναι. Γενομένων δὲ Μουσῶν καὶ φανείσης ᾠδῆς, οὕτως ἄρα τινὲς τῶν τότε ἐξεπλάγησαν ὑφ' ἡδονῆς, c. ὥστε ᾄδοντες ἠμέλησαν σίτων τε καὶ ποτῶν καὶ ἔλα- 91. θον τελευτήσαντες αὐτούς. Ἐξ ὧν τὸ τεττίγων γένος μετ' ἐκεῖνο φύεται, γέρας τοῦτο παρὰ Μουσῶν λαβόν, μηδὲν τροφῆς δεῖσθαι γενόμενον, ἀλλ' ἄσιτόν τε καὶ ἄποτον εὐθὺς ᾄδειν, ἕως ἂν τελευτήσῃ, καὶ μετὰ ταῦτα ἐλθὸν παρὰ Μούσας ἀπαγγέλλειν, τίς τίνα αὐτῶν τιμᾷ τῶν ἐνθάδε. Τερψιχόρᾳ μὲν οὖν τοὺς ἐν τοῖς χοροῖς τετιμηκότας αὐτὴν ἀπαγγέλλοντες ποιοῦσι προσφιλεστέρους, τῇ δὲ Ἐρατοῖ τοὺς d. ἐν τοῖς ἐρωτικοῖς, καὶ ταῖς ἄλλαις οὕτω κατὰ τὸ εἶδος ἑκάστης τιμῆς. Τῇ δὲ πρεσβυτάτῃ Καλλιόπῃ καὶ τῇ μετ' αὐτὴν Οὐρανίᾳ τοὺς ἐν φιλοσοφίᾳ διάγοντάς

---

sociorum ejecit voces *καὶ ἡμᾶς*. Buttm.] *Λέγεται δ', ὡς ποτ' ἦσαν* — Malim *Λέγεται δή*. Fabellam hanc elegantissimam, a Platone haud dubie fictam, sumpsit hinc Himer. Eclog. X. p. 178. Vid. ibi et ad Eclog. XII. p. 199. Wernsdorf. — *τῶν πρὶν Μούσας γεγ.* i. e. *τινὲς τῶν ὄντων πρὶν* —. Protag. p. 324. c. *καὶ Ἀθηναῖοί εἰσι τῶν ἡγουμένων*. de rep. II. p. 360. a *εὐθὺς διαπράξασθαι τῶν ἀγγέλων γενέσθαι τῶν περὶ τὸν βασιλέα*. Quanquam talia nota esse debent Platonis lectoribus.

§. 91. *μετ' ἐκεῖνο*. Stob. *ἐκείνων*. Male. — *γενόμενον* i. e. *εὐθὺς γενόμενον, statim ut natum est. Rore* autem *viventes cicadae* ubivis sunt obviae. Vid. intpp. ad Virgil. Eclog. V, 77. Mox Stob. *ἀπαγγέλλει*. [*Τερψιχόρᾳ*. Atticam hanc huius nominis formam (v. Choerob. in Bekk. Anecd.

τε καὶ τιμῶντας τὴν ἐκείνων μουσικὴν ἀγγέλλουσιν, αἳ δὴ μάλιστα τῶν Μουσῶν περί τε οὐρανὸν καὶ λόγους οὖσαι θείους τε καὶ ἀνθρωπίνους ἴασι καλλίστην φωνήν. Πολλῶν δὴ οὕνεκεν λεκτέον τι καὶ οὐ καθευδητέον ἐν τῇ μεσημβρίᾳ. ΦΑΙ. Λεκτέον γὰρ οὖν. ΣΩ. Οὐκοῦν, ὅπερ νῦν προὐθέμεθα σκέψασθαι, τὸν λόγον ὅπῃ καλῶς ἔχει λέγειν τε καὶ γράφειν καὶ ὅπῃ μή, σκεπτέον. ΦΑΙ. Δῆλον. ΣΩ. Ἆρ' οὖν οὐχ ὑπάρχειν δεῖ τοῖς εὖ γε καὶ καλῶς ῥηθησομένοις τὴν τοῦ λέγοντος διάνοιαν εἰδυῖαν τἀληθὲς ὧν ἂν ἐρεῖν πέρι μέλλῃ; ΦΑΙ. Οὑτωσὶ περὶ τούτου ἀκήκοα, ὦ φίλε Σώκρατες, οὐκ εἶναι ἀνάγκην τῷ μέλλοντι ῥήτορι ἔσεσθαι τὰ τῷ ὄντι δίκαια μανθάνειν, ἀλλὰ τὰ δόξαντα ἂν πλήθει οἵπερ δικάσουσιν, οὐδὲ τὰ ὄντως ἀγαθὰ ἢ καλά, ἀλλ' ὅσα δόξει· ἐκ γὰρ τούτων εἶναι τὸ πείθειν, ἀλλ' οὐκ ἐκ τῆς ἀληθείας. ΣΩ. Οὕτοι ἀπόβλητον ἔπος εἶναι δεῖ, ὦ Φαῖδρε,

e. 92. p. 260. a.

---

p. 1173.) pro vulg. —ῃ ex opt. et plur. reposuit Be.] Illa *αἳ δὴ μάλιστα — φωνὴν* quanquam nexa sunt praegressis paullo negligentius, Platonis tamen sunt sine ulla dubitatione. Nimirum ut ante ex Terpsichorae et Eratus appellatione utriusque huius munus interpretatus est, ita hic Calliopae etiam et Uraniae potestatem ex earum ducit nominibus. In quo illa *ἴασι καλλ. φωνήν* ad Calliopam referenda patet. Respexit autem h. l. Plutarch. Amator. p. 746., de variis ibi loquens Musarum muneribus. Paullo post vulgo ita distinguunt: *Οὐκοῦν, ὅπερ νῦν προὐθέμεθα, σκέψασθαι τὸν λόγον.*

§. 92. *Ἆρ' οὖν οὐχ ὑπάρχειν* — Cic. de Orat. I, 6. *Ex rerum cognitione efflorescat et redundet oportet oratio: quae, nisi subest res ab oratore percepta et cognita, inanem quandam habet elocutionem et paene puerilem.* *Οὕτοι ἀπόβλητον* — Manifestam haec habent Homerici illius versus ad-

ὃ ἂν εἴπωσι σοφοὶ, ἀλλὰ σκοπεῖν, μή τι λέγωσι.
93. Καὶ δὴ καὶ τὸ νῦν λεχθὲν οὐκ ἀφετέον. ΦΑΙ. Ὀρθῶς λέγεις. ΣΩ. Ὧδε δὴ σκοπῶμεν αὐτό. ΦΑΙ. Πῶς; ΣΩ. Εἴ σε πείθοιμι ἐγὼ τοὺς πολεμίους
b. ἀμύνειν κτησάμενον ἵππον, ἄμφω δὲ ἵππον ἀγνοοῖμεν, τοσόνδε μέντοι τυγχάνοιμι εἰδὼς περὶ σοῦ, ὅτι Φαῖδρος ἵππον ἡγεῖται τὸ τῶν ἡμέρων ζώων μέγιστα ἔχον ὦτα. ΦΑΙ. Γελοῖόν γ' ἂν, ὦ Σώκρατες, εἴη. ΣΩ. Οὔπω γε· ἀλλ' ὅτε δὴ σπουδῇ σε πείθοιμι συντιθεὶς λόγον, ἔπαινον κατὰ τοῦ ὄνου, ἵππον ἐπονομάζων, καὶ λέγων, ὡς παντὸς ἄξιον τό θρέμμα οἵοι τε κεκτῆσθαι καὶ ἐπὶ στρατείας, ἀποπολεμεῖν τε
c. χρήσιμον καὶ προσενεγκεῖν δυνατὸν σκεύη, καὶ ἄλλα πολλὰ ὠφέλιμον. ΦΑΙ. Παγγέλοιόν γ' ἂν ἤδη εἴη. ΣΩ. Ἆρ' οὖν οὐ κρεῖττον, γελοῖον ἢ δεινόν τε καὶ ἐχθρὸν εἶναι, ἢ φίλον; ΦΑΙ. Φαίνεται. ΣΩ.
94. Ὅταν οὖν ὁ ῥητορικὸς, ἀγνοῶν ἀγαθὸν καὶ κακὸν,

---

umbrationem *Οὗτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.* Iliad. γ, 65. Deinde quum certum h. l. sapientum genus significetur, Sophistarum rhetorumque, vide an praestet *ὃ ἂν εἴπωσιν οἱ σοφοί.* [Atqui melius per ironiam hic *σοφούς*, quam ex vulgari sermone *τοὺς σοφοὺς* eos appellat Socrates. *Buttm.*]

§. 93. *οἵοι τε κεκτ. καὶ ἐπὶ στρατείας.* Sic cum Spaldingio meo rescripsi. In edd. est *στρατιᾶς*: vid. ad Charmid. §. 9. — *ἀποπολεμεῖν* est *πολεμεῖν ἀπ' αὐτοῦ, τοῦ ὄνου.* Protag. p. 350. a. *ἀπὸ τῶν ἵππων πολεμεῖν.* Neque aliter intelligendum *ἀπομάχεσθαι* relatum ad *βασίλεια* in Cyrop. III, 1, 1. et ad *τεῖχος* ib. V, 2, 2. *Ἆρ' οὖν οὐ κρεῖττον — ἢ φίλον.* Corrupte haec legi manifestum est: medela tamen non adeo mihi est certa, ut scripturam mutare ausim. Cornarius corrigit: *ἆρ' οὐ κρεῖττον γελοῖον ἢ δεινόν τε καὶ ἐχθρὸν εἶναι τὸν φίλον;* Amicus malebat *ἆρ' οὖν οὐ κρεῖττον γελοῖον καὶ φίλον*

λαβὼν πόλιν ὡσαύτως ἔχουσαν πείθῃ, μὴ περὶ ὄνου ὡς ἵππου τὸν ἔπαινον ποιούμενος, ἀλλὰ περὶ κακοῦ ὡς ἀγαθοῦ, δόξας δὲ πλήθους μεμελετηκὼς πείσῃ κακὰ πράττειν ἀντ' ἀγαθῶν, ποῖόν τινα οἴει μετὰ ταῦτα τὴν ῥητορικὴν καρπὸν ὧν ἔσπειρε θερίζειν; d.

ΦΑΙ. Οὐ πάνυ γε ἐπιεικῆ. ΣΩ. Ἆρ' οὖν, ὦ γαθέ, ἀγροικότερον τοῦ δέοντος λελοιδορήκαμεν τὴν

ἢ δειν. τε καὶ ἐχθρ. εἶναι; in quibus tamen additum hoc καὶ φίλον magnopere offendit. Equidem Cornario assentior, nisi quod τὸν ante φίλον opus non puto [atque sic, εἶναι φίλον, Par. F et codd. Hermiae], ut hoc dicat Plato: *nonne satius est, ridiculum esse amicum, quam callidum malitiosumque?* Nimirum ille ῥητορικὸς, qui callide persuadendo populum in perniciosam inducit fraudem, φίλον tamen civitatis se esse profitetur, ut h. l. qui φίλος esse putetur, vel maxime esse possit ἐχθρός. Sophocl. Oed. Tyr. 582. Ἐνταῦθα γὰρ δὴ καὶ κακὸς φαίνῃ φίλος. Hanc emendationem lenissimam firmat etiam Ficinus, vertens: *nonne praestat ridiculum amicum esse, quam gravem et inimicum?*

§. 94. μὴ περὶ ὄνου — Vulgo μὴ περὶ ὄνου σκιᾶς ὡς ἵππου, in quibus σκιᾶς a glossatore intrusum, proverbii illius περὶ ὄνου σκιᾶς male memore, monuit me olim Spaldingius, idque in tanta evidentia eiicere non dubitavi. Agnoscit tamen hoc additamentum Schol. ad Aristoph. Vesp. v. 191., itemque Scholl. Plat. Ruhnk. p. 64. et in Anecdot. Siebenk. p. 66., ut iterum adsit exemplum glossematis ante Grammaticorum aetatem illati. Vid. §. 42. et Ruhnken. ad Tim. Lex. p. 235. — Mox vulgo καρπὸν ὃν ἔσπειρε, ad quae Schol. Plat. p. 65. Καρπὸν ὃν ἔσπειρας θέριζε, ἐπὶ τῶν τοιαῦτα πασχόντων, οἷα ἔδρασαν. παρῆκται δὲ ἀπὸ τοῦ στίχου· Εἰ δὲ κακὰ σπείραις, κακά κεν ἀμήσαιο, καὶ πάλιν· Ὅς δὲ κακὰ σπείρει, θεριεῖ κακὰ κήδεα παισίν. Nugatur Scholiastes; nulla hic esse potest proverbii illius significatio, sed scribendum utique cum Stephano [et parte codd.] ὧν ἔσπειρε. Aliter esset, si scripsisset οὐκ οἴει μετὰ ταῦτα τὴν ῥητορικὴν καρπὸν ὃν ἔσπειρε θερίζειν; Nisi forte haec quoque vulgata ὃν ἔσπειρε a Grammatico proverbii memore fluxerunt.

τῶν λόγων τέχνην; ἡ δ' ἴσως ἂν εἴποι, Τί ποτ', ὦ θαυμάσιοι, ληρεῖτε; Ἐγὼ γὰρ οὐδένα ἀγνοοῦντα τἀληθὲς ἀναγκάζω μανθάνειν λέγειν, ἀλλ' εἴ τις ἐμῇ ξυμβουλῇ κτησάμενος ἐκεῖνο, οὕτως ἐμὲ λαμβάνειν. Τόδε δ' οὖν μέγα λέγω, ὡς ἄνευ ἐμοῦ τῷ τὰ ὄντα
e. εἰδότι οὐδέν τι μᾶλλον ἔσται πείθειν τέχνῃ. Οὐκοῦν
95. δίκαια ἐρεῖ λέγουσα ταῦτα; ΦΑΙ. Φημὶ, ἐὰν οἵγε ἐπιόντες αὐτῇ λόγοι μαρτυρῶσιν εἶναι τέχνῃ. Ὥσπερ γὰρ ἀκούειν δοκῶ τινων προσιόντων καὶ διαμαρτυ-

---

94. ἀλλ' εἴ τις ἐμῇ ξυμβουλῇ — λαμβάνειν. Tria in his ita offendunt, ut de scripturae huius depravatione dubitari non possit. Primum dativi hi ἐμῇ ξυμβουλῇ, *ex meo consilio*, non sunt ex usu Platonis. Tum dure post κτησάμενος deest ἐστὶ, cuius ita omissi velim exempla mihi Platonis indubitata monstrari. Denique infinitivus hic λαμβάνειν quanquam possit quodammodo defendi repetendo συμβουλεύω vel huiusmodi verbo ex praegresso ἀναγκάζω, tamen parum est commodus. Verum igitur vidisse puto Stephanum ita emendantem: ἀλλ' εἴ τις ἐμῇ ξυμβουλῇ χρῆται, κτησάμενος ἐκεῖνο οὕτως ἐμὲ λαμβάνει: *sed si mea quis utatur auctoritate, cognita prius vera rei cuiusque ratione, tum demum me adhibet.* Quae adeo mihi certa est correctio, ut in contextum eam admittere aegre abstinuerim. [Λαμβάνει est in aliquot Platonis Hermiaeque codd. Unde Schleierm. Ἀλλ' εἴ τις ἐμὴ ξυμβουλὴ (si quid valet consilium meum), κτησάμενος — λαμβάνει.] Τόδε δ' οὖν μέγα λέγω —. Μέγα in his *admirabile quid ac memorandum* significare, docuit adhibito hoc quoque loco Hemsterhus. ad Lucian. Nigrin. §. 1. — In his vero ὡς ἄνευ etc. τέχνῃ scripsi pro τέχνη. §. 97. Παλαμήδην λέγοντα οὐκ ἴσμεν τέχνῃ. Alioquin scriptum, opinor, legeremus potius τὶς — τοῦ πείθειν τέχνη. §. 100. τέχνης τινὸς τοῦ λέγειν μέτοχος.

§. 95. Φημὶ, ἐὰν οἵγε — Verba haec Φημὶ, ἐὰν — usque ad τούτων τῶν λόγων Phaedro adscribi commode non possunt. Is enim, vulgaris opinionis homo, nequedum meliora a Socrate edoctus, quum paullo ante dixerit ex vulgi

ρομένων λόγων, ὅτι ψεύδεται καὶ οὐκ ἔστι τέχνη, ἀλλ' ἄτεχνος τριβή. Τοῦ δὲ λέγειν, φησὶν ὁ Λάκων, ἔτυμος τέχνη ἄνευ τοῦ ἀληθείας ἧφθαι οὔτ' ἔστιν οὔτε μήποτε ὕστερον γένηται. Τούτων δὴ τῶν λόγων, ὦ Σώ- p. 261. a.
κρατες; ἀλλὰ δεῦρο αὐτοὺς παράγων ἐξέταζε, τί καὶ πῶς λέγουσι. ΣΩ. Πάριτε δὴ θρέμματα γενναῖα,

---

errore §. 92. οὐκ εἶναι ἀνάγκην τῷ μέλλοντι ῥήτορι ἔσεσθαι τὰ τῷ ὄντι δίκαια μανθάνειν, ἀλλὰ τὰ δόξαντα ἂν πλήθει etc., unde is tam subito ita evasit sapiens, ut de ipsa artis illius veritate dubitet, et, quam ei sententiam per reliquam sermonis partem probare studebit Socrates, eam h. l. sponte amplectatur? Tum illa τοῦ δὲ λέγειν — ὕστερον γένηται, prolata etiam a Plutarcho p. 233. b. sic: Μεγαλυνομένου τινὸς ἐπὶ τῇ ῥητορικῇ τέχνῃ, εἶπέ τις Λάκων, ἀλλὰ νὴ τὼ Σιὼ, τέχνη ἄνευ τοῦ ἀληθείας ἧφθαι οὔτε ἐστὶν, οὔτε μήποτε γένηται, haec igitur cum Schleiermachero pro spuriis habeo. Quae si huc omnino pertinent, quanquam cur hac utatur Laconis auctoritate non video, ante potius inferri debebant post illa — ἔσται πείθειν τέχνῃ. Denique in seqq. genitivi hi τούτων τῶν λόγων nihil, unde pendeant, habent. Nam in Vindob. scriptura τούτω δὴ τὼ λόγω nihili est. Mihi videntur haec Τούτων etc. Phaedro tribuenda, et ante τῶν inserendum τίνων, ut ad verba Τούτων δὴ τίνων τῶν λόγων more Graece doctis non incognito subaudiatur ex praegressis δοκεῖς ἀκούειν; Ita §. 42. Σ. — δοκεῖς αἴτιος — γεγενῆσθαι λόγῳ τινὶ ῥηθῆναι. Φ. — πῶς δὴ καὶ τίνι τούτῳ; Inversus autem hic ordo τούτων δὴ τίνων pro vulgari τίνων δὴ τούτων vix quemquam offendat. §. 43. νῦν δ' ἥσθημαι τὸ ἁμάρτημα. Φ. Λέγεις δὲ δὴ τί; Totum igitur locum ita constituo: Οὐκοῦν δίκαια ἐρεῖ λέγουσα ταῦτα; ΦΑΙ. Φημί. (Conf. §. 121. extr.) ΣΩ. Ἐὰν οἵγε ἐπιόντες αὐτῇ λόγοι μαρτυρῶσιν εἶναι τέχνῃ. (Vid. not. ad Hipp. mai. §. 25. ad illa Hippiae Ἐπειδήπερ τὸ πρέπον —.) Ὥσπερ γὰρ ἀκούειν δοκῶ τινων προσιόντων καὶ διαμαρτυρομένων λόγων, ὅτι ψεύδεται καὶ οὐκ ἔστι τέχνη, ἀλλ' ἄτεχνος τριβή. ΦΑΙ. Τούτων δὴ τίνων τῶν λόγων, ὦ Σώκρατες; ἀλλὰ δεῦρο κ. τ. λ. [Be. ex aliquot codd. Τούτων δεῖ τῶν λόγων. Cui tamen lectioni longe praeferenda videtur Heind. conjectura.]

καλλίπαιδά τε Φαῖδρον πείθετε ὡς, ἐὰν μὴ ἱκανῶς φιλοσοφήσῃ, οὐδὲ ἱκανός ποτε λέγειν ἔσται περὶ οὐδενός. Ἀποκρινέσθω δὴ ὁ Φαῖδρος. ΦΑΙ. Ἐρωτᾶτε. ΣΩ. Ἆρ' οὖν οὐ τὸ μὲν ὅλον ἡ ῥητορικὴ ἂν εἴη τέχνη ψυχαγωγία τις διὰ λόγων, οὐ μόνον ἐν δικαστηρίοις καὶ ὅσοι ἄλλοι δημόσιοι σύλλογοι, ἀλλὰ καὶ ἐν ἰδίοις ἡ αὐτὴ, σμικρῶν τε καὶ μεγάλων πέρι,
b. καὶ οὐδὲν ἐντιμότερον τόγε ὀρθὸν περὶ σπουδαῖα ἢ περὶ φαῦλα γιγνόμενον; ἢ πῶς σὺ ταῦτ' ἀκήκοας;
96. ΦΑΙ. Οὐ μὰ τὸν Δία οὐ παντάπασιν οὕτως, ἀλλὰ μάλιστα μέν πως περὶ τὰς δίκας λέγεταί τε καὶ γράφεται τέχνῃ, λέγεται δὲ καὶ περὶ δημηγορίας· ἐπὶ πλέον δὲ οὐκ ἀκήκοα. ΣΩ. Ἀλλ' ἢ τὰς Νέστορός

---

95. *καλλίπαιδά τε Φαῖδρον* — h. e. *pulchrorum huiusmodi θρεμμάτων s. liberorum patrem.* Ita hoc *καλλίπαιδα* accipiendum esse, docebit Plutarchi hic locus p. 1000. f. *τῶν ἐρωτικῶν λόγων πατέρα Φαῖδρον ἐν συμποσίῳ προσεῖπεν, εἰσηγητὴν αὐτὸν γενόμενον, ἐν δὲ τῷ ὁμωνύμῳ διαλόγῳ Καλλιπίδαν.* Repone *καλλίπαιδα.* *Ἐρωτᾶτε.* [Hoc antea Socratis sermoni intextum, optime Be. VII codicum auctoritate separavit. Tum idem ex pl. et opt. *Ἆρ' οὖν οὐ* pro vulg. *Ἆρ' οὐ.*] — Verbum *τέχνη* additum alteri *ῥητορική*, quanquam abesse poterat commode, conf. §. 94. 101. 119., probum tamen est: v. §. 121. — Quintilian. Inst. Or. II, 21, 4. *In Phaedro palam, non in iudiciis modo et concionibus, sed in rebus etiam privatis ac domesticis rhetoricen esse demonstrat (Plato).* Illis autem *ἢ πῶς σὺ ταῦτ' ἀκήκοας;* respicit superiora illa Phaedri verba §. 92. *Οὕτωσὶ περὶ τούτων ἀκήκοα* etc.

§. 96. *ἀλλὰ μάλιστα μέν πως — γράφεται τέχνῃ.* Vulgo *τέχνη*. Dativum recepi ex Schleiermacheri emendatione: v. ad §. 94. — §. 124. *οὗτοι μὲν οὖν ἄλλως ἐνδεικνύμενον ἢ λεγόμενον τέχνῃ ποτὲ γραφήσεται ἢ λεχθήσεται.* *Ἀλλ' ἢ τὰς Νέστορος* — Nestori Ulyssique principatum in forensi eloquentia tribuit Homerus. Quam scite autem cum Nestore hic

τε καὶ Ὀδυσσέως τέχνας μόνον περὶ λόγων ἀκήκοας, ὃς ἐν Ἰλίῳ σχολάζοντε συνεγραψάτην, τῶν δὲ Παλαμήδους ἀνήκοος γέγονας; ΦΑΙ. Καὶ ναὶ μὰ Δία c. ἔγωγε τῶν Νέστορος, εἰ μὴ Γοργίαν Νέστορά τινα κατασκευάζεις, ἢ τινα Θρασύμαχόν τε καὶ Θεόδωρον Ὀδυσσέα. ΣΩ. Ἴσως. Ἀλλὰ γὰρ τούτους ἐῶμεν· σὺ δ' εἰπέ, ἐν δικαστηρίοις οἱ ἀντίδικοι τί δρῶσιν; οὐκ ἀντιλέγουσι μέντοι; ἢ τί φήσομεν; ΦΑΙ. Τοῦτ' αὐτό. ΣΩ. Περὶ τοῦ δικαίου τε καὶ ἀδίκου; ΦΑΙ. Ναί. ΣΩ. Οὐκοῦν ὁ τέχνῃ τοῦτο δρῶν ποιήσει φανῆναι τὸ αὐτὸ τοῖς αὐτοῖς τοτὲ μὲν δίκαιον, ὅταν δὲ βούληται, ἄδικον; ΦΑΙ. Τί μήν; ΣΩ. Καὶ ἐν δημηγορίᾳ δὴ τῇ πόλει δοκεῖν τὰ αὐτὰ τοτὲ μὲν d. ἀγαθὰ, τοτὲ δ' αὖ τἀναντία; ΦΑΙ. Οὕτως. ΣΩ. Τὸν οὖν Ἐλεατικὸν Παλαμήδην λέγοντα οὐκ ἴσμεν 97.

Gorgiam, Ulyssem cum Thrasymacho comparet Plato, satis intelligent, qui utriusque sophistae ingenium et mores ex philosophi Gorgia primoque de re publica cognoverint. Bene Schol. Plat. p. 66. *Γοργίας παράλληλος Νέστορι, ὡς αἰδήμων καὶ πολυετής — — ὡς δεινοὶ οἱ ἄλλοι Ὀδυσσεῖ.* Et conf. Schol. in Anecdot. Sieb. p. 68. Palamedis autem nomine significari liquet virum, qui non in iudiciis neque in concionibus illa disputandi arte uteretur, sed in quaestionibus philosophicis. *Καὶ ναὶ μὰ Δία ἔγωγε τῶν Νέστορος.* Subaudiendum ex proxime praegressis *ἀνήκοός εἰμι.* Male Cornar. cum Ficino: *et per Iovem de Nestoris orationibus audivi.* De *Theodoro* hoc *Byzantio*, quem infra dicit *λογοδαίδαλον* §. 112., (diversoque a Theodoro Cyrenaeo, mathematico, Platonis magistro) vid. Ernesti Clav. Ciceron. *οὐκ ἀντιλέγουσι μέντοι.* [Vid. ad Charm. 15.]

§. 97. *Τὸν οὖν Ἐλεατικὸν Παλαμήδην* — Corrigendum h. l. putat Bouherius in animadverss. ad Cic. Tuscul. p. 99. *Ἐλαϊτικὸν*, ductus auctoritate Quintiliani III, 1, 10. ubi vulgo legebantur haec: *quem Palamedem Plato appellat, Alcida-*

τέχνη, ὥστε δοκεῖν φαίνεσθαι τοῖς ἀκούουσι τὰ αὐτὰ ὅμοια καὶ ἀνόμοια, καὶ ἓν καὶ πολλὰ, μένοντά τε αὖ καὶ φερόμενα; ΦΑΙ. Μάλα γε. ΣΩ. Οὐκ ἄρα μόνον περὶ δικαστήρια τέ ἐστιν ἡ ἀντιλογικὴ καὶ
e. περὶ δημηγορίαν, ἀλλ' ὡς ἔοικε περὶ πάντα τὰ λεγόμενα μία τις τέχνη, εἴπερ ἔστιν, αὕτη ἂν εἴη, ᾗ τις οἷός τ' ἔσται πᾶν παντὶ ὁμοιοῦν τῶν δυνατῶν, καὶ οἷς δυνατὸν, καὶ ἄλλου ὁμοιοῦντος καὶ ἀποκρυπτομένου εἰς φῶς ἄγειν. ΦΑΙ. Πῶς δὴ τὸ τοιοῦ-

---

mas Eleates, pro quo Bouherius ibi *Elaïtes* scribi iubet, Spaldingius restituit *Elaeïtes*. Sed illa auctoritas nulla est. Verba enim, *quem Palamedem Plato appellat*, a glossatore fluxisse, satis ibi docuit idem ille Quintiliani editor, collega mihi coniunctissimus, olim optimus in his litteris praeceptor. *Zenonem* autem *Eleaten* a Platone h. l. significari, et per se probabile est, et dubitare non sinunt Schol. ad h. l. p. 66. *Ζήνωνά φησι, τὸν Παρμενίδου ἑταῖρον, ὅτι δὴ πανεπιστήμων σχεδὸν ἦν ὁ ἀνὴρ, ὡς καὶ Παλαμήδης.* Conf. Schol. in Anecdot. Siebenk. p. 68. His conf. Diog. Laert. IX, 25. *ὁ δ' αὐτὸς (Πλάτων) ἐν τῷ Φαίδρῳ* (ita lego cum Spalding.) *καὶ Ἐλεατικὸν Παλαμήδην αὐτὸν (Ζήνωνα) καλεῖ.* — In seqq. *δοκεῖν φαίνεσθαι* illud *δοκεῖν* aut expungi aut in *ποιεῖν* mutari olim malebam, dicendi consuetudine nondum satis cognita. De rep. II. p. 381. e. *οἱ θεοὶ — ἡμῖν ποιοῦσι δοκεῖν σφᾶς παντοδαποὺς φαίνεσθαι ἐξαπατῶντες καὶ γοητεύοντες.* Xenoph. Mem. II, 1, 22. *ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι.* add. ib. III, 1, 4. Himer. Eclog. IV, 9. p. 103. *Ταῦτα, ὅτι ταύτην προσείληφε τῷ δοκεῖν ἀνεύθυνα φαίνεσθαι, προσθήκη τῶν ἀδικημάτων γίνεται.* [Hic tamen Be. *δοκεῖν*, quod tenent nonnisi Par. EF, ejecit.] De re ipsa conf. Plat. Parmenid. p. 127. c. seqq. *περὶ δικαστήριά ἐστιν*, versatur *in iudiciis*. Gorg. p. 450. a. *ἑκάστη αὐτῶν (τῶν ἄλλων τεχνῶν) περὶ λόγους ἐστὶ τούτους, οὓς τυγχάνουσιν ὄντες περὶ τὸ πρᾶγμα οὗ ἑκάστη ἐστὶν ἡ τέχνη.* Et conf. Dorvill. ad Charit. p. 142. — Mox ad *τῶν δυνατῶν* int. *ὁμοιοῦσθαι*. Illa

τον λέγεις; ΣΩ. Τῇδε δοκῶ ζητοῦσι φανεῖσθαι. Ἀπάτη πότερον ἐν πολὺ διαφέρουσι γίγνεται μᾶλ- p. 262. a.
λον ἢ ὀλίγον; ΦΑΙ. Ἐν τοῖς ὀλίγον. ΣΩ. Ἀλλά γε δὴ κατὰ σμικρὸν μεταβαίνων μᾶλλον λήσεις ἐλθὼν ἐπὶ τὸ ἐναντίον, ἢ κατὰ μέγα. ΦΑΙ. Πῶς δ' οὔ; ΣΩ. Ἆρα τὸν μέλλοντα ἀπατήσειν μὲν ἄλλον, 98.
αὐτὸν δὲ μὴ ἀπατήσεσθαι, τὴν ὁμοιότητα τῶν ὄντων καὶ ἀνομοιότητα ἀκριβῶς διειδέναι. ΦΑΙ. Ἀνάγκη μὲν οὖν. ΣΩ. Ἦ οὖν οἷός τε ἔσται, ἀλήθειαν ἀγνοῶν ἑκάστου, τὴν τοῦ ἀγνοουμένου ὁμοιότητα σμικράν τε καὶ μεγάλην ἐν τοῖς ἄλλοις διαγιγνώσκειν; ΦΑΙ. Ἀδύνατον. ΣΩ. Οὐκοῦν τοῖς πα- b.
ρὰ τὰ ὄντα δοξάζουσι καὶ ἀπατωμένοις, δῆλον, ὡς τὸ πάθος τοῦτο δι' ὁμοιοτήτων τινῶν εἰσερρύη. ΦΑΙ. Γίγνεται γοῦν οὕτως. ΣΩ. Ἔστιν οὖν ὅπως 99.
τεχνικὸς ἔσται μεταβιβάζειν κατὰ σμικρὸν, διὰ τῶν ὁμοιοτήτων ἀπὸ τοῦ ὄντος ἑκάστοτε ἐπὶ τοὐναντίον ἀπάγων, ἢ αὐτὸς τοῦτο διαφεύγειν, ὁ μὴ ἐγνωρικὼς ὅ ἐστιν ἕκαστον τῶν ὄντων; ΦΑΙ. Οὐ μήποτε. ΣΩ.

Τῇδε δοκῶ ζητοῦσι φανεῖσθαι clausulam faciunt legitimi versus, ex physici, opinor, carmine desumpta.

§. 99. Ἔστιν οὖν ὅπως τεχνικὸς — Vulgo μεταβιβάζων et deinde ἀπάγων, quod duplex participium post illa τεχνικὸς ἔσται ferri non poterat. Igitur ex Galeno de Hippocr. et Plat. Decr. IX. p. 331. ed. Bas., ubi totum hunc locum descripsit ἡ ἀπάτη (sic exhibet) usque ad verba ἄτεχνον παρέξεται, revocavi μεταβιβάζειν [acc. codd.], quo expeditur structura, hoc verborum ordine: Ἔστιν οὖν ὅπως ὁ μὴ ἐγνωρικὼς, ὅ ἐστιν ἕκαστον τῶν ὄντων, τεχνικὸς ἔσται μεταβιβάζειν etc. *Fierine igitur potest, ut, qui veram cuiusque rei naturam non perspexerit, is eo instructus sit artificio, quo pos-*

c. *Λόγων ἄρα τέχνην, ὦ ἑταῖρε, ὁ τὴν ἀλήθειαν μὴ εἰδὼς, δόξας δὲ τεθηρευκὼς, γελοίαν τινὰ, ὡς ἔοικε, καὶ ἄτεχνον παρέξεται. ΦΑΙ. Κινδυνεύει. ΣΩ. Βούλει οὖν ἐν τῷ Λυσίου λόγῳ, ὃν φέρεις, καὶ ἐν οἷς ἡμεῖς εἴπομεν, ἰδεῖν τι ὧν φαμεν ἀτέχνων τε καὶ ἐντέχνων εἶναι; ΦΑΙ. Πάντων γέ που μάλιστα, ὡς νῦν γε ψιλῶς πως λέγομεν, οὐκ ἔχοντες ἱκανὰ παρα-*
100. *δείγματα. ΣΩ. Καὶ μὴν κατὰ τύχην γέ τινα, ὡς ἔοικεν, ἐῤῥηθήτην τῷ λόγῳ, ἔχοντέ τι παράδειγμα,*
d. *ὡς ἂν ὁ εἰδὼς τὸ ἀληθὲς προσπαίζων ἐν λόγοις παράγοι τοὺς ἀκούοντας. Καὶ ἔγωγε, ὦ Φαῖδρε, αἰτιῶμαι τοὺς ἐντοπίους θεούς· ἴσως δὲ καὶ οἱ τῶν Μουσῶν προφῆται οἱ ὑπὲρ κεφαλῆς ᾠδοὶ ἐπιπεπνευκότες ἂν ἡμῖν εἶεν τοῦτο τὸ γέρας. Οὐ γάρ που ἔγωγε*

---

sit paullatim auditorem traducere, per similitudines a vero plerumque ad contrarium deflectens, aut, ne idem ipsi accidat (τὸ μεταβιβάζεσθαι ἀπαγόμενον) cavere? Quod Stephanus in vet. lib. repperit, *ἐγνωκὼς* pro *ἐγνωρικὼς*, maluitque propter praegressum modo *ἀγνοῶν*, id nihilo melius altero videtur.

99. *δόξας δὲ τεθηρευκώς* — Hoc reposui ex Vindob. et Galen. Vulgo *τεθηρακὼς*. Theaetet. p. 198. a. *ἣν ἂν βούληται τῶν ἐπιστημῶν θηρεύειν.* Sophist. p. 222. a. *τὰ ἐν τούτοις ζῶα θηρευσόμενος.* Phileb. p. 20. d. *Πᾶν τὸ γιγνῶσκον αὐτὸ θηρεύει καὶ ἐφίεται βουλόμενον ἑλεῖν*: ut alia mittam. Paullo post sermonis lege correxi *ἀτεχνόν τε καὶ ἐντεχνον.* Corrupte vulgo [sed tenentibus omnibus mss.] *ἄτεχνόν τε καὶ ἔντεχνον.* Conf. §. 58. *ψιλῶς πως.* Recte Schol. Plat. p. 67. *ψιλῶς τὸ μὴ ἐπὶ ὑποδείγματός φησι.*

§. 100. *ὡς ἂν ὁ εἰδὼς — παράγοι.* Proprium est hoc *παράγειν* in cavillatione rhetorica, qua auditor subdole a proposito abducitur. V. Wolf. ad Demosth. Lept. p. 355. — *τοὺς ἐντοπ. θεούς. Panem Acheloumque et Nymphas.* Conf. §. 9. 32. 103. 147. De *diis topicis*, *ἐντοπίοις*, *ἐγχωρίοις*, v. Cuper. Obss. III, 16. *τοῦτο τὸ γέρας.* Schol. Plat. p. 67.

τέχνης τινὸς τοῦ λέγειν μέτοχος. ΦΑΙ. Ἔστω ὡς λέγεις, μόνον δήλωσον ὃ φῄς. ΣΩ. Ἴθι δή μοι ἀνάγνωθι τὴν τοῦ Λυσίου λόγου ἀρχήν. ΦΑΙ. Περὶ 101. e.
μὲν τῶν ἐμῶν πραγμάτων ἐπίστασαι, καὶ ὡς νομίζω συμφέρειν ἡμῖν τούτων γενομένων ἀκήκοας. Ἀξιῶ δὲ μὴ διὰ τοῦτο ἀτυχῆσαι ὧν δέομαι, ὅτι οὐκ ἐραστὴς ὢν σου τυγχάνω. Ὡς ἐκείνοις μὲν τότε μεταμέλει —. ΣΩ. Παῦσαι. Τί δὴ οὖν οὗτος ἁμαρτάνει καὶ ἄτεχνον ποιεῖ, λεκτέον· ἢ γάρ; ΦΑΙ. Ναί. ΣΩ. Ἆρ' οὖν οὐ παντὶ δῆλον τόγε τοιόνδε, ὡς περὶ p. 263.
μὲν ἔνια τῶν τοιούτων ὁμονοητικῶς ἔχομεν, περὶ δ' ἔνια στασιαστικῶς; ΦΑΙ. Δοκῶ μὲν ὃ λέγεις μανθάνειν, ἔτι δ' εἰπὲ σαφέστερον. ΣΩ. Ὅταν τὶς ὄνομα εἴπῃ σιδήρου ἢ ἀργύρου, ἆρ' οὐ τὸ αὐτὸ πάντες διενοήθημεν; ΦΑΙ. Καὶ μάλα. ΣΩ. Τί δ', ὅταν δικαίου ἢ ἀγαθοῦ; οὐκ ἄλλος ἄλλῃ φέρεται, καὶ ἀμφισβητοῦμεν ἀλλήλοις τε καὶ ἡμῖν αὐτοῖς; ΦΑΙ. Πάνυ μὲν οὖν. ΣΩ. Ἐν μὲν ἄρα τοῖς συμφωνοῦμεν, ἐν δὲ τοῖς οὔ. ΦΑΙ. Οὕτω. ΣΩ. b.
Ποτέρωθι οὖν εὐαπατητότεροί ἐσμεν, καὶ ἡ ῥητορικὴ ἐν ποτέροις μεῖζον δύναται; ΦΑΙ. Δῆλον ὅτι ἐν οἷς πλανώμεθα. ΣΩ. Οὐκοῦν τὸν μέλλοντα τέ- 102.

τὸ δύνασθαι διακρίνειν τοὺς κατὰ τέχνην λέγοντας καὶ μή. Immo τὸ δύνασθαι λέγειν τῷ λόγῳ ἔχοντι τὶ παράδειγμα τοιοῦτον.

§. 101. [Post μεταμέλει addita olim ferebantur e §. 11. ὧν ἂν — παύσωνται, quae absunt a codd. revera omnibus.] Ἆρ' οὖν οὐ παντί — Totum hunc locum usque ad verba Ἄριστα λέγεις §. 102. affert Galen. de Hippocr. et Plat. Decret. IX. p. 331. ed. Bas., sed, quae ibi mutata leguntur, corrigi hinc debent.

χνην ῥητορικὴν μετιέναι πρῶτον μὲν δεῖ ταῦτα ὁδῷ διηρῆσθαι, καὶ εἰληφέναι τινὰ χαρακτῆρα ἑκατέρου τοῦ εἴδους, ἐν ᾧ τε ἀνάγκη τὸ πλῆθος πλανᾶσθαι καὶ ἐν ᾧ μή. ΦΑΙ. Καλὸν γοῦν ἄν, ὦ Σώκρατες,
c. εἶδος εἴη κατανενοηκὼς ὁ τοῦτο λαβών. ΣΩ. Ἔπειτά γε οἶμαι πρὸς ἑκάστῳ γιγνόμενον μὴ λανθάνειν ἀλλ' ὀξέως αἰσθάνεσθαι, περὶ οὗ ἂν μέλλῃ ἐρεῖν, πο-τέρου ὂν τυγχάνει τοῦ γένους. ΦΑΙ. Τί μήν; ΣΩ. Τί οὖν; τὸν Ἔρωτα πότερον φῶμεν εἶναι τῶν ἀμ-φισβητησίμων ἢ τῶν μή; ΦΑΙ. Τῶν ἀμφισβητησί-μων δήπου. ΣΩ. Ἦ οἴει ἄν σοι συγχωρῆσαι εἰπεῖν, ἃ νῦν δὴ εἶπες περὶ αὐτοῦ, ὡς βλάβη τέ ἐστι τῷ ἐρωμένῳ καὶ ἐρῶντι καὶ αὖθις, ὡς μέγιστον τῶν ἀγαθῶν τυγχάνει; ΦΑΙ. Ἄριστα λέγεις. ΣΩ.
d. Ἀλλ' εἰπὲ καὶ τόδε, ἐγὼ γάρ τοι διὰ τὸ ἐνθουσιασ-

---

§. 102. ὁδῷ διηρῆσθαι, *via et ratione disserere et explicare;* de quo verbi διαιρεῖσθαι significatu accurate egit, hunc quoque locum adhibens, Dorvill. ad Charit. p. 645. Mox ad τὸ πλῆθος Schol. Plat. p. 67. γράφεται καὶ τὸ εἶδος [et sic VIII codd. minime mali, rectum tamen tenente cum ceteris Clark.], quod nihili est. Καλὸν γοῦν — εἶδος εἴη — *Utrumque* illud a Socrate modo memoratum rerum *genus*, τὸ εἶδος τῶν ἀμφισβητησίμων et τῶν μὴ ἀμφισβητησίμων, unius εἴδους nomine comprehendit Phaedrus. τοῦτο int. τὸ εἶδος, vel potius τὸν χαρακτῆρα ἑκατέρου τοῦ εἴδους. — Ἔπειτά γε οἶμαι — *Deinde, opinor, quando in singulis rebus versatur* (conf. ad §. 62.), *non fugere eum oportet, sed acute ipsum animadvertere, de quacunque re dicturus est, utrius ea sit generis.*

102. Ἦ οἴει ἄν σοι συγχωρῆσαι — *Num alioquin eum putas tibi permissurum fuisse* etc.? Plenius ἤ, εἰ ἦν τῶν μὴ ἀμφισβητησίμων, οἴει ἄν etc. V. Valcken. ad Herodot. VI, 68. Sed nisi prorsus fallit animus, haec ἢ οἴει ἄν — τυγχάνει Phaedri sunt, non Socratis, cuius nomen ponendum ante

τικὸν οὐ πάνυ μέμνημαι, εἰ ὠρισάμην ἔρωτα ἀρχό-
μενος τοῦ λόγου. ΦΑΙ. Νὴ Δία, ἀμηχάνως γε ὡς
σφόδρα. ΣΩ. Φεῦ, ὅσῳ λέγεις τεχνικωτέρας Νύμ- 103.
φας τὰς Ἀχελῴου καὶ Πᾶνα τὸν Ἑρμοῦ Λυσίου τοῦ
Κεφάλου πρὸς λόγους εἶναι. Ἢ οὐδὲν λέγω, ἀλλὰ
καὶ ὁ Λυσίας ἀρχόμενος τοῦ ἐρωτικοῦ ἠνάγκασεν
ἡμᾶς ὑπολαβεῖν τὸν Ἔρωτα ἔν τι τῶν ὄντων, ὃ αὐ-
τὸς ἠβουλήθη, καὶ πρὸς τοῦτο ἤδη συνταξάμενος e.
πάντα τὸν ὕστερον λόγον διεπεράνατο; Βούλει πά-
λιν ἀναγνῶμεν τὴν ἀρχὴν αὐτοῦ; ΦΑΙ. Εἰ σοίγε
δοκεῖ· ὃ μέντοι ζητεῖς, οὐκ ἔστ' αὐτόθι. ΣΩ. Λέγε,
ἵνα ἀκούσω αὐτοῦ ἐκείνου. ΦΑΙ. Περὶ μὲν τῶν 104.
ἐμῶν πραγμάτων ἐπίστασαι, καὶ ὡς νομίζω συμφέ-
ρειν ἡμῖν τούτων γενομένων ἀκήκοας. Ἀξιῶ δὲ μὴ p. 264.
a.

---

illa Ἄριστα λέγεις. Ἀλλ' εἰπὲ —: Socratis enim si haec esse voluisset Plato, ita potius, opinor, scripsisset: οὐ γὰρ ἂν ἡμῖν συγχωρήσειεν εἰπεῖν. Nunc et interrogandi haec forma post illa asseverandi verba τῶν ἀμφισβητησίμων δήπου offendit, et magis etiam hoc σοι, quum Socrates, quanquam coactus a Phaedro, ipse tamen hoc ὡς βλάβη τέ ἐστι etc. oratione illa adversus amorem habita docuerit, alterum autem illud, ὡς μέγιστον τῶν ἀγαθῶν τυγχάνει, ex sua ipsius dixerit, non Phaedri, sententia. Denique si Phaedro illa tribuantur, optime his conveniunt Socratis verba illa Ἀλλ' εἰπὲ καὶ τόδε, ἐγὼ γὰρ etc. — Post μέγιστον quanquam facile excidere potuit ὄν, nolim id tamen intrudi. Isocrat. Archid. p. 256. καταλελύσθαι τοὺς νόμους, μεθ' ὧν οἰκοῦντες εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἐτύγχανον. Et conf. Locell. ad Xenoph. Ephes. p. 266.

§. 103. Πᾶνα τὸν Ἑρμοῦ. Herodot. II, 145. Ἐκ Πηνελόπης καὶ Ἑρμέω λέγεται γενέσθαι ὑπὸ Ἑλλήνων ὁ Πάν. Conf. Plato Cratyl. p. 408. b. et Hymn. Hom. in Pan.: quanquam res nota est ex mythologis: v. Davis. ad Cic. de N. D. III, 22. — τὸν ὕστερον λόγον διεπεράνατο. Verissime Cornarius pro

διὰ τοῦτο ἀτυχῆσαι ὧν δέομαι, ὅτι οὐκ ἐραστὴς ὢν σου τυγχάνω. Ὡς ἐκείνοις μὲν τότε μεταμέλει ὧν ἂν εὖ ποιήσωσιν, ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται. ΣΩ. Ἦ πολλοῦ δεῖν ἔοικε ποιεῖν ὅδε γε ὃ ζητοῦμεν, ὃς οὐδὲ ἀπ' ἀρχῆς ἀλλ' ἀπὸ τελευτῆς ἐξ ὑπτίας ἀνάπαλιν διανεῖν ἐπιχειρεῖ τὸν λόγον, καὶ ἄρχεται ἀφ' ὧν πεπαυμένος ἂν ἤδη ὁ ἐραστὴς λέγοι πρὸς τὰ παι-
b. δικά. Ἦ οὐδὲν εἶπον, Φαῖδρε, φίλη κεφαλή; ΦΑΙ. Ἔστι γέ τοι δή, ὦ Σώκρατες, τελευτή, περὶ οὗ τὸν
105. λόγον ποιεῖται. ΣΩ. Τί δαί; τἆλλα οὐ κύδην δο-

χρόνον [quod inventum in solo Par. E] substituit λόγον, in quo περαίνειν et περάνασθαι proprie adhibetur. Hipp. Mai. 56. λόγον — περαίνειν ἐν δικαστηρίῳ. Eurip. Ion. v. 1318. λέγε, πέραινε σοὺς λόγους. Plat. Protag. p. 314. c. ἵν' οὖν μὴ ἀτελὴς γένοιτο (ὁ λόγος) ἀλλὰ διαπερανάμενοι οὕτως εἰσίοιμεν etc. Lucian. Lexiph. §. 1. σκόπει δὴ μεταξὺ ὅπως διαπεραίνομαι τὸν λόγον. Sed exempla occurrunt ubivis.

§. 104. ὃς οὐδὲ ἀπ' ἀρχῆς — διανεῖν — Διανεῖν, pro quo Cornarii liber habebat διανύειν, est h. l. διακολυμβᾶν, διαπερᾶν, uti explicat Schol. Plat. p. 67. Illustravit hanc dicendi figuram Ruhnk. ad Tim. p. 79. — ἐξ ὑπτίας, *supine*, quod optime convenit τῷ διανεῖν, additum, quo perversitas rei magis declaretur. — ἀφ' ὧν πεπαυμένος. Stolide Cornarius, Ficinum secutus: *ab his initium sumit, quae desinens iam amator esse ad amatum dixerit.* Ad πεπαυμένος int. τοῦ λέγειν. Nam Socrates Lysiam reprehendit, quod sermonem suum non sit a iusto quodam initio exorsus, sed eum, qui iam finitus esse videretur, a fine quasi sursum versus retroque instituerit. Illa enim Lysiae Περὶ μὲν τῶν ἐμῶν πραγμάτων etc. finem quasi faciunt praegressi cuiusdam sermonis. Quod tamen quum de industria ita instituisset Lysias, ut medio quasi sermoni superveniret auditor, vide ne haec iniquior sit Platonis existimatio. — Φαῖδρε φ. κ. Il. ϑ, 281. Τεῦκρε, φίλη κεφαλή.

§. 105. Τί δαί; τἆλλα οὐ κύδην — Attica urbanitate οὐκ ἀγεννῶς dictum pro ϑαῤῥαλέως, *temere et inconsiderate*. V.

κεῖ βεβλῆσθαι τὰ τοῦ λόγου; ἢ φαίνεται τὸ δεύτερον εἰρημένον ἔκ τινος ἀνάγκης δεύτερον δεῖν τεθῆναι, ἤ τι ἄλλο τῶν ῥηθέντων; Ἐμοὶ μὲν γὰρ ἔδοξεν ὡς μηδὲν εἰδότι οὐκ ἀγεννῶς τοὐπιὸν εἰρῆσθαι τῷ γράφοντι. Σὺ δ' ἔχεις τινὰ ἀνάγκην λογογραφικὴν, ἢ ταῦτα ἐκεῖνος οὕτως ἐφεξῆς παρ' ἄλληλα ἔθηκε; ΦΑΙ. Χρηστὸς εἶ, ὅτι με ἡγεῖ ἱκανὸν εἶναι τὰ c.
ἐκείνου οὕτως ἀκριβῶς διιδεῖν. ΣΩ. Ἀλλὰ τόδε γε οἶμαί σε φάναι ἂν, δεῖν πάντα λόγον ὥσπερ ζῷον συνεστάναι, σῶμά τι ἔχοντα αὐτὸν αὑτοῦ, ὥστε μήτε ἀκέφαλον εἶναι μήτε ἄπουν, ἀλλὰ μέσα τε ἔχειν καὶ ἄκρα, πρέποντα ἀλλήλοις καὶ τῷ ὅλῳ γεγραμμένα. ΦΑΙ. Πῶς γὰρ οὔ; ΣΩ. Σκέψαι τοίνυν 106.
τὸν τοῦ ἑταίρου σου λόγον, εἴτε οὕτως εἴτε ἄλλως ἔχει, καὶ εὑρήσεις τοῦ ἐπιγράμματος οὐδὲν διαφέ- d.
ροντα, ὃ Μίδᾳ τῷ Φρυγί φασί τινες ἐπιγεγράφθαι.

---

ad Charmid. 13. — τοὐπιὸν, quidquid in solum, ὅ,ττι κεν ἐπ' ἀκαιρίμαν γλῶτταν ἔλθῃ. de legg. IV. p. 719. c. ποιητὴς, ὁπόταν ἐν τῷ τρίποδι τῆς Μούσης καθίζηται, τότε οὐκ ἔμφρων ἐστὶν, οἷον δὲ κρήνη τις τὸ ἐπιὸν ῥεῖν ἑτοίμως ἐᾷ.

§. 106. τοῦ ἐπιγράμματος. Epigramma hoc ipsi *Homero* tribuit posterior antiquitas, ut docet Auct. libri de vita Homeri, Herodoto vulgo adscripti c. XI.; *Cleobulo Lindio* Simonidis testimonio vindicat Diog. Laert. I, 89. Vid. Wessel. ad Herodot. p. 750. Sed auctius ap. Laert. legitur duobus his versibus post illum Ὄφρ' ἂν ὕδωρ etc.

Ἠέλιός τ' ἀνιὼν λάμπῃ λαμπράς τε σελήνη,
Καὶ ποταμοί γε ῥέωσιν ἀνακλύζῃ δὲ θάλασσα·

Qui si Cleobuli non sunt, antiquissimi tamen sunt auctoris, quoniam in carmine, quod Simonidis sine dubio est, his Cleobuli versibus ap. Laert. subiecto, respiciuntur manifesto: *Τίς κεν αἰνήσειε νῷ πίσυνος Λίνδου ναέταν Κλεόβουλον Ἀεννάοις ποταμοῖς — Ἀελίου τε φλογὶ χρυσᾶς τε σελάνας — Ἀντι-*

ΦΑΙ. Ποῖον τοῦτο, καὶ τί πεπονθός; ΣΩ. Ἔστι μὲν τοῦτο τόδε·

Χαλκῆ παρθένος εἰμὶ, Μίδα δ' ἐπὶ σήματι κεῖμαι,
Ὅφρ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
Αὐτοῦ τῇδε μένουσα, πολυκλαύτου ἐπὶ τύμβου,
Ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

Ὅτι δὲ οὐδὲν διαφέρει αὐτοῦ πρῶτον ἢ ὕστατόν τι
e. λέγεσθαι, ἐννοεῖς που, ὡς ἐγῷμαι. ΦΑΙ. Σκώ-
107. πτεις τὸν λόγον ἡμῶν, ὦ Σώκρατες. ΣΩ. Τοῦτον μὲν τοίνυν, ἵνα μὴ σὺ ἄχθῃ, ἐάσωμεν· καίτοι συχνά γε ἔχειν μοι δοκεῖ παραδείγματα, πρὸς ἃ τις βλέπων ὀνίναιτ' ἄν, μιμεῖσθαι αὐτὰ ἐπιχειρῶν μὴ

θέντα μένος στάλας; In Cleobulum autem, *aenigmatum griphorumque* auctorem (v. Laert. l. l.), optime convenit huiusmodi lusus, in quo perverti potest versuum ordo; quanquam duo illi a Platone omissi versus in quocunque ceterorum ordine sequi debent illum Ὅφρ' ἂν ὕδωρ etc., ut dubitem, an consulto eos omiserit Plato. De scriptura horum, laudatis locis paullulum mutata, vide Varr. Lectt. ap. Wesseling. l. c. et Ilgen. Hymn. Hom. p. 607.

§. 107. Τοῦτον μὲν τοίνυν — ἐάσωμεν. Vulgo ἐάσω. Illud ex Vindob. recepi propter seq. ἴωμεν. Atque Ficinus vertit *dimittamus*, et sic §. 96. ἀλλὰ γὰρ τούτους ἐῶμεν. Quae adduntur, καίτοι συχνά γε ἔχειν etc. vulgo sic distinguuntur sine ullo sensu: πρὸς ἃ τις βλέπων, ὀνίναιτ' ἂν μιμεῖσθαι αὐτὰ ἐπιχειρῶν, μὴ πάνυ τι. Igitur ut aliqua hinc efficeretur sententia neque incommoda, in interpunctione secutus sum Ficinum, sic vertentem: *quibus inspectis utilitas nobis ex hoc proventura sit, ne talia imitemur*, planius: *quae si quis intueatur, is eam inde percipiat utilitatem, ut a talium imitatione deterreatur.* Quanquam, fateor, hac ratione non placet hoc μὴ πάνυ τι ita in fine positum pro μιμεῖσθαι αὐτὰ μὴ πάνυ τι ἐπιχειρῶν. Acute amicus interpretabatur: *in quae si quis intueatur, inde proficiat aliquid; sin imitari ea conc-*

πάνυ τι· εἰς δὲ τοὺς ἑτέρους λόγους ἴωμεν. Ἦν γάρ τι ἐν αὐτοῖς, ὡς δοκῶ, προσῆκον ἰδεῖν τοῖς βουλομέ- p. 265. a.
νοις περὶ λόγων σκοπεῖν. ΦΑΙ. Τὸ ποῖον δὴ λέγεις; ΣΩ. Ἐναντίω που ἤστην. Ὁ μὲν γὰρ, ὡς τῷ ἐρῶντι, ὁ δ' ὡς τῷ μὴ δεῖ χαρίζεσθαι, ἐλεγέτην. ΦΑΙ. Καὶ μάλ' ἀνδρικῶς. ΣΩ. Ὤιμην σε τἀληθὲς ἐρεῖν, ὅτι μανικῶς· ὃ μέντοι ἐζήτουν, ἐστὶν αὐτὸ τοῦτο. Μανίαν γάρ τινα ἐφήσαμεν εἶναι τὸν Ἔρωτα· ἦ γάρ; ΦΑΙ. Ναί. ΣΩ. Μανίας δέ γε εἴδη δύο, τὴν μὲν ὑπὸ νοσημάτων ἀνθρωπίνων, τὴν δὲ ὑπὸ θείας ἐξαλλαγῆς τῶν εἰωθότων νομίμων γιγνο-

---

tur, *nihil proficiat.* Quod probarem in hac scriptura: *πρὸς ἃ τις βλέπων μὲν ὀνίναιτ' ἂν, μιμεῖσθαι δὲ* etc., vel saltem inserto *δὲ* post *μιμεῖσθαι. τοὺς ἑτέρους λόγους* suas ipsius dicit orationes, quarum altera amorem vituperarat, altera laudaverat. Perperam enim Stephanus intelligendas dicit *ceteras orationes ipsius Lysiae.*

107. *Καὶ μάλ' ἀνδρικῶς.* Male Vindob. *ἀληθῶς. αὐτὸ τοῦτο, ipsum hoc quod significabatur τῷ μανικῶς.* Quae sequuntur, ea, adhibitis illis §. 47. sqq., expressit Caelius Aurelianus Morb. Chron. I, 5. *Plato in Phaedro duplicem furorem dixit: unum fieri mentis intentione ex corporis causa vel origine; alterum divinum sive immissum, eiusque Apollinem inspiratorem esse, atque hunc vocari divinationem, ab antiquis vero appellatum furorem. Magna Graecorum vetustas μανίαν appellabat, quae nunc μαντικὴ dicta est. Item alium, inquit, ex Libero fieri patre, alium ex Amore, et appellavit ἐρωτικόν; alium ex Musis, quem appellavit προτρεπτικὸν, quod ad carmen instruere videatur.* In quibus Schneiderus, cui hunc locum debeo, pro *προτρεπτικὸν* legi iubet *ποιητικόν.* — In Platonis autem his verbis idem vir eruditissimus glossematis me admonuit. Nimirum in his *τῶν εἰωθότων νομίμων* damnandum puto cum Schneidero istud *εἰωθότων*, quo quis olim in margine explicaverat hoc *νομίμων*. Nam *νόμιμα* h. l. significatu non vulgari acci-

108. b. μένην. ΦΑΙ. Πάνυ γε. ΣΩ. Τῆς δὲ θείας τετ-
τάρων θεῶν τέτταρα μέρη διελόμενοι, μαντικὴν μὲν
ἐπίπνοιαν Ἀπόλλωνος θέντες, Διονύσου δὲ τελεστι-
κὴν, Μουσῶν δ' αὖ ποιητικὴν, τετάρτην δὲ Ἀφρο-
δίτης καὶ Ἔρωτος, ἐρωτικὴν μανίαν ἐφήσαμέν τε
ἀρίστην εἶναι, καὶ οὐκ οἶδ' ὅπη τὸ ἐρωτικὸν πάθος
ἀπεικάζοντες, ἴσως μὲν ἀληθοῦς τινος ἐφαπτόμενοι,
τάχα δ' ἂν καὶ ἄλλοσε παραφερόμενοι, κεράσαντες
οὐ παντάπασιν ἀπίθανον λόγον, μυθικόν τινα ὕμνον
c. προσεπαίσαμεν μετρίως τε καὶ εὐφήμως τὸν ἐμόν τε
καὶ σὸν δεσπότην Ἔρωτα, ὦ Φαῖδρε, καλῶν παίδων
ἔφορον. ΦΑΙ. Καὶ μάλα ἔμοιγε οὐκ ἀηδῶς ἀκοῦ-
σαι. ΣΩ. Τόδε τοίνυν αὐτόθεν λάβωμεν, ὡς ἀπὸ
τοῦ ψέγειν πρὸς τὸ ἐπαινεῖν ἔσχεν ὁ λόγος μεταβῆ-
109. ναι. ΦΑΙ. Πῶς δὴ οὖν αὐτὸ λέγεις; ΣΩ. Ἐμοὶ
μὲν φαίνεται τὰ μὲν ἄλλα τῷ ὄντι παιδιᾷ πεπαῖσθαι·

---

pienda de *hominis statu et conditione, qualis esse solet natura et consuetudine.*

§. 108. *Τῆς δὲ θείας* — Stob. Eclogg. Phys. I, 12. *Διονύσου δὲ καί*: deinde *Ἀφροδίτης ἢ Ἔρωτος*: mox *ἐφήσαμεν ἀρίστην* sine *τε*, quod placet. *καὶ οὐκ οἶδ' ὅπη* — *amoris affectum simili quodam seu imagine exprimentes, in quo fortasse verum secuti sumus, fortasse etiam alio deflexim us.* — Illa *μυθικόν τινα ὕμνον* per appositionem ad praegressa *ἀπίθανον λόγον* trahenda duco, ne verbum *προσεπαίσαμεν* duplicem habeat accusativum. Hermiae Schol. MSS. ap. Ruhnk. ad Tim. Lex. p. 222. *Προσεπαίσαμεν, ἀντὶ τοῦ, ἐπαίξαμεν. λέγει δὲ ὑμνήσαμεν.* Epinom. p. 980. b. *εἰ γάρ σοι τοῦτο τέλος εἴη — θεοὺς προσπαίσαντι — τελευτῆς ἀρίστης τυχεῖν.* [Mihi duplex accus. *προσπαίζειν θεὸν ὕμνον*, ex hoc loco probandus videtur. *Buttm.*] — *εὐφήμως, pie:* conf. §. 43.

§. 109. *Ἐμοὶ μὲν φαίνεται* — Haec profert Galen. usque ad verba *τρόπῳ χρώμενον* §. seq., de Decret. Hippocr. et

τούτων δέ τινων ἐκ τύχης ῥηθέντων δυοῖν εἰδοῖν εἰ δ. αὐτὴν τὴν δύναμιν τέχνῃ λαβεῖν δύναιτό τις, οὐκ ἄχαρι. ΦΑΙ. Τίνων δή; ΣΩ. Εἰς μίαν τε ἰδέαν συνορῶντα ἄγειν τὰ πολλαχῇ διεσπαρμένα, ἵνα ἕκαστον ὁριζόμενος δῆλον ποιῇ, περὶ οὗ ἂν αἰεὶ διδάσκειν ἐθέλῃ· ὥσπερ τανῦν δὴ περὶ ἔρωτος, ὅ ἐστιν, ὁρισθὲν εἴτ' εὖ εἴτε κακῶς ἐλέχθη, τὸ γοῦν σαφὲς καὶ τὸ αὐτὸ αὑτῷ ὁμολογούμενον διὰ ταῦτα ἔσχεν εἰπεῖν ὁ λόγος. ΦΑΙ. Τὸ δ' ἕτερον δὴ εἶδος τί λέγεις, ὦ Σώκρατες; ΣΩ. Τὸ πάλιν κατ' εἴδη δύνασθαι τέ- 110. μνειν, κατ' ἄρθρα, ᾗ πέφυκε, καὶ μὴ ἐπιχειρεῖν καταγνύναι μέρος μηδὲν, κακοῦ μαγείρου τρόπῳ χρώμενον· ἀλλὰ ὥσπερ ἄρτι τῷ λόγῳ τὸ μὲν ἄφρον τῆς διανοίας ἕν τι κοινῇ εἶδος ἐλαβέτην, ὥσπερ δὲ σώ-

---

Plat. IX. p. 334. ed. Bas., scriptura tamen nihil fere mutata. — *εἰ αὐτὴν τὴν δ.* [Be. ex parte codd. *αὐτοῦν*, ut qui praecedunt sint gen. absol.]

109. *Εἰς μίαν τε ἰδέαν* — Frustra haec olim sollicitabam corrigendo *ὁρῶντα συνάγειν*. Usitatum satis est verbum *ἀγνιδεῖν* et *συνοράν*, quo adhibito maluit inferre *ἄγειν*, quam *συνάγειν*. — *ἕκαστον ὁριζόμ.*, *iusta quadam rei cuiusque definitione, qua una quaedam singularum partium omnium ἰδέα continetur.* — *ὥσπερ τανῦν δὴ velut paullo ante de amore, proposita eius definitione, seu bene seu male, est dictum.* Nam *ὁρισθὲν* est nominativus s. accusativus absolutus, et *ἐλέχθη* pertinet ad *περὶ ἔρωτος*.

§. 110. *κατ' εἴδη δύν. τέμνειν.* [Sic Be. ex optimis pro vulg. *δύν. διατέμνειν.*] *κατ' ἄρθρα* — Stephano ante haec inserendum videbatur *οἷον*. Quidni potius *καὶ κατ' ἄρθρα*? Sed deest nihil. Etenim qui *κατ' ἄρθρα ᾗ πέφυκε* rem quampiam in partes distribuit, is naturalem sequitur partium iuncturam; *articulatim* rem dissolvit, non distrahit temere neque vi frangit. — *ἀλλὰ ὥσπερ ἄρτι* — Ficin. *Sed perinde faciat, ut su eriores sermones fecerunt, qui* etc. Neque durum puto,

p. 266. a. ματος ἐξ ἑνὸς διπλᾶ καὶ ὁμώνυμα πέφυκε, σκιαὶ, τὰ δὲ δεξιὰ κληθέντα, οὕτω καὶ τὸ τῆς παρανοίας ὡς ἐν ἐν ἡμῖν πεφυκὸς εἶδος ἡγησαμένω τῷ λόγω, ὁ μὲν τὸ ἐπ' ἀριστερὰ τεμνόμενος μέρος πάλιν τοῦτο τέμνων οὐκ ἐπανῆκε, πρὶν ἐν αὐτοῖς ἐφευρὼν ὀνομαζόμενον σκαιόν τινα ἔρωτα ἐλοιδόρησε μάλ' ἐν δίκῃ· ὁ δ' εἰς τὰ ἐν δεξιᾷ τῆς μανίας ἀγαγὼν ἡμᾶς ὁμώνυμον μὲν ἐκείνῳ, θεῖον δ' αὖ τινα ἔρωτα ἐφευρὼν καὶ προ- b. τεινάμενος ἐπήνεσεν, ὡς μεγίστων αἴτιον ἡμῖν ἀγα- 111. θῶν. ΦΑΙ. Ἀληθέστατα λέγεις. ΣΩ. Τούτων δὴ ἔγωγε αὐτός τε ἐραστὴς, ὦ Φαῖδρε, τῶν διαιρέσεων καὶ συναγωγῶν, ἵν' οἷός τε ὦ λέγειν τε καὶ φρονεῖν,

---

ex praegressis mente repetere ἀλλ' οὕτω ποιεῖν s. ἀλλ' οὕτω διατέμνειν. De verbis ipsis, vulgo ἀλλ' ὥσπερ ἄρτι τῷ λόγῳ, vitio manifesto. Cuiusmodi errore iuvat hic in transcursu alium liberare Platonis locum de rep. IV. p. 442. b. Ἆρ' οὖν — καὶ τοὺς ἔξωθεν πολεμίους τούτῳ ἂν κάλλιστα φυλάττοι, τῷ ὑπὲρ ἁπάσης τῆς ψυχῆς τε καὶ τοῦ σώματος, τὸ μὲν βουλευόμενον, τὸ δὲ πολεμοῦν; Cod. Reg. φυλάττοι τόν. Repone τούτω ἂν κάλλιστα φυλαττοίτην, ὑπὲρ ἁπάσης — [Deinde σκιαὶ, τὰ δὲ, optimam lectionem e codd. protulit Be. Vulg. σκιαὶ τάδε ἢ, codd. alii τὰ μὲν σκιαὶ, τὰ δὲ — quae est interpretatio.] In verbis ὡς ἓν ἐν ἡμῖν πεφυκὸς non dubitavi inserere ἓν, cuius voculae defectus sententiam prorsus obscuraverat, idemque expressit Ficinus: *sic et concitationis speciem in nobis natura unam sermones illi existimaverunt* [codd. omnes ἐν, ἓν, alterutrum solum]: atque repetitur hic, quod ante ita protulerat: τῷ λόγῳ τὸ ἄφρον τῆς διανοίας ἔν τι κοινῇ εἶδος ἐλαβέτην.

§. 111. Τούτων δὴ ἔγωγε — Correxi cum Spaldingio συναγωγῶν. Vulgo συναγαγὼν, scribendi errore. Dionys. Halic. Arte p. 66. ἡ γὰρ τέχνη τῆς διαιρέσεως, ὥς φησιν ὁ Πλάτων, διαιρέσεις καὶ συναγωγαί, δεῖξαι τὰ εἴδη πόσα ἐστὶ καὶ πόσας ἔχει τομὰς καὶ πάντα συναγαγεῖν εἰς ταὐτό. Τοῦτο γάρ ἐστι διαι-

ἐάν τέ τινα ἄλλον ἡγήσωμαι δυνατὸν εἰς ἓν καὶ ἐπὶ πολλὰ πεφυκὸς ὁρᾶν, τοῦτον διώκω κατόπισθε μετ' ἴχνιον ὥστε θεοῖο. Καὶ μέντοι καὶ τοὺς δυναμένους αὐτὸ δρᾶν εἰ μὲν ὀρθῶς ἢ μὴ προσαγορεύω, θεὸς οἶδε, καλῶ δὲ οὖν μέχρι τοῦδε διαλεκτικούς. Τὰ c. νῦν δὲ παρὰ σοῦ τε καὶ Λυσίου μαθόντας εἰπὲ τί χρὴ καλεῖν. Ἦ τοῦτο ἐκεῖνό ἐστιν ἡ λόγων τέχνη, ἣ Θρασύμαχός τε καὶ οἱ ἄλλοι χρώμενοι σοφοὶ μὲν αὐτοὶ λέγειν γεγόνασιν, ἄλλους τε ποιοῦσιν, οἳ ἂν δωροφορεῖν αὐτοῖς ὡς βασιλεῦσιν ἐθέλωσι; ΦΑΙ. Βασιλικοὶ μέν ἄνδρες, οὐ μέν δὴ ἐπιστήμονές γε ὧν ἐρωτᾷς. Ἀλλὰ τοῦτο μέν τὸ εἶδος ὀρθῶς ἔμοιγε δοκεῖς καλεῖν διαλεκτικὸν καλῶν· τὸ δὲ ῥητορικὸν δο-

---

ρέσεως τέχνη; ἓν πολλὰ, πολλὰ ἕν. — [Mox πεφυκὸς ὁρᾶν, codicum lectio pro vulg. πεφυκότα ὅρ.] Deinde Cod. Stob. ἴχνι' ὁμῶς τε θεοῖο. Clausula haec versus κατόπισθε μετ' ἴχνιον ὥστε θεοῖο ducta videtur ex Homero Odyss. ε, 193. η, 38.

111. καλῶ δὲ — διαλεκτικούς. Luculentus est eadem de re Platonis locus Sophist. p. 253. d. Τὸ κατὰ γένη διαιρεῖσθαι καὶ μήτε ταὐτὸν εἶδος ἕτερον ἡγήσασθαι, μήτε ἕτερον ὂν ταυτὸν μῶν οὐ τῆς διαλεκτικῆς φήσομεν ἐπιστήμης εἶναι; — Οὐκοῦν ὅγε τοῦτο δυνατὸς ὁρᾶν, μίαν ἰδέαν διὰ πολλῶν, ἑνὸς ἑκάστου κειμένου χωρὶς, πάντη διατεταμένην ἱκανῶς διαισθάνεται καὶ πολλὰς ἑτέρας ἀλλήλων ὑπὸ μιᾶς ἔξωθεν περιεχομένας, καὶ μίαν αὖ δι' ὅλων πολλῶν ἐν ἑνὶ ξυνημμένην καὶ πολλὰς χωρὶς πάντη διωρισμένας. Τοῦτο δ' ἔστιν; ἧτε κοινωνεῖν ἕκαστα δύνατα καὶ ὅπη μὴ, διακρίνειν κατὰ γένος ἐπίστασθαι — Ἀλλὰ μὴν τόγε διαλεκτικὸν οὐκ ἄλλῳ δώσεις, ὡς ἐγῷμαι, πλὴν τῷ καθαρῶς τε καὶ δικαίως φιλοσοφοῦντι.

111. Τὰ νῦν δὲ παρὰ σοῦ — Nunc vero tui Lysiaeque discipuli quonam nomine sunt appellandi? [Be. ex optimis Τὰ δὲ νῦν —.] τοῦτο ἐκεῖνο, haec, quam modo declaravit, dialecticorum ars. — ὡς βασιλεῦσι. Alcib. I. p. 123. a. ὁ βασιλικὸς φόρος οὐκ ὀλίγος γίγνεται ὧν τελοῦσιν οἱ Λακεδαιμόνιοι τοῖς βασιλεῦσι. Et nota sunt ingentia illa in Persarum regno

112. d. κεῖ μοι διαφεύγειν ἔθ' ἡμᾶς. ΣΩ. Πῶς φῄς; καλόν πού τι ἂν εἴη, ὃ τούτων ἀπολειφθὲν ὅμως τέχνῃ λαμβάνεται. Πάντως δ' οὐκ ἀτιμαστέον αὐτὸ σοί τε καὶ ἐμοί. Λεκτέον δὲ, τί μέντοι καὶ ἔστι τὸ λειπόμενον τῆς ῥητορικῆς. ΦΑΙ. Καὶ μάλα που συχνὰ, ὦ Σώκρατες, τάγ' ἐν τοῖς βιβλίοις τοῖς περὶ λόγων τέχνης γεγραμμένοις. ΣΩ. Καὶ καλῶς γε ὑπέμνησας. Πρῶτον μὲν οἶμαι πρῶτον ὡς δεῖ τοῦ λόγου λέγεσθαι ἐν ἀρχῇ, ταῦτα λέγεις; ἢ γάρ; τὰ e. κομψὰ τῆς τέχνης; ΦΑΙ. Ναί. ΣΩ. Δεύτερον δὲ

---

tributa, ubi universae civitates in reginarum ornamenta essent assignatae. Vid. Plat. ibid. p. 123. b. Wessel. ad Diod. T. I. p. 62. De ingenti autem, quo haec spectant, sophistarum didactro conf. not. ad Hipp. Mai. §. 4.

§. 112. *Πῶς φῄς; καλόν πού τι ἂν εἴη* — Recte Stephanus, praeeunte Ficino, praegressa illa *Ἀλλὰ τοῦτο μὲν τὸ εἶδος — ἔθ' ἡμᾶς* Phaedro tribuit, haec autem *Πῶς φῄς;* Socrati. Verba *καλόν πού τι* etc. ironice dicta haud dubie, quapropter interrogandi signum post *λαμβάνεται* abieci. *Praeclarum sane sit, quod ab arte dialectica seiunctum tamen arte quadam addisci queat: sed tamen non spernendum hoc nobis. τούτων* pro *τούτου, τῆς διαλεκτικῆς.* — Mox *τὸ λειπόμ. τῆς ῥητορ.* est *reliqua rhetorices pars, praeter dialecticam.*

112. *Πρωοίμιον μὲν, οἶμαι* — Vulgo distinguitur *ἐν ἀρχῇ ταῦτα λέγεις; ἢ γὰρ τὰ κομψὰ τῆς τέχνης;* Formula *ἢ γὰρ*, plerumque in fine interrogationis posita, sicut interdum tamen initio ponitur, v. c. de rep. X. p. 607. c. *ξύνισμέν γε ἡμῖν αὐτοῖς κηλουμένοις ὑπ' αὐτῆς (τῆς πρὸς ἡδονὴν ποιητικῆς), ἀλλὰ γὰρ τὸ δοκοῦν ἀληθὲς οὐχ ὅσιον προδιδόναι· ἢ γὰρ, ὦ φίλε, οὐ κηλεῖ ὑπ' αὐτῆς καὶ σὺ* etc.; ita h. l. interponitur illa *παρυνθετῶς*, velut toties illa *οὐχ ὁρᾷς, πῶς γὰρ οὔ, πόθεν*, aliaque, ut *ταῦτα* pertineat ad *τὰ κομψὰ τῆς τέχνης.* Verbum autem *κομψὸν*, Platoni plerumque adhibitum non tam de vera naturalique, quam de *nimia* et *adscititia venustate* (v. Ruhnk. ad Tim. Lex. p. 161.), admistam hic quoque habet lenem quandam irrisionis speciem.

δὴ διήγησίν τινα, μαρτυρίας τε ἐπ' αὐτῇ· τρίτον τεκμήρια· τέταρτον εἰκότα· καὶ πίστωσιν οἶμαι καὶ ἐπιπίστωσιν λέγειν τόνγε βέλτιστον λογοδαίδαλον Βυζάντιον ἄνδρα. ΦΑΙ. Τὸν χρηστὸν λέγεις Θεό- p. 267. a.
δωρον. ΣΩ. Τί μήν; καὶ ἔλεγχόν γε καὶ ἐπεξέλεγχον ὡς ποιητέον ἐν κατηγορίᾳ τε καὶ ἀπολογίᾳ. Τὸν δὲ κάλλιστον Πάριον Εὐηνὸν εἰς μέσον οὐκ ἄγομεν, ὃς ὑποδήλωσίν τε πρῶτος εὗρε καὶ παρεπαίνους; οἱ δ' αὐτὸν καὶ παραψόγους φασὶν ἐν μέτρῳ λέγειν, μνήμης χάριν. Σοφὸς γὰρ ὁ ἀνήρ. Τισίαν δὲ Τορ- 113.

---

112. *διήγησίν τινα*, *argumenti narrationem*. Conf. Aristot. Rhet. III, 16. et Ernest Lex. Rhet. Gr. p. 85. Post *ἐπιπίστωσιν*, quam quid dixerit Theodorus, non exputo, vulgo deest *λέγειν*, quod ex Vindob. et Bas. 2. in sedem suam restitui. De *Theodoro* hoc *Byzantio* (v. supra ad §. 96.) Aristot. Rhet. III, 13. Ἔσται οὖν, ἂν τις τὰ τοιαῦτα διαιρῇ, ὅπερ ἐποίουν οἱ περὶ Θεόδωρον, διήγησις ἕτερον καὶ ἐπιδιήγησις καὶ προδιήγησις καὶ ἔλεγχος καὶ ἐπεξέλεγχος. Atque huc respexit Cic. Orat. 12. *Haec tractasse Thrasymachum Chalcedonium primum et Leontinum ferunt Gorgiam: Theodorum inde Byzantium, multosque alios, quos λογοδαιδάλους appellat in Phaedro Socrates, quorum satis arguta multa, sed, ut modo primumque nascentia, minuta et versiculorum (versicolorum?) similia quaedam nimiumque depicta.* Sed ex plurali illo *λογοδαιδάλους* nolim de Platonis scriptura existimari. Schol. in Anecdot. Siebenk. p. 68. Λογοδαίδαλός ἐστι λόγων τεχνίτης καὶ διαλεκτικὸς καὶ δυνάμενος τὰ ἀκίνητα ἀποδεικνύειν κινούμενα etc. — De *Eueno Pario* poeta v. Gottleb. Animadverss. ad Plat. Phaedon. p. 12. *ἐν μέτρῳ λέγειν*. Schol. Plat. p. 67. ἐπειδὴ τὰ ἔπη τῶν καταλογάδην εὐμνημονευτότερα. Sed haec artificia qui in metrum redigi potuerint, non magis intelligo, quam quid fuerint isti *παράψογοι* et *παρέπαινοι* et *ὑποδήλωσις*. In his *σοφὸς γὰρ ὁ ἀνήρ* inserui articulum sermonis lege, [Be. ἀνήρ]. de rep. I. p. 331. e. *Σιμωνίδῃ γε οὐ ῥᾴδιον ἀπιστεῖν· σοφὸς γὰρ καὶ θεῖος ὁ ἀνήρ*. Et vid. Brunck. ad Sophocl. Oed. Colon. v. 1486. Ita scribendum Euthyd. p. 283. b. *θαυ-*

γίαν τε ἐάσομεν εὕδειν, οἳ πρὸ τῶν ἀληθῶν τὰ εἰ-
κότα εἶδον ὡς τιμητέα μᾶλλον, τά τε αὖ σμικρὰ
b. μεγάλα καὶ τὰ μεγάλα σμικρὰ φαίνεσθαι ποιοῦσι
διὰ ῥώμην λόγου, καινά τ᾽ ἀρχαίως τά τ᾽ ἐναντία

μαστὸν γάρ τινα, ὦ Κρίτων, ὁ ἀνὴρ κατῆρχε λόγον, et Theaet. p. 162. a. Ὦ Σώκρ., φίλος ὁ ἀνήρ.

§. 113. *Τισίαν δὲ Γοργίαν τε* — Ficin.: *Lysiam vero Gorgiamque dormire sinemus*, unde δὲ [c. codd.] pro vulgata τε recepi, ut paullo ante *Τὸν δὲ κάλλιστον κ. τ. λ.* Illud autem *Ανσίαν*, quod Ficinus expressit, nihili est. Alterum bene firmavit Stephanus Quintiliani auctoritate II, 16, 3. *Nam et Socrati obiiciunt Comici, docere eum, quomodo peiorem causam meliorem faciat; et contra, Tisiam et Gorgiam similia dicit pollicori Plato.* Atque *Tisiae*, qui cum Corace artis oratoriae praecepta invenisse, quaeque hic memorantur artificia, primus excogitasse traditur (v. ad §. 129.), unaque cum *Gorgia* Athenas legatus venit (Pausan. VI. p. 495.), eius igitur nomen vel maxime huc pertinet; Lysiae non item, cui, quod sciam, eiusmodi inventa nusquam tribuuntur. Illud ἐᾶν εὕδειν cum contemptu quodam h. l. dictum interpretatur Victorius Varr. Lectt. VII, 10.

113. *τά τε αὖ σμικρὰ μεγάλα* — Isocrat. Paneg. c. I. p. 6. ed. Mor. *οἱ λόγοι τοιαύτην ἔχουσι τὴν φύσιν, ὥσθ᾽ οἷόντε εἶναι, περὶ τῶν αὐτῶν πολλαχῶς ἐξηγήσασθαι, καὶ τά τε μεγάλα ταπεινὰ ποιῆσαι καὶ τοῖς μικροῖς μέγεθος προσθεῖναι, καὶ τὰ παλαιὰ καινῶς διεξελθεῖν καὶ περὶ τῶν νεωστὶ γεγενημένων ἀρχαίως εἰπεῖν.* De qua pervulgata sententia erudite egit Wyttenbach. ad Iulian. in Biblioth. Crit. V. III. P. I. p. 38. In Platonis autem his verbis *καινά τ᾽ ἀρχαίως τά τ᾽ ἐναντία καινῶς* durior videtur subita mutatio inceptae structurae, ut post *καινῶς* subaudiri debeat *λέγουσι* vel eiusmodi verbum. De ipsa sententia, quid sit *ἀρχαίως* et *καινῶς*, dubium est. Harpocration: *Ἀρχαίως. Ἰσοκράτης παινηγυρικῷ· τά τε παλαιὰ — ἀρχαίως εἰπεῖν. Ἔνιοι μέν φασι σημαίνειν ἀρχαιοτρόπως, τοντέστιν ἀρχαιοτέροις ὀνόμασι χρῆσθαι. Θουκυδίδης δὲ ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν τρόπον τινὰ ἐξηγήσατο*: ubi pro *Θουκυδίδης* leg. *Ἔφορος* (v. Harpocr. v. *Καινῶς*). Quanquam locus ipse quem affert grammaticus quomodo huc trahi queat, non apparet. Mori autem ad. Isocr. l. l. interpretatio, ut *καινῶς διεξελθεῖν*

καινῶς, συντομίαν τε λόγων καὶ ἄπειρα μήκη περὶ πάντων ἀνεῦρον; Ταῦτα δὲ ἀκούων ποτέ μου Πρόδικος ἐγέλασε καὶ μόνος αὐτὸς εὑρηκέναι ἔφη ὧν δεῖ λόγων τέχνην· δεῖν δὲ οὔτε μακρῶν οὔτε βραχέων, ἀλλὰ μετρίων. ΦΑΙ. Σοφώτατά γε, ὦ Πρόδικε. ΣΩ. Ἱππίαν δὲ οὐ λέγομεν; Οἶμαι γὰρ ἂν σύμψηφον αὐτῷ καὶ τὸν Ἠλεῖον ξένον γενέσθαι. ΦΑΙ. Τί δ' οὔ; ΣΩ. Τὰ δὲ Πώλου πῶς φράσομεν αὖ 114. c.

---

sit *novo modo dicere*, *ut nemo antea*, ἀρχαίως εἰπεῖν, *antiquo modo dicere*, *ut ii*, *qui initium fecerunt et tentarunt*, *non immutata in melius ratione tractandi*, ea vereor ut satisfaciat. Mihi quidem illud καινὰ ἀρχαίως εἰπεῖν videtur ad antiquam quandam elocutionem priscumque orationis colorem trahendum, hoc ἀρχαῖα καινῶς ad universam tractationem, qua veteribus pervulgatisque rebus novitatis quaedam species tribueretur. Ad prius pertinet, opinor, locus Dionys. Halic. Lys. p. 82., ubi Gorgias, quique ab eo profecti sunt, dicuntur ὀνομάτων γλωττηματικῶν καὶ ξένων χρήσει καὶ τῶν οὐκ εἰωθότων σχηματισμῶν τῇ διαλλαγῇ καὶ τῇ ἄλλῃ καινολογίᾳ καταπληττόμενοι τὸν ἰδιώτην.

113. *συντομίαν τε λόγων* — Erat hoc in sophistarum artificiis. Ita Protagorae Socrates Protag. p. 334. e. Ἄκήκοα γοῦν, inquit, ὅτι σὺ οἶσθ' εἴ καὶ αὐτὸς καὶ ἄλλον διδάξαι, περὶ τῶν αὐτῶν καὶ μακρὰ λέγειν, ἐὰν βούλῃ, οὕτως ὥστε τὸν λόγον μηδέποτε ἐπιλιπεῖν, καὶ αὖ βραχέα οὕτως, ὥστε μηδένα σοῦ ἐν βραχυτέροις εἰπεῖν. Cf. Gorg. 7. 8.

§. 114. *Τὰ δὲ Πώλου* — Schol. Plat. p. 67. Μουσεῖα λόγων, τὰ πάρισα, ὡς τὸ, Καὶ φιλοκίνδυνον τὸν βίον κατέστησεν· τῆς δὲ περιβλεπτον καὶ περιμάχητον τὴν φύσιν ἐποίησεν. (Isocrat. Helen. Laud. p. 413.) Schol. in Anecdot. Siebenk. p. 69. Ἐκεῖνος ἐξεῦρε τὰ πάρισα· διὸ καὶ μουσεῖα λόγων ἐκάλεσεν, ἐπειδὴ ἐδόκει τῇ καλλιλεξίᾳ πάνυ κοσμεῖν τὸν λόγον, ut μουσεῖα λόγων ipsius libri a Polo compositi inscriptio fuisse videatur. Add. Gorg. 5. et 51. ibique nott. — διπλασιολογίαν Schol. l. l. ὡς τὸ, φεῦ φεῦ. Nisi hoc referendum est ad artem, voces compositas sive iunctas, ὀνόματα διπλᾶ, fingendi. Aristot. Rhet. III, 3, 13. γνωμολογίαν. [Unus in Hermiae codd. in

μουσεῖα λόγων; ὃς διπλασιολογίαν καὶ γνωμολογίαν καὶ εἰκονολογίαν, ὀνομάτων τε Αἰκυμνίων ἃ ἐκείνῳ

---

textu et comment. habet *γυμνολογίαν*, quod fere praefert Schleierm.] *ὀνομάτων τε* — Schol. in Anecdot. Siebenk. p. 69. *Αἰκυμνίων· οὗτος τὸν Πῶλον ἐδίδαξεν ὀνομάτων τινὰς διαιρέσεις· οἷον, ποῖα κύρια, ποῖα σύνθετα, ποῖα ἀδελφά, ποῖα ἐπίθετα, καὶ ἄλλα πολλὰ πρὸς εὐέπειαν.* Conf. Schol. Plat. Rnhnk. p. 68. ubi is dicitur *Αἰκύμνιος* velut ap. Dionys. et Aristotelem. [Neque aliter, opinor, Schol. Siebenkees, in cujus lemmate *Αἰκυμνίων*, quod positum est tanquam genitivus adiectivi, latet simul nomen ipsum *Αἰκύμνιος*, quo referuntur verba grammatici, *Οὗτος τὸν Πῶλον κ. τ. λ. Buttm.*] *Εὐέπεια* et *εὐγλωσσία* vulgo de *eloquendi suavitate* adhibetur: v. Valcken. Diatrib. in Eurip. Rell. p. 261. Dionys. Halic. de Compos. Verb. p. 25. *ἡ λέξις — οὐκ ἔχει λείας οὐδὲ συνεξεσμένας ἀκριβῶς τὰς ἁρμονίας οὐδὲ ἐστιν εὐεπὴς καὶ λεληθότως ὀλισθαίνουσα τῆς ἀκοῆς.* Hic igitur *Licymnius* videtur suavitatem imprimis et singulorum verborum secutus esse (Aristot. Rhet. III, 2, 37. *Κάλλος ὀνόματος τὸ μὲν, ὥσπερ Αἰκύμνιος λέγει, ἐν τοῖς ψόφοις ἢ τῷ σημαινομένῳ, καὶ αἶσχος δὲ ὡσαύτως*), et totius elocutionis, *ut verba verbis quasi demensa et paria responderent, ut crebro conferrentur pugnantia compararenturque contraria, et ut pariter extrema terminarentur eundemque referrent in cadendo sonum.* Cic. Orat. 12. Quo pertinent, opinor, *παρισώσεις* illae et *παρομοιώσεις* et *παρονομασίαι* et *ἀντιθέσεις*, quas inter ceteros Licymnio huic tribuit Dionys. Halic. de Thucyd. Idiom. p. 133. Licymnii autem huius *τέχνην* memorat Aristot. III, 13, 14., isque diversus est a Licymnio Chio, poeta Lyrico. Iam ipsa haec Platonis verba Ficinus vertit: *nominumque usum ad orationis splendorem, prout a Licymnione didicit*, ut Stephano videretur legisse *ὀνομάτων τε χρῆσιν, ἃ Αἰκυμνίων ἐκείνῳ ἔδωρ.* Sed *ποίησις εὐεπείας* mire sane est dictum, neque illud *ὃς* verbo suo carere debet, ut admodum placeat Cornarii emendatio *προσεποίησεν*: *qui verborum duplicationem et sententiarum insertionem et similitudinum inductionem, et nominum, quae Licymnion ipsi largitus est, suavitatem invexit.* Neque vero transpositio haec *Αἰκυμνίων ἃ* offendit: de rep. IV. p. 425. c. *Τί δὲ, ὦ πρὸς θεῶν, ἔφην, τάδε τὰ ἀγοραῖα ξυμβολαίων τε*

ἐδωρήσατο πρὸς ποίησιν εὐεπείας; ΦΑΙ. Πρωταγόρεια δὲ, ὦ Σώκρατες, οὐκ ἦν μέντοι τοιαῦτ' ἄττα; ΣΩ. Ὀρθοέπειά γέ τις, ὦ παῖ, καὶ ἄλλα πολλὰ καὶ καλά. Τῶν γε μὴν οἰκτρογόων ἐπὶ γῆρας καὶ πενίαν ἑλκομένων λόγων κεκρατηκέναι τέχνῃ μοι φαίνεται τὸ τοῦ Χαλκηδονίου σθένος, ὀργίσαι τε αὖ πολλοὺς ἅμα δεινὸς ἀνὴρ γέγονε, καὶ πάλιν ὠργισμένοις ἐπᾴδων κηλεῖν, ὡς ἔφη, διαβάλλειν τε καὶ

πέρι κατ' ἀγορὰν, ἕκαστοι ἃ πρὸς ἀλλήλους συμβάλλουσι etc.; et vid. ad Charmid. §. 37.; magis offendit pluralis εὐεπείας, ut in dubia scriptura religio mihi fuerit, contextum, quamvis corruptum, mutare. [Mihi Αἰκυμνίων adiectivum est etiam in Platonis verbis, sicut Schleiermachero quoque (qui scripsit Αἰκυμνείων e cod. Hermiae P, quod rectius formandum videtur Αἰκυμνιείων), ut in verbo ἐδωρήσατο intelligendus sit ὁ Αἰκύμνιος. In ceteris idem Schl. e Clark. etc. adoptavit ὡς pro ὅς, et προσποίησιν εὐεπείας ὀνομάτων Αἰκυμνείων jungit accusativis superioribus. *Buttm.*]

114. Πρωταγόρεια δὲ — *Protagorae autem nonne huiusmodi quaedam exstant artificia?* Mox ὀρθοέπειαν Quintilianus I, 5, 33. interpretatur *emendatam cum suavitate vocum explanationem* i. e. rectam pronunciationem. Sed aptior videtur explicatio Schol. in Anecdot. Siebenk. p. 70. Ὀρθοέπεια, τουτέστι κυριολεξία. διὰ γὰρ τῶν κυρίων ὀνομάτων μετήρχετο ὁ Πρωταγόρας τὸν λόγον καὶ οὐ διὰ παραβολῶν καὶ ἐπιθέτων. Nam apud Dionys. Halic. de Demosth. Gravit. p. 179., ubi Platone dicit κανόνι ὀρθοεπείας χρήσασθαι ἀξιοῖν scriptores, in universum accipienda haec vox de *recta elocutione*. Ceterum huc respexit Themist. Orat. IV. p. 113. Ἐπεὶ καὶ Πρόδικος καὶ Πρωταγόρας ὁ Ἀβδηρίτης, ὁ μὲν ὀρθοέπειάν τε καὶ ὀρθορρήμοσύνην μισθοῦ ἐκδιδάσκων τοὺς νέους, ὁ δὲ τὰ Σιμωνίδου τε καὶ ἄλλων ποιήματα ἐξηγούμενος, σοφισταὶ ὅμως καὶ ἦστην καὶ ἐλεγέσθην. Quae firmant quodammodo Scholiastae interpretationem. Τῶν γε μὴν οἰκτρογόων — Schol. in Anecd. Sieb. p. 70. Ὁ Χαλκηδόνιος ἐστὶν ὁ Θρασύμαχος, ὃς ἐδίδαξεν ὡς δεῖ οἶκτον ἐγείρειν τὸν δικαστὴν, καὶ ἐπισπᾶσθαι (εἰς?) ἔλεον γῆρας, πενίαν, τέκνα ἀποδυρόμενα, καὶ τὰ ὁμοῖα.

ἀπολύσασθαι διαβολὰς ὁθενδὴ κράτιστος. Τὸ δὲ δὴ τέλος τῶν λόγων κοινῇ πᾶσιν ἔοικε συνδεδογμένον εἶναι, ᾧ τινες μὲν ἐπάνοδον, ἄλλοι δὲ ἄλλο τίθενται ὄνομα. ΦΑΙ. Τὸ ἐν κεφαλαίῳ ἕκαστα λέγεις ὑπομνῆσαι ἐπὶ τελευτῆς τοὺς ἀκούοντας περὶ τῶν εἰρη-
115. μένων. ΣΩ. Ταῦτα λέγω καὶ εἴ τι σὺ ἄλλο ἔχεις εἰπεῖν λόγων τέχνης πέρι. ΦΑΙ. Σμικρά γε καὶ οὐκ ἄξια λέγειν. ΣΩ. Ἐῶμεν δὴ τάγε σμικρά·
p. 268. a. ταῦτα δὲ ὑπ' αὐγὰς μᾶλλον ἴδωμεν τίνα καὶ πότ' ἔχει τὴν τῆς τέχνης δύναμιν. ΦΑΙ. Καὶ μάλα ἐρῳμένην, ὦ Σώκρατες, ἔν γε δὴ πλήθους συνόδοις. ΣΩ. Ἔχει γάρ. Ἀλλ', ὦ δαιμόνιε, ἰδὲ καὶ σὺ, εἰ ἄρα καὶ σοὶ φαίνεται διεστηκὸς αὐτῶν τὸ ἠτρίον, ὥσπερ ἐμοί. ΦΑΙ. Δείκνυε μόνον. ΣΩ. Εἰπέ δή μοι· εἴ τις προσελθὼν τῷ ἑταίρῳ σου Ἐρυξιμάχῳ ἢ τῷ πατρὶ αὐτοῦ Ἀκουμενῷ εἴποι, ὅτι ἐγὼ ἐπίσταμαι

Huiusque ἕλεοι memorantur ab Aristot. Rhet. III, 1. 20. Illud τὸ τοῦ Χαλκηδονίου σθένος ex poetarum sermone ductum esse, ut βίη Ἡρακληείη, ἱερὸν μένος Ἀλκινόοιο, pueris notum est. — Deinde malim δεινὸς ὁ ἀνήρ. Conf. ad §. 112. — ὁθενδὴ, undecunque, quocunque id modo fieri potest, velut ὁπωσδὴ, ὁπηδήποτε, ita orationi interiecta, occurrunt ubivis. Monui, ne quis ex Ficino, vertente, unde opus fuerit, coniectet ὅθεν δεῖ.

§. 115. ταῦτα δὲ ὑπ' αὐγὰς — Ταῦτα, haec, quae hactenus memorata sunt, rhetorum artificia. ὑπ' αὐγὰς, ad solem quasi in plena luce attentis oculis inspectemus, atque ita diligenter examinemus, prout dictionem explicavit Hemsterhus. ap. Ruhnk. ad Lex. Tim. p. 265. Respondet plane nostro beim Lichte besehen. εἰ ἄρα καὶ σοὶ φαίνεται — „Plato dicere videtur praecepta istorum rhetorum male contexta argumentis minimeque invicem apta cohaerere sibi videri veluti telam male pectine densatam, quae stamina singula inspe-

τοιαῦτ' ἄττα σώματι προσφέρειν, ὥστε θερμαίνειν b.
τε ἐὰν βούλωμαι καὶ ψύχειν, καὶ ἐὰν μὲν δόξῃ μοι,
ἐμεῖν ποιεῖν, ἐὰν δ' αὖ, κάτω διαχωρεῖν, καὶ ἄλλα
πάμπολλα τοιαῦτα, καὶ ἐπιστάμενος αὐτὰ ἀξιῶ ἰα-
τρὸς εἶναι, καὶ ἄλλον ποιεῖν ᾧ ἂν τὴν τούτων ἐπι-
στήμην παραδῶ· τί ἂν οἴει ἀκούσαντας εἰπεῖν; ΦΑΙ.
Τί δ' ἄλλο γε ἢ ἐρέσθαι, εἰ προσεπίσταται καὶ οὕσ-
τινας δεῖ καὶ ὁπότε ἕκαστα τούτων ποιεῖν καὶ μέχρι
ὁπόσου; ΣΩ. Εἰ οὖν εἴποι, ὅτι Οὐδαμῶς, ἀλλ' 116.
ἀξιῶ τὸν ταῦτα παρ' ἐμοῦ μαθόντα αὐτόν οἱόντ'
εἶναι ποιεῖν ἃ ἐρωτᾷς; ΦΑΙ. Εἴποι ἄν, οἶμαι, ὅτι c.
μαίνεται ἄνθρωπος καὶ ἐκ βιβλίου ποθὲν ἀκούσας ἢ
περιτυχὼν φαρμακίοις ἰατρὸς οἴεται γεγονέναι, οὐ-

---

cianti monstret." Verba sunt Schneideri in Ind. ad Script. Rei Rust. p. 368., ubi vim vocabuli ἠτρίον eruditissime explicavit. [In fine paragraphi μέχρι pro μέχρις ex opt. codd. prodiit.]

§. 116. *Εἰ οὖν εἴποι — — ποιεῖν ἃ ἐρωτᾷς*; Non illud quaerebatur, *quaenam* essent facienda, sed *in quibus* et *quando* et *quem ad finem*. Itaque suspectum olim hoc ποιεῖν mihi fuit. Sed nunc video esse loco repetiti illius προσεπίστασθαι etc. ut saepe ποιεῖν ad praecedentia refertur etiam ubi sermo non de actione sed de πάθει aliquo — Quae sequuntur, *Εἴποι ἄν*, immutata reliqui, quoniam de emendatione non constabat. Nam vitium hic esse, satis apparet, quum de duobus, Eryximacho et Acumeno, sit sermo, et ἀκούσαντας paullo ante praecesserit, quod nolim mutari in ἀκούσαντα. Stephanus coniecit *Εἴποιεν ἄν*, quod amplectendum nunc videtur (vid. ad Cratyl. §. 20.). Quanquam non inepte ex Ficini interpretatione, — *quid respondebunt?* Ph. *Certe huiusmodi hominem insanire*, suspicetur aliquis, eum legisse: — ἃ ἐρωτᾷς· τί εἴποιεν ἄν; Φ. Οἶμαι, ὅτι —. Satim post malim ὅτι μαίνεται ὁ ἄνθρωπος. — Tum φαρμακίοις *medicamenta* vertit Cornarius, sed nusquam, quod sciam, exstat

δὲν ἐπαΐων τῆς τέχνης. ΣΩ. Τί δ', εἰ Σοφοκλεῖ αὖ προσελθὼν καὶ Εὐριπίδῃ τις λέγοι, ὡς ἐπίσταται περὶ σμικροῦ πράγματος ῥήσεις παμμήκεις ποιεῖν καὶ περὶ μεγάλου πάνυ σμικρὰς, ὅταν τε βούληται, οἰκτρὰς, καὶ τοὐναντίον αὖ φοβερὰς καὶ ἀπειλητικὰς,
d. ὅσα τ' ἄλλα τοιαῦτα, καὶ διδάσκων αὐτὰ τραγῳδίας
117. ποίησιν οἴεται παραδιδόναι; ΦΑΙ. Καὶ οὗτοι ἄν, ὦ Σώκρατες, οἶμαι, καταγελῷεν, εἴτις οἴεται τραγῳδίαν ἄλλο τι εἶναι ἢ τὴν τούτων σύστασιν, πρέπουσαν ἀλλήλοις τε καὶ τῷ ὅλῳ συνισταμένην. ΣΩ. Ἀλλ' οὐκ ἂν ἀγροίκως γε, οἶμαι, λοιδορήσειαν, ἀλλ' ὥσπερ ἂν μουσικὸς ἐντυχὼν ἀνδρὶ οἰομένῳ ἁρμονικῷ εἶναι, ὅτι δὴ τυγχάνει ἐπιστάμενος ὡς οἱόντε ὀξυτάτην καὶ βαρυτάτην χορδὴν ποιεῖν, οὐκ ἀγρίως εἴποι
e. ἄν, Ὦ μοχθηρὲ, μελαγχολᾷς, ἀλλ' ἅτε μουσικὸς ὢν πρᾴοτερον, ὅτι Ὦ ἄριστε, ἀνάγκη μὲν καὶ ταῦτ' ἐπίστασθαι τὸν μέλλοντα ἁρμονικὸν ἔσεσθαι, οὐδὲν μὴν κωλύει μηδὲ σμικρὸν ἁρμονίας ἐπαΐειν τὸν τὴν σὴν ἕξιν ἔχοντα· τὰ γὰρ πρὸ ἁρμονίας ἀναγκαῖα

---

vox φαρμακεῖον. Scribendum φαρμακίοις aut φαρμακείαις. [Prius reposui, inventum in omnibus fere codd. Quamquam Be. praetulit φαρμάκοις ex uno Ven. Ξ. Mihi aliquid contemptus inesse videtur formae in -ιον. Buttm.] ῥήσεις παμμήκεις. Vid. Lex. Tim. p. 228. ibiq. Ruhnk. [ποιεῖν Be. e codd. pro vulg. εἰπεῖν.] — Deinde Ficinus quum vertit: *et, quoties velit, misericordiam movere, atque eius contrarium horrorem et minas incutere*, bene alterum καὶ post τοὐναντίον omisit, mallemque totum hoc καὶ αὖ abesse. [Nos cum Be. et tribus codd. καὶ abiecimus.]

§. 117. πρέπουσαν — συνισταμένην. Pro πρεπόντως συνιστ., ut supra §. 105. πρέποντα ἀλλήλοις καὶ τῷ ὅλῳ γεγραμμένα. — [μηδὲ σμικρὸν pro vulgato οὐδὲ e codd. restituit Be.]

μαθήματα ἐπίστασαι, ἀλλ' οὐ τὰ ἁρμονικά. ΦΑΙ. Ὀρθότατά γε. ΣΩ. Οὐκοῦν καὶ ὁ Σοφοκλῆς τὸν p. 269. a.
σφίσιν ἐπιδεικνύμενον τὰ πρὸ τραγῳδίας ἂν φαίη 118.
ἀλλ' οὐ τὰ τραγικὰ, καὶ ὁ Ἀκουμενὸς τὰ πρὸ ἰατρικῆς ἀλλ' οὐ τὰ ἰατρικά; ΦΑΙ. Παντάπασι μὲν οὖν. ΣΩ. Τί δαί; τὸν μελίγηρυν Ἄδραστον οἰόμεθα, ἢ καὶ Περικλέα, εἰ ἀκούσειαν ὧν νῦν δὴ ἡμεῖς διῆμεν τῶν παγκάλων τεχνημάτων, βραχυλογιῶν τε καὶ εἰκονολογιῶν, καὶ ὅσα ἄλλα διελθόντες ὑπ' αὐγὰς ἔφαμεν εἶναι σκεπτέα· πότερον χαλεπῶς ἂν αὐτοὺς, ὥσπερ ἐγώ τε καὶ σὺ, ὑπ' ἀγροικίας ῥῆμά τι εἰπεῖνb.
ἀπαίδευτον εἰς τοὺς ταῦτα γεγραφότας τε καὶ διδάσκοντας ὡς ῥητορικὴν τέχνην, ἢ ἅτε ἡμῶν ὄντας σοφωτέρους κἂν νῷν ἐπιπλῆξαι, εἰπόντας, Ὦ Φαῖδρε 119.
τε καὶ Σώκρατες, οὐ χρὴ χαλεπαίνειν, ἀλλὰ συγγιγνώσκειν, εἴ τινες μὴ ἐπιστάμενοι διαλέγεσθαι ἀδύ-

---

§. 118. *τὸν μελίγηρυν Ἄδραστον.* Quem, quaeso, hunc dicit *Adrastum?* Nimirum quum duo ante memoraverit principes tragoediae poetas, duo item claros medicina viros, huic autem Adrasto adiunxerit Periclem, significat haud dubie aliquem prioris aevi oratorem, qui absque istis rhetorum artificiis insigni tamen dicendi arte polleret. Sed Adrastus orator nusquam memoratur. An probabile est, *Argivum* illum *Adrastum* intelligi, qui in tragoediis Theseo supplex facundissime opem eius imploraret? Conf. Pausan. I. p. 37. Isocrat. Panath. p. 529. *Τίς οὐκ ἀκήκοε τῶν τραγῳδοδιδασκάλων ἐν Διονυσίοις τὰς Ἀδράστῳ γενομένας ἐν Θηβαίοις συμφορὰς, ὅτι — — ἱκέτης γενόμενος τῆς πόλεως, ἔτι Θησέως αὐτὴν διοικοῦντος, ἐδεῖτο μὴ παριδεῖν τοιούτους ἄνδρας ἀτάφους γενομένους* etc.; Atque ipsum illud Adrasti epitheton ex antiqua poesi ductum est. Tyrt. 3, 8. *Γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι.* Quin autem diversum a Pericle seu aetate seu genere oratorem dicat, dubitare illud *καὶ* ante *Περικλέα* non sinit. Quae conie-

νατοι ἐγένοντο ὁρίσασθαι, τί ποτέ ἐστι ῥητορική· ἐκ δὲ τούτου τοῦ πάθους, τὰ πρὸ τῆς τέχνης ἀναγκαῖα μαθήματα ἔχοντες, ῥητορικὴν ὠήθησαν εὑρηκέναι, καὶ ταῦτα δὴ διδάσκοντες ἄλλους, ἡγοῦνταί
c. σφισι τελέως ῥητορικὴν δεδιδάχθαι· τὸ δὲ ἕκαστα τούτων πιθανῶς λέγειν τε καὶ τὸ ὅλον συνίστασθαι, οὐδὲν ἔργον, αὐτοὺς δεῖν παρ' ἑαυτῶν τοὺς μαθητὰς σφῶν πορίζεσθαι ἐν τοῖς λόγοις; ΦΑΙ. Ἀλλὰ μὴν, ὦ Σώκρατες, κινδυνεύει τοιοῦτόν τι εἶναι τὸ τῆς τέχνης, ἣν οὗτοι οἱ ἄνδρες ὡς ῥητορικὴν διδάσκουσί τε καὶ γράφουσι, καὶ ἔμοιγε δοκεῖς ἀληθῆ εἰρηκέναι. Ἀλλὰ δὴ τὴν τοῦ τῷ ὄντι ῥητορικοῦ τε
d. καὶ πιθανοῦ τέχνην πῶς καὶ πόθεν ἄν τις δύναιτο
120. πορίσασθαι; ΣΩ. Τὸ μὲν δύνασθαι, ὦ Φαῖδρε,

---

ctura, satis habebo, si non prorsus absona videatur. — Mox pro vulgato *δίμεν* reposui ex Buttmanni emendatione certissima *διῆμεν* [sic Clark. et rel.]; nam illud *δίμεν*, Platoni Atticisque semper futuri potestate adhibitum, loci huius ratio prorsus non fert. — Tum de interrogandi hac forma *πότερον* etc. vid. ad §. 26. Cf. Demosth. Lept. 28. ibique Wolf.

§. 119. *τὸ δὲ ἕκαστα τούτων πιθανῶς* — Seiunxi verba haec *οὐδὲν ἔργον* a seqq., quae nisi per parenthesin quandam intexta accipiantur pro accusativis absolutis, illud *δεῖν*, quod sequitur, turbat verborum structuram. Hoc dicit: *quomodo autem singula horum cum persuasione proferantur totaque componatur oratio, id, quasi difficile non sit, discipulis ipsis esse in dicendo inveniendum.* In quo sensu Stephano reponendum videbatur *ὡς οὐδὲν ἔργον* s. *ὡς οὐδὲν ὂν ἔργον*. Particula *ὡς* facile careo; illo *ὂν* non item, quod post *ἔργον* videtur excidisse.

§. 120. *Τὸ μὲν δύνασθαι* — [Sensus est: *Verisimile est et fortasse etiam necessarium, huius facultatis, videlicet ut quis perfectus decertator fiat, eandem ut in ceteris rationem esse.* Male hunc locum, praeeunte Cornario, ceperat

ὥστε ἀγωνιστὴν τέλεον γενέσθαι, εἰκὸς, ἴσως δὲ καὶ ἀναγκαῖον, ἔχειν ὥσπερ τἄλλα· εἰ μέν σοι ὑπάρχει φύσει ῥητορικῷ εἶναι, ἔσει ῥήτωρ ἐλλόγιμος, προσλαβὼν ἐπιστήμην τε καὶ μελέτην· ὅτου δ' ἂν ἐλλίπῃς τούτων, ταύτῃ ἀτελὴς ἔσει. Ὅσον δὲ αὐτοῦ τέχνη, οὐχ, ᾗ Λυσίας τε καὶ Θρασύμαχος πορεύεται, δοκεῖ μοι φαίνεσθαι ἡ μέθοδος. ΦΑΙ. Ἀλλὰ πῇ δή; ΣΩ. Κινδυνεύει, ὦ ἄριστε, εἰκότως ὁ Πε-

---

Hdf., ita ut iungeret *δύνασθαι ὥστε γενέσθαι*, cuius usus alias legitimi exempla quaedam apposuerat a nobis supra ad §. 88. relegata.] His quae per epexegesin quandam adduntur, *εἰ μέν σοι* etc., in iis particulam *γὰρ* nemo praeter Stephanum desideret. — Mox *ὅπου* malim pro *ὅτου* propter sequens *ταύτῃ*.

